OME

ΑΙ ΚΑΘ ΟΜΗΡΟΝ ΑΡΧΑΙΟΤΗΤΕΣ·
ΚΑΙ
ΑΙ ΚΕΡΚΥΡΑΪΚΑΙ ΑΡΧΑΙΟΛΟΓΙΑΙ·

Ἐκ τῆς Λατινίδος ἐπὶ τὴν Ἑλληνίδα Φωνὴν
Ἀντιμεταληθεῖσαι ὑπὸ Ε. Α. τοῦ Β'.

ΠΑΡΑ ΔΕ ΤΩΝ ΖΩΣΙΜΑΙΩΝ ΑΤΤΑΔΕΛΦΩΝ
Α. καὶ Ν. καὶ Ζ. καὶ Μ·

Φιλοτίμῳ δαπάνῃ τύποις ἐκδοθεῖσαι
ἐπὶ τῷ διανεμηθῆναι δωρεὰν τοῖς Φιλολόγοις,
Καὶ
Τῇ Ἀρτισυσάτῳ Αἰσίῳτε καὶ Ὀλβιοδαίμονι
ΕΠΤΑΝΗΣΩι ΙΩΝΙΚΗι ΠΟΛΙΤΟΚΡΑΤΙΑι
Ὑπερήδισα καὶ Πανευγνωμόνως ἀνατιθέμεναι·

Δι' ἐπιμελοῦς ἐπισασίας τοῦ πανοσιολογιωτάτου Ἱερομονάχου
Ἀγαθαγγέλου Ἀδριανοπολίτου.

ΕΝ ΜΟΣΧΑ.
Ἐν τῷ τῆς Κοινότητος Τυπογραφείῳ παρὰ
Λιάμπῃ, Γαρίῳ καὶ Ποπόβ.
Ἀ.ά.δ 1804.

Съ дозволенія Университетскаго Цензора.

ΤΗ, ΑΡΤΙΩΣ ΣΥΓΚΡΟΤΗΘΕΙΣΗ,

ΕΠΤΑΝΗΣΩ, ΙΩΝΙΔΙ ΠΟΛΙΤΟΚΡΑΤΙΑ,

Η ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΑΡΧΑΙΟΤΗΤΩΝ

ΑΝΑΘΕΣΙΣ

„Ἑπταρρότῳ Δυνάμει, νεαρὸν ῥίζωμα λαβέσθη,
„ Τετρὰς ὁμαιμώων ὕββαλ' ἔθη τὰ πάλαι·
„Φοίβασε νωλεμέως γὰρ ζήσεσθ' ἑβδομόνησον
„ πάρτος, Ζωσιμάδων τετταραδελφοσύνη·

A. N. Z. M.

„Ναὶ μὰ τὸν ἡμετέρᾳ ψυχᾷ τετρακτὺν Θέντα,
„Αἰὲν ζησομένης Φύσεως, ῥιζώματ' ἔχεσαν!

Αἴθ' ὄφελον! Ε. Α. ὁ Β.

ΠΙΝΑΞ

Τῶν Κεφαλαίων.

ΒΙΒΛ: Α'.

Κεφάλ: Α'. Περὶ Θεῶν τῶν παρὰ τοῖς παλαιοῖς Ἑλλησιν.

Κεφ: Β'. Περὶ τῆ ἑκάστῳ τῶν Θεῶν ἐπανήκοντος ἔργε.

Κεφ: Γ'. Περὶ τόπων ἱερῶν.

Κεφ: Δ'. Περὶ τῶν Εἰδώλων τε καὶ Ξοάνων.

Κεφ: Ε'. Περὶ τῶν Θεοις ἱεροπολάντων

Κεφ: ς'. Περὶ τῶν ἁγνισμῶν.

Κεφ: Ζ'. Περὶ Γκετηριῶν καὶ Εὐχῶν.

Κεφ: Η'. Περὶ Σπονδῶν, καὶ Θυμιάσεων, καὶ Οὐλοχυτῶν.

Κεφ: Θ'. Περὶ τῶν σφαγιασμῶν.

Κεφ: Ι'. Περὶ τῆς ἐν τῷ τὰ ἱερὰ τελεσιργεῖν διατυπώσεως.

Κεφ: ΙΑ'. Περὶ τῶν ἀναθημάτων.

Κεφ: ΙΒ'. Περὶ τῆ ἐνθειασμῆ τῶν τελευτώντων Ἡρώων, καὶ δὴ καὶ πάντων τῶν ἐν ἅδε.

Κεφ: ΙΓ'. Περὶ τῆς ἐν τῷ ἐνταφιάζειν ὁσιότητος.

Κεφ: ΙΔ'. Περὶ τῆς τῆ Νεκρῆ κατακάυσεως.

Κεφ: ΙΕ'. Περὶ τῆ ἐνταφιασμῆ.

Κεφ: Ις'. Περὶ τῶν Μαντειῶν.

Κεφ: ΙΖ'. Περὶ Μαγικῶν τεχνῶν.

ΠΙΝΑΞ.

ΒΙΒΛΟΣ Β΄.

Κεφ: Α΄. Περὶ τῆς τοῦ Κράτους καταστάσεως.

Κεφ: Β΄. Περὶ τῆς τοῦ Βασιλέως δυνάμεως, καὶ τοῦ ἔργου τοῦ αὐτῷ ἐπανήκοντος.

Κεφ: Γ΄. Περὶ τῆς Βασιλικῆς Κυριότητος.

Κεφ: Δ΄. Περὶ τῶν Βασιλικῶν παρασήμων.

Κεφ: Ε΄. Περὶ τῶν τοῖς Βασιλεῦσι καθυπεργόντων.

Κεφ: ϛ. Περὶ τῶν κατ' Ἐκκλησίας ἀγορῶν, ἤτοι Βαλῶν.

Κεφ: Ζ΄. Περὶ Δικασιῶν.

Κεφ: Η΄. Περὶ Φόνων.

Κεφ: Θ΄. Περὶ κλοπῶν τε καὶ ἁρπαγῶν.

Κεφ: Ι΄. Περὶ ὠνήσεών τε καὶ πράσεων.

Κεφ: ΙΑ΄. Περὶ Δωρεῶν.

Κεφ: ΙΒ΄. Περὶ Κληρονομιῶν.

Κεφ: ΙΓ΄. Περὶ Γάμων.

Κεφ: ΙΔ΄. Περὶ τῆς τελετῆς τῶν Γάμων.

Κεφ: ΙΕ΄. Περὶ Γάμων δευτέρων.

Κεφ: Ις΄. Περὶ Μοιχείας.

Κεφ: ΙΖ΄. Περὶ Παλλακῶν.

Κεφ: ΙΗ΄. Περὶ τῆς ἀγωγῆς τῶν τέκνων.

Κεφ: ΙΘ΄. Περὶ τῶν καθηκόντων τοῖς τέκνοις πρὸς τὰς Γεννήτορας.

Κεφ: Κ΄. Περὶ Δουλείας.

ΠΙΝΑΞ.

ΒΙΒΛ: Γ΄.

Κεφ: Α΄. Περὶ ἐδωδῆς τῶν πάλαι Ἑλλήνων.

Κεφ: Β΄. Περὶ τῆς Πόσεως.

Κεφ: Γ΄. Περὶ καιρῶ σιτήσεως.

Κεφ: Δ΄. Περὶ Συμποσίων.

Κεφ: Ε΄. Περὶ τῶν ἐν Συμποσίοις διατυπώσεων.

Κεφ: ς΄. Περὶ Ἐθῆτος.

Κεφ: Ζ΄. Περὶ περιβολαίων Κεφαλῆς, καὶ Ποδῶν, καὶ ἑτέρων τῶ σώματος ἐπικοσμημάτων.

Κεφ: Η΄. Περὶ τῶν Κλινῶν.

Κεφ: Θ΄. Περὶ Λέσεως καὶ Χρίσεως.

Κεφ: Ι΄. Περὶ Κομμωτικῆς.

Κεφ: ΙΑ΄. Περὶ Οἴκω

Κεφ: ΙΒ΄. Περὶ τῶ τῆς Ξενοδοχίας δικαίω.

Κεφ: ΙΓ΄. Περὶ τῶ τύπω τῆς Ξενοδοχίας.

Κεφ: ΙΔ΄. Περὶ καθικετεύσεως.

Κεφ: ΙΕ΄. Περὶ τῶ τρόπω τῶ ἐν τοῖς πένθεσι.

ΒΙΒΛ: Δ΄.

Κεφ: Α΄. Περὶ Γεωργίας.

Κεφ: Β΄. Περὶ Κυνηγετικῆς.

Κεφ: Γ΄. Περὶ γυναικείων ἔργων καὶ ἐναχολήσεων.

ΠΙΝΑΞ.

Κεφ: Δ'. Περὶ τῆς Μουσικῆς.

Κεφ: Ε'. Περὶ Ὀρχήσεως.

Κεφ: Ϛ'. Περὶ Γυμνασίων παντοίων.

Κεφ: Ζ'. Περὶ Πολέμου.

Κεφ: Η'. Περὶ Κόρυθος, καὶ Θώρακος, καὶ Κνημίδων, καὶ Ἀσπίδος.

Κεφ: Θ'. Περὶ Δόρατος, καὶ ξίφους, καὶ τόξου καὶ ἄλλων ὅπλων.

Κεφ. Ι'. Περὶ τῆς ὕλης τῶν ὅπλων, καὶ τοῦ εἴδους αὐτῶν.

Κεφ: ΙΑ'. Περὶ τῶν ἵππων.

Κεφ: ΙΒ'. Περὶ Νηῶν.

Κεφ: ΙΓ'. Περὶ Πολιορκήσεως.

Κεφ: ΙΔ. Περὶ τῆς Μάχης.

Κεφ: ΙΕ'. Περὶ τῶν ἐν τῇ μάχῃ τραυματιῶν.

Κεφ: ΙϚ'. Περὶ τῶν ἐν πολέμοις λαφύρων.

Κεφ: ΙΖ'. Περὶ Εἰρήνης, καὶ περὶ Συνθηκῶν.

ΠΙΝΑΞ

Τῶν Ἐν ταῖς Ὁμηρικαῖς Ἀρχαιότησιν Ἀναφερομένων Συγγραφέων.

Ἀρποκρατίων.
Αἰλιανός.
Αἰσχύλος.
Ἀλέξις.
Ἀμμιανός.
Ἀναξιμένης Λαμψακηνός.
Ἀνωνύμου Ἠθικα.
Ἀντιφάνης.
Ἀνθολογία.
Ἀπολλώνιος.
Ἀπίων Γραμματικός.
Ἀπελλῆιος.
Ἀρχίλοχος.
Ἀρισείδης.
Ἀριστοτέλης.
Ἀριστοφάνης.
Ἀρνόβιος.
Ἀρριανός.
Ἀρτεμίδωρος.
Ἀρτίμαχος ὁ Εὐβοϊκός.
Ἀθήναιος.
Ἀυγεῖνος.
Βίων.
Βιργίλιος.
Βιτρούβιος.
Βερχάρδου ψηφίσματα.
Γαληνός.
Γέλλιος.
Γραφὴ ἡ Θεία.
Δημήτριος.
Δημόκριτος.
Δημοσθένης.
Διόδωρος Σικελιώτης.
Διογενιανός.
Διονύσιος Ἁλικαρνασσέυς.
Διονύσιος Θρᾴξ.

Δονάτος.
Ἑλλάνικος.
Ἐμπεδοκλῆς.
Ἔννιος.
Ἐπίχαρμος.
Ετυμολογικός.
Εὐριπίδης.
Εὐσέβιος.
Εὐστάθιος.
Ζηνόβιος.
Ἡρωδιανός.
Ἡρωδιανὸς ὁ Γραμματικός.
Ἡρόδοτος.
Ἡσίοδος.
Ἡσύχιος.
Θεόκριτος.
Θεόφραστος.
Θεόπομπος.
Θουκυδίδης.
Ἱερώνυμος.
Ἴστρος.
Ἰστῖνος.
Ἰουβενάλιος.
Καλλιθένης.
Κάτων.
Κατύλλος.
Κικέρων.
Κλαύδιος Σατύρνιος.
Κλέαρχος.
Κλεῖδαμος.
Κλήμης Ἀλεξανδρεύς.
Κόιλιος Αὐρηλιανός.
Κολυμέλλας.
Κόρτιος.
Κόϊντος Σμυρναῖος.
Λακτάντιος.
Λευκανός.
Λίβιος.
Λουκιανός.
Λυσίας.
Μακρόβιος.
Μαρτιάλιος.
Μαρτιανὸς Νομοδιδάσκαλος.
Μελάνθης.
Μένανδρος.
Μινύτιος Φῆλιξ.
Μοδεστῖνος Νομοδ.
Μουσαῖος.

Ναζιανζηνὸς.
Νόμος Λογγοβάρδων.
Νόννος.
Ξενοφῶν.
Ὀρφέυς.
Οὐαλέριος Φλάκκος.
Οὐαρρῶν.
Οὐλπιανός.
Ουαλέριος Μάξιμος.
Ὀβίδιος.
Παυσανίας.
Πίνδαρος.
Παλαίφατος.
Πλάτων.
Πέρσιος.
Πλάστος.
Πετρόνιος.
Πλίνιος.
Πευκέρος.
Πλέταρχος.
Πολυδεύκης.
Πολύβιος.
Πορφύριος.
Προκόπιος.
Προμαχίδης Ἡρακλειώτης.
Σαλλέστιος.
Σαπφώ.
Σχολιασταί, ὁ τῶ Αἰσχύλε,
——— τῶ Ἀριστοφάνες,
——— τῶ Εὐριπίδες,
——— τῶ Ἀπολλωνίε,
——— τῶ Ἡσιόδε,
——— τῶ Ὁμήρε,
——— τῶ Πινδάρε,
——— τῶ Θεοκρίτε.
Σενέκας.
Σέρβιος.
Σῆξστος Ῥῶφος.
Σίλιος.
Στάτιος.
Στράβων.
Στωβαῖος.
Σωζίμενος.
Σεετόνιος.
Σεῖδας.
Συνέσιος.
Σύνοδ. Ἀνητηνσία.
Σύνοδ: Βραικαρηνσία.

Τάκιτος.
Τερέντιος.
Τερτυλλιανός.
Τιβεριανός.
Τιβύλλος.
Τίμαιος ὁ Ταιρομενίτης.
Τύρνεβος.
Τ'γῖνος.
Φαιίας Ε'ρέσιος.
Φῆστος.
Φιλήμων.
Φιλόστρατος.
Φιλόχορος.
Φίλων.
Φωκυλίδης.
Ψευδο - Α'πολλώνιος περὶ χόρτων.



ΟΜΗΡΙΚΩΝ ΑΡΧΑΙΟΤΗΤΩΝ
ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.
ΚΕΦΑΛ. Α'.
Περὶ Θεῶν τῶν παρὰ τοῖς παλαιοῖς Ἕλλησιν.

Ἅπας ὁ βίος ἀνθρώποις περὶ πράγματα ἐστὶν ἀσχολέμενος, τὰ μὲν ἱερά, τὰ δὲ βέβηλα: Προτερεῖ δ' ἐκεῖνα τῇ τάξει, αὐτῆς τῆς φύσεως ἀγάσης τε καὶ ἐκδιδασκέσης ἀρχὴν τῶν πάντων Θεὸν ὑπάρχειν, καὶ αὐτὸν εἶναι θεραπευτέον ὑπὲρ ἅπαντα. Τῇ αὐτῇ τοίνυν τάξει καὶ ἡμᾶς εἰκὸς τὰ ἀρχαῖα παρ' Ἕλλησιν ἔθιμα, ἀναγράφοντας: ἐπεὶ οὐδέν τι κἀκείνοις ἐνομίζετο, τῶ περὶ τὸ θεῖον σεβάσματος πρότερον, οὐδ' ἀρχαιότερον: οἷς τοσαύτη ἦν ἡ περὶ τῶτο περιεργία, ὥςε καὶ εἰς ποικίλας, καὶ ἀριθμὸν μονονοχὶ νικώσας δεισιδαιμονίας ἐντεῦθεν αὐτὸς διασπαθῆναι: Τὸ γὰρ τῆς ἀθεότητος ἀτόπημα ἐκκλίνειν ὡς πορρωτάτω σπεδάζοντες, εἰς πολυθείαν περιπεπτώκασι, μέτρον μὴ ἔχσαν· ὡς Ἀθηναίες δεισιδαιμονεςέρες τῶν ἄλλων γεγονότας, καὶ Θεῶν ἀγνώσων τινῶν τὴν θεραπείαν δημοσίᾳ παρὰ

σφίσι κατεπαγγείλαθαι· ἢ πάρεσιν ἰδεῖν παρὰ Παυσανίᾳ ἐν τοῖς Ἀττικοῖς Κεφαλ. ΙΔ'. καὶ παρὰ Φιλοστράτῳ, ἐν Βιβλ. ς. εἰς τὸν Ἀπολλωνίᾳ βίον, Κεφ. Γ'.

Ὅτι μὲν ἓν καὶ αὐτοὶ Ἕλληνες ἀνέκαθεν, τῇ τῶν ἄλλων ἐθνῶν ἐξαπάτῃ διετέλεσαν συχεθέντες, τῶν ἐν τάξει Δαιμονίων τὰ τῷ Κόσμῳ μέρη σεβαζομένων τὰ ἐπισημότερα, μαρτυρεῖ Πλάτων ἐν Κρατύλῳ. „Φαίνονταί μοι (φάσκων), οἱ πρῶτοι τῶν „ἀνθρώπων τῶν περὶ τὴν Ἑλλάδα, τέτες μόνες Θεὲς ἡ„γεῖθαι, ἅς περ νῦν πολλοὶ τῶν βαρβάρων· Ἥλιον, καὶ Σε„λήνην, καὶ Γῆν καὶ Ἄσρα, καὶ Οὐρανόν„, ὅθεν καὶ τὸ πρῶτον αὐτὲς ἐκεῖνα Θεὲς οἴεται ὀνομάσαι, ἐπεὶ κατεῖδον πάντα ἀεὶ ἰόντα δρόμῳ καὶ θέοντα. Τὴν δ' αὐτὴν καὶ Πλάταρχος (ἐν Α'. Βιβλ. περὶ τῶν Ἀρεσκόντ. Τοῖς Φιλοσοφ. Κεφ. ς.) ἐτυμολογίαν ἐγκρίνει, ἐκ τῆς αὐτῆς καὶ οὗτος πηγῆς τὲς Ἑλλήνων Θεὲς ἀρυσάμενος. Μετενήνεκται δ' ἓν ἔπειτα ἡ τοιάδε ἀποθέωσις, ἐπὶ τὲς ἀρετῇ τε καὶ κατορθώμασιν ἐν ἀνθρώποις ἀγλαϊθέντας, ἅς τελευτήσαντας, ἐπὶ διαφέρεσι τῷ Παντὸς μέρεσι, καὶ ταῖς ἐν τῷ βίῳ χρείαις οἱονεὶ ἐφόρες ἐπέσησαν· Ἀλλὰ γὰρ Ἡρόδοτος (ἐν Εὐτέρπῃ Κεφ. ΝΒ'.) παρὰ τῶν ἐν Δωδώνῃ Ἱεροπόλων παρειληφέναι διέξεισι, Πελασγὲς τὸ πάλαι, εὐχάστε δὴ καὶ θυηλὰς τοῖς θεοῖς προσαγηοχέναι, μηδὲν αὐτοῖς ἐπιτιθέντας ἐπώνυμον, ἅτε μήπω τι περὶ αὐτῶν προακηκοότας· „Θεὲς δὲ ἔτως „ἀποκαλέσαντας, ὅτι κόσμῳ θέντες τὰ πάντα πρήγμα„τα, καὶ πάσας νομὰς ἔχον„, Ἐντεῦθεν χρόνῳ μακρῷ προϊόντος, τὰ Θεῶν ὀνόματα ἐξ Αἰγύπτε προῆλθεν· ἅπερ ἀπὸ τῆ Μαντείᾳ παραλαβόντες οἱ Δωδωναῖοι, προσεχρήσαντο ὕσερον αὐτοῖ, διὰ τέτων τὲς Θεὲς ἐπικαλέμενοι, καὶ τοῖς ἄλλοις Ἕλλησι παραδεδωκότες. Ἀλλ' ὅθεν δὴ τῶν Θεῶν ἕκασοι ὑπῆρχον, καὶ εἴπερ ἐς ἀεὶ διετέλεν περιόντες οἱ σύμπαντες, καὶ ὑφ' οἵαν ἄρα μορφήν τε καὶ εἶδος διετέλεν ὑπάρχοντες, ἐν τοῖς

πρώηντε ϗ χθὲς ἀγνοεμένοις, ὡς εἰπεῖν λόγῳ καὶ αὐτὸς ὑποτίθησιν· ἐπεὶ ἐκ ἐπέκεινα τῶν Ὁμήρε χρόνων, τετρακοσίων ἤδη πρὸ αὐτῆ παραβρεύσαντων, Ὅμηρον αὐτὸν ἡγεῖται, καὶ Ἡσίοδον γενέθαι, τὲς πρώτες Θεῶν γενεαλογίαν εἰσαγαγόντας παρ' Ἕλλησι, καὶ Θεὲς προσωνομακότας, τιμάς τε αὐτοῖς προσνείμαντας, καὶ τὰς τεχνῶν ἀποδόντας ἐπινοίας καὶ ἐξευρέσεις, ϗ δὴ καὶ τὰς μορφὰς τὰς αὐτῶν εἰκονίσαντας. „Οὗτοι δ' εἰσὶ (φησὶν αὐτόθι Κεφ. ΝΓ'.) οἱ ποιή„σαντες Θεογονίαν Ἕλλησι, ϗ τοῖσι Θεοῖσι τὰς ἐπωνυμί„ας ἀποδόντες, ϗ τιμάς τε καὶ τέχνας διελόντες, καὶ εἶδος „αὐτῶν σημήναντες„ ἔδη καί τοιγε μὴ ἐκτὸς ἀμφισβητήσεως ὄντος, διὰ τὰ περὶ Μουσαίε τε ϗ Ὀρφέως, καὶ ἄλλων ἀρχαιοτέρων παραδοθέντα· ἀλλ' ἐκεῖνο πάσης ἐσὶν ἔξω ἀντιλογίας, ὅτι ἡ πάλαι τῶν Ἑλλήνων Θεολογία, τοῖς ἐκείνων ὑπομνήμασι μάλισα καθιέρωτο. Καὶ τοίνυν Ὅμηρος ὁ τὰ πρῶτα φέρων ἐν Ποιηταῖς, αὐτὸς καὶ ἡμῖν ἡγεμονεύσει δι' ὅλε τῆ παρόντος Συγγράμματος.

Μακρὸν μὲν ἂν εἴη τὲς Θεὲς ἅπαντας, ἕς Ὅμηρος πολλαχῆ τῆς Ποιήσεως διειληφὼς καταλέγει, εἰς ἕν ὧδε συνάψαι, ϗ τοῖς ἰδίοις ἕκασον ἐπικοσμήμασι περιγράψαι. ἅλις ἔξει κεφαλαιωδῶς, καὶ ἐν γένει τὰ τοιαῦτα ἐκτάξαθαι· Τὴν δέ τοι τάξιν αὐτὸς ἡμῖν ὁ Ποιητὴς ὑποβάλλει, (Ἰλιάδ. Γ. ϛ. 275. κξ.) ἐν οἷς Ἀγαμέμνων ἐν τῷ τὰ ὅρκια συνάγειν χεῖρας ἀναχὼν, καὶ Θεοῖς εὐχόμενος, μετὰ Ζῆνα κίδιστον, μέγιστον, Ἥλιον τ' ἐπικαλεῖται, καὶ Ποταμὲς, καὶ Γαῖαν, καὶ τὲς τοῖς ἀπελθῆσι τῆ βίε τὰς ποινὰς ἐπιβάλλοντας· Οὕτως ἀμέλει κατὰ τὰ διαφέροντα τῆ παντὸς μέρη, ἃ ἐτύγχανον ἐκθειάζοντες, οἱ μὲν τοῖς Ἕλλησιν ὑπῆρχον Θεοὶ ἠράνιοι, οἱ δὲ ὑδάτιοι, οἱ δὲ χθόνιοι, οἱ δὲ τελευταῖον καὶ ὑποχθόνιοι.

Δυωκαίδεκα δ' ἐν τέτοις οἱ προτεύοντες ἦσαν, οὓς θεὲς μεγάλες ἐκάλεν, καὶ ἐξ Αἰγύπτε μετενεχθέντας ἐθεράπευον, ὡς ἡγεῖτο Ἡρόδοτος (ἐν Εὐτέρπῃ Κεφ. Δ'.) „Δώδεκά τε Θεῶν ἐπωνυ„μίας ἔλεγον πρώτες Αἰγυπτίες νομίσαι, καὶ Ἕλληνας

„παρὰ σφέων ἀναλαβεῖν.„ Τέτες ἀρχαῖος τις Ποιητὴς, ἐν τοῖς δὲ τοῖς ἑπεσι περιείληφε.

„Δώδεκα εἰσὶ Θεοὶ μεγάλοι: Ζεὺς, Ἥρα, Ποσειδὼν,
„ Δημήτηρ, Ἑρμῆς, Ἑσία, Κυλλοπόδων,
„Φοῖβος, Ἐνυάλιός τ' Ἄρης, Παλλάς τ', Ἀφροδίτη,
„ Ἄρτεμις: εἰσὶ θεοὶ δώδεκα οἱ μεγάλοι.„

Ὁ δὲ Ἔννιος παρὰ Ἀπελλῆϊ, ἐντῷ περὶ τὲ Σωκράτες Δαιμονίε (ὡς Ἐσσέλιος ἀναφέρει ἐν τοῖς Ἐννίε ἀποσπάσμασι:) Λατινιςὶ ἕτως ἐξέθετο, ὡς καὶ τὲς ἓξ τῶν Θεῶν, ἀπὸ τῶν Ἰσαρίθμων θειωῶν διαφείλαθαι:

Iuno, Veſta, Minerva, Ceres, Diana, Venus,
Ἥρα, Ἑσία, Ἀθήνη, Δημήτηρ, Ἄρτεμις, Παφίη.
Mars, Mercurius, Jovis, Neptunus, Vulcanus, Apollo,
Ἄρης, Ἑρμῆς, Ζεὺς, Ποσειδὼν, Ἥφαιςος, Ἀπόλλων.

Καὶ γάρ τοι καὶ παρὰ τοῖς Ῥωμαίοις ὡσαύτως ὁ τῶν Θεῶν χορὸς ἕτος ὁ δωδεκάριθμος ἐθρησκεύετο, καθάπερ ὁ Ἁλικαρνασσεὺς ἱςορεῖ Διονύσιος (ἐν τοῖς περὶ τῆς Ῥωμαϊκ. Ἀρχαιολ. Βιβλ. Ζ'.) Ῥωμαίων πομπὴν δημοτελῆ περιγράφων· Ἔνθα δὴ καὶ τὲς εἰρημένες, Θεῶν ἑτέρων, τῶν μὲν παλαιοτέρων, τῶν δὲ Νεωτέρων, μέσες ἐκτάσεα. Καὶ παλαιτάτες μὲν ὑποτίθησι Κρόνον, καὶ Ῥέαν, καὶ Θέμιν, καὶ Λητῶ, καὶ τὰς Μοίρας, καὶ τὴν Μνημοσύνην, καὶ ἄλλες. Ἐκ τέτων δὲ προελθεῖν (φησὶ) Ζῆνα τε, καὶ Ἥραν, καὶ Ἀθηνᾶν, καὶ Ποσειδῶνα, καὶ τὲς ἐκ τῆ χορῆ τῆ δωδεκαρίθμε ἐκείνε λοιπές· Μεθ' ἕς καὶ τὲς ἐκ τέτων φῦντας, ἐξ ὑπερ Ζεὺς ἔχε τὸ Κράτος· Μετὰ τέτες δ' ἑπεθαι Περσεφόνην, καὶ Εἰλείθειαν, καὶ τὰς Νύμφας, καὶ τὰς Μέσας, καὶ τὰς Ὥρας, καὶ τὰς Χάριτας, καὶ τὸν Πατέρα Διόνυσον, καὶ τὲς ἄλλες τῶν Ἡμιθέων, ὑπερ αἱ ψυχαὶ, τὰ θνητὰ σώματα ἀποθέμεναι, εἰς Οὐρανὸς ἀνῆλ-

θον, καὶ τιμῶν ἠξιῶσθαι παρίσανται θειοτέρων, οἷος περ Ἡρακλῆς ἐγένετο, καὶ Ἀσκληπιὸς, καὶ οἱ Διόσκουροι, καὶ Ἑλένη, καὶ ὁ Πᾶν, καὶ ἄλλοι ἀριθμὸν ὑπερπαίοντες. Καὐτεῦθεν ἄρα τὸ παρὰ τῷ Λεκιανῷ ψήφισμα κατὰ τῶν Θεῶν, ὃς, (ἐξαιρεμένων τῶν δώδεκα, καὶ τῶν πρὸ τούτων τῷ Κρόνῳ συγχρόνων) ἐξ ἀρανῆ ἔδοξεν εἶναι ἀπελατέες.

Ἀλλὰ τὸ Θεῶν γένος τόδε τὸ τελευταῖον, Ἥρωας οἱ Παλαιοὶ ἀπεκάλεν, ἢ τῇ ταὐτὸ ἐπωνυμίᾳ, πάντες μονονεχὶ δῆμοι οἱ ἀν' Ἑλλάδα, τὰς Ἀρχηγὰς αὐτῶν ἐπικλείζοντες ὕστερον ἐσεβάζοντο, διαφερόντως δέ τὰς Βασιλεῖς, ἢ Ἀμύντορας, ἢ Προμάχας· ἢ ὅλως τοὺς κατ' ἐξοχὴν ἐν σφίσιν ἔκασοι διαπρέποντας, ἄνδρας τε δὴ ἢ γυναῖκας, τιμὰς αὐτοῖς τὰς Ἡρωϊκὰς λεγομένας ἀφοσιέμενοι· Τοιῦτοι οἱ παρ' Ἀθηναίοις ἐπώνυμοι δέκα Ἥρωες (κατὰ Παυσαν. Ἀττικ. Κεφ. Ε'.) ἐξ ὧν ἢ τὰς ἐπωνυμίας οἱ Δῆμοι κεκλήρωνται· ὧν τε τὰ πρῶτα Φέρων ἐγένετο Ἐρεχθεὺς ὁ παρ' Ὁμήρῳ (Βοιωτ. ϛχ. 55. ἤτοι Ἰλιάδ. Β'. 547.) κλεϊζόμενοι, ἔ ἢ Κικέρων Ἀθήνῃσι θεάσασθαι ἱερεῖ καὶ τὸ τέμενος, καὶ τὸν Ἱεροπόλον· (ἐν Γ. Βιβλ. τῶν περὶ Φύσ. Θεῶν Κεφ. ΙΘ.)

ΚΕΦΑΛ. Β.

Περὶ τῦ ἑπάσῳ τῶν Θεῶν ἐπανήκοντος ἔργα.

Ἐν τῷ τοιῷδε ὄχλῳ τῶν Θεῶν, ἄλλοις ἄλλα τῶν ἔργων διανεμηθέντα καθῆκε. Ζεὺς μὲν γάρ, ἀρανὸν ἔλαχε διέπειν, ἢ τὰ χειμώνων· ταύτῃ τοι καὶ βροντὰς, καὶ ὄμβρες, καὶ τ' ἄλλα τῶν μετεώρων ἐκ Διὸς Ὅμηρος παράγει· ὥπερ ἄρα καὶ παντὸς τῦ βίᾳ τῦ ἀνθρωπίνε, ἢ τῦ Κόσμε σύμπαντος προσεπανάπτει τὸ κράτος· Τῷ δέτοι Ἀπόλλωνι ἡ σωμάτων ἄκεσις ἐγκεχείρισο, ἣν ἐδήλωσεν Ἕκτορα ἐξυγιάσας· (Ἰλιάδ. Ο. ϛ. 232, ἢ 290.) Τὴν Ἰατρικὴν δ' ἤσκησε περὶ τὸν Ἄρην

Παιήων (Ἰλ. Ε. ς. 899.) Αὐτῷ δὲ (ἐν τῷ Ὕμνῳ) καὶ ἡ Μαντικὴ ἀνατίθεται, καὶ ἡ τῆς Ἀοιδῆς χάρις, καὶ ἡ τῆς Τοξευτικῆς δεξιότης, δι' ἣν ἀπανταχοῦ καὶ ἀκέα Ἑκατηβόλος. Ἑρμῆς δὲ Τέχνης παντοίας νενόμισο ἀρχηγέτης, καὶ Θεὸς ἦν ὁ Κερδῶος (ὡς ἐκ τοῦ Ἰλ. Ξ. ς. 490.) σεσημείωκε Παυσανίας, Κορινθ. Κεφ. Γ.) ὁ καὶ τῷ Φόρβαντι τὴν περιουσίαν, ἣ λέγεται, ἐκπορίσας. Ὁ δ' αὐτὸς καὶ τῆς κλεπτικῆς ἐτέτακτο Ἔφορος, ὁ καὶ Αὐτόλυκον αὐτὴν ἐκδιδάξας· (Ὀδυσ. Τ. ς. 396.) Διὸ κἂν τῷ Ὕμνῳ (ς. 292.) Ἀρχὸς προσηγόρευται Φιλητέων· Ὁ δὲ καὶ τῶν ὁδευόντων καθίσατο Ἡγεμών· (Ἰλ. ω. ς. 335.) καὶ τῶν ψυχῶν τῶν θνησκόντων Πομπὸς εἰς Ἅιδ. (Ὀδυσ. Ω. ς. 5.) ἦν δὲ καὶ ὁ διὰ νυκτὸς ὕπνους τε καὶ ὀνείρους αὐτὸς ἐπάγων, ὅθεν καὶ Ὀνείρων Ἡγήτορα ὁ Ποιητὴς αὐτὸν ἀπεκάλεσεν· (ἐν τῷ Ὑμν ς. 14.) Τῷ δέ τοι Ἄρεϊ προσῆκεν ὁ Πόλεμος, ὃς διὰ τοῦτο καὶ ἔργον Ἄρηος ἁπανταχοῦ λέγεται· (Ἰλ. Λ. ς. 735.) καὶ ἐν τῇ Βατραχομυομ. ς. 4.) καὶ ἐν τῷ εἰς τὴν Ἀφροδίτην Ὑμν. ς. 10.) Ὁ δὲ Ποσειδὼν ἔλαχε κλῆρον τὴν θάλασσαν. (Ἰλ. Ο. ς. 190.) καὶ μὲν δὴ, καὶ τοῖς Ἱππικοῖς ἐφίσασθαι τῶν ἀγώνων, (ἐν τῷ Ὑμνῳ) καθὰ καὶ Παυσανίας (ἐν τοῖς Ἀχαϊκ. Κεφ. ΚΑ.) σεσημείωται, Ἱππικῆς αὐτὸν εὑρετὴν ὀνομάσαντι. Τῷ δὲ Ἡφαίστῳ τὰς Τεκτονικὰς τῶν τεχνῶν ἀπέδωκεν Ὅμηρος, περιγράψας αὐτοῦ καὶ τὸ ἐργαστήριον (Ἰλ. Σ. ς. 370 κξ.) Τέχνας δὲ παντοίας ᾠκείωτο Ἀθήνη, ἡ Σοφίας Θεὸς καὶ Φρονήσεως. (Ὀδυσ. Ν. ς. 289.) καί τοιγε καὶ αὐτῇ, οὐδὲν ἧττον ἢ τῷ Ἄρεϊ καὶ πολέμων ἐμέλησεν. (Ἰλ. Ε. ς. 2.) κοινωνὸν ἐχέσθη καὶ τὴν Ἐνυώ. (Ἰλ. Ε. ς. 333.) ὅ διαπιστεῖται καὶ Παυσανίας (ἐν τοῖς Μεσσηνιακ. Κεφ. Λ.). Ἄρτεμις δὲ τὸ τόξον κοινὸν ἔχε σὺν Ἄρεϊ τῷ Κασιγνήτῳ, καὶ τῇ θήρᾳ ἐτύγχανεν ἔκδοτος. (ἐν τῷ Ὑμν. ς. 16) Δημήτης δὲ πρὸς τοῖς ἐκ γῆς καρποῖς εἶχεν, οἷ διὰ τοῦτο καὶ Δημήτερος Ἀκτὴ πρὸς τοῦ Ποιητοῦ λέγονται. (Ἰλ. Ν. ς. 322. καὶ Ἰλ. Φ. ς. 76). Διονύσῳ δ' ὁ οἶνος ἀνέκειτο. (ἐν Ὑμν:

ς. 11.) Ἀφροδίτη δὲ ἡ Θεὸς ἔρωτος, τὴν περὶ τὰ Γαμήλια ἐπιμέλειαν ἤσκει (Ἰλ. Ε. ς. 428.) Περσεφόνεια δὲ ταῖς σκιαῖς ἦν ἐφορῶσα, ταῖς τῶν ἐν Ἅιδῃ, συνεργὸν καὶ Πλέταναι ἔχουσα. (Ὀδυσ. Λ. ς 47.) Τῇ δ' Εἰλειθυίᾳ, ἡ τῶν τικτομένων πάροδος, εἰς τὸν βίον ἀνῆκεν (Ἰλ. Λ. ς. 270.) καὶ Ἰλ. Π. ς. 187. καὶ Ἰλ. Τ. ς. 104. καὶ ς. 119. Καὶν τᾷ εἰς τὸν Ἀπόλλωνα Ὕμνῳ ς. 97. καὶ 115.) Καὶ Μοῖραις μὲν τὰ τῆς ἀπωλείας τε καὶ τᾶ ὀλέθρου ἀπεδίδοτο. (Ὀδυσ. Η. ς. 197.) Μάσαις δὲ ἡ Ἀοιδῆς ἕξις προσῆκεν ὠᾶσερουῦν καὶ Ἀπόλλωνι. (Ἰλ. Α. ς. 604.) Τῷ Ἀσκληπιῷ δὲ ἡ Ἰατρικὴ ἀποδέδοτο. (ἐν τῷ πρὸς αὐτὸν Ὕμνῳ.) Τοῖς δὲ Διοσκούροις ὁ Πλοῦς (ἐν τῷ Ὕμν.) ὡς καὶ τῷ Ποσειδῶνι. Τελευταῖον Θέμιδι μὲν, τὰ τῆς δίκης ἀνῆκε, καὶ τὸ ἀγορεύειν. (Ἰλ. Ο. ς 89.) Τοῖς δ' ὑπολοίποις, ὅσοιτε καὶ ὅσαι Θεοὶ περιῆσαν, ποικίλ' ἄττα τῶν εἰς χρῆσιν τῷ βίῳ γινομένων προσανεγράφετο.

Ἀλλὰ γὰρ καὶ πόλεις, καὶ χῶραι ὅλαι, Θεῶν τισὶ παρ' Ἕλλησιν ἀφωσιοῦντο, ἐν αἷς, οἷα δή τινες ἀσφάλιοι δαίμονες προϊσάμενοι, διαφερόντως ἐτιμῶντο θεραπευόμενοι. Καὶ γὰρ Ἀπόλλων μὲν Χρύσην τε, καὶ Κίλλαν ζαθέην εἴρηται ἀμφιβεβηκέναι, καὶ Τενέδω ἶφι ἀνάσσειν. (Ἰλ. Α. ς. 37. 38.) Κύπρῳ δὲ Κύπρις εὐκτιμένης ὑπῆρχε μεδέουσα. (ἐν τῷ Ὕμν.) Ἥρα δὲ πρὸ τῶν ἄλλων ἔφασκε: τρεῖς μὲν πολὺ φιλτάτας ἔχειν πόλεις: Ἄργος τε, Σπάρτην τε, καὶ εὐρυάγυιαν Μυκήνην. (Ἰλ. Δ. ς. 51. 52.) Καὶ Ἀργεῖοι μὲν πολιοῦχον σφίσιν, κατὰ Παλαίφατον (ἐν τῷ ΝΑ.) οἷα δὴ φύλακα, τῶ αὐτῶν ἐνόμιζον Ἄρεος, ἢ δήπε κλήσει καὶ Ἀθηναῖοι τὴν Ἀθηνᾶν ἀνείθετο, ἐχ ὅπως τὸ Ἄρευ, ἀλλὰ καὶ τὸν Ἀττικὸν Ἀγρὸν ἅπαντα καθιερῶντες αὐτῇ, ὡς μαρτυρεῖ Παυσανίας. (Ἄττικ Κ. Κς'.) Ἐνθεντοι καὶ Λεκιανὸς ἐν τῷ περὶ Θυσιῶν „Μετὰ δὲ, νεμά„μενοι (φησὶ) κατὰ ἔθνη σέβεσι, καὶ πολίτας αὐτᾶν „ἀποφαίνεσιν: ὁ μὲν Δελφὸς τὸν Ἀπόλλω, καὶ ὁ Δήλιος ὁ „δ' Ἀθηναῖος τὴν Ἀθηνᾶν: μαρτυρεῖται γᾶν καὶ τὴν οἰκε„ότητα τῷ ὀνόματι. Καὶ τὴν Ἥραν ὁ Ἀργὸς, καὶ ὁ Μυγδόνιος

„τὴν Ῥέαν, καὶ τὴν Ἀφροδίτην ὁ Πάριος.„ Οἷς δὴ παραπλήσια, καὶ Μινάτιος ὁ Φήλιξ (ἐν τῷ ς. κατὰ τὴν Ἰ: Γρωνοβίε ἔκδοσιν, Σελ. 51.) ἀποφαίνεται λέγων, ἀνὰ πάσας Δυναστείας τε, καὶ Χώρας, καὶ Ἄστεα, τὰς καθ' ἕκαστον Ἔθνος Ἱερὰς τῶν τελετῶν συγκροτεῖσθαι, καὶ Θεὰς τὰς τῶν Δήμων προϊσταμένας θεραπεύεσθαι.

Μᾶλλον δὲ, καὶ τῶν πόλεων ἁπασῶν ἐν γένει Πρόνοιαν ποιεῖσθαι προσήκειν τῇ Ἀθήνῃ ᾠοντο. ἐξ ἧς καὶ Ἐρυσίπτολις Ὁμήρῳ πολλαχῇ προσείρηται, καὶ Ἰλ. Ζ. ς. 305.) Καὶ τοῖς Τρωσὶ δὲ αὐτοῖς ἤδη πολιορκεμένοις, ὑπὸ τῷ τοιῷδὲ ὀνόματι ἐπικέκληται: ἔνθα Εὐσάθιος, Φύλακα τῆς πόλεως διηρμήνευσε. Τέτοις πρόσθες καὶ τὰ ἐν τῷ εἰς τὴν Ἀθηνᾶν Ὕμνω. Τὸ δ' αὐτὸ ἔργον ἀποδέδοται καὶ Ζηνὶ, ὃς ἐντεῦθεν καὶ Πολιεὺς ἐπιλέλεκται παρὰ Ἀριστέλ. ἐν τῷ περὶ τὲ Κόσμε. Καὶ ὁ Βωμὸς δὲ ὁ Διὸς Πολιέως πεφήμισται παρὰ τῷ Παυσανίᾳ. (ἐν τοῖς Ἀττικ. ΚεΦ. ΚΗ.) Ἀλλὰ καὶ ἐν ἅπασι Δόμοις ἰδίᾳ δὲ τοῖς τῶν Μεγισάνων, Βωμὸς ἀνέκειτο Διὸς Ἑρκείε· οἷον εἰπεῖν Φυλακτῆρος τε καὶ ἀμυντῆρος. (Ὀδυσ. Χ. ς. 335.) Τὲτο δὲ τῆς χρείας ἐπλήρεν παρὰ Ῥωμαίοις Dii penates: οἱ Θεοὶ οἱ Πατρῷοι, ὡς ὁ Ἁλικαρνασσεὺς Φησὶ Διονύσιος. (ἐν τοῖς περὶ Ῥωμαϊκ. Ἀρχαιολογ. Βιβλ. Α'.)

Καὶ τῶν ἀνθρώπων δ' ἕκαστος Θεὸν ἔχειν πεπίστευται Παραστάτην, ὡς καὶ Ὅμηρος ὑπέθετο Ὀδυσσεῖ τε, καὶ Διομήδει, καὶ Ἀχιλλεῖ, καὶ Ἀγαμέμνονι, καὶ τοῖς λοιποῖς τῶν Ἡρώων, Θεάς τινας συνοπαδὲς συχνὰ προσανύψας. Οἱ δ' ὕστερον Δαίμονας προσεῖπον, οὓς ἐπίστευον αὐτίκα τοῖς τικτομένοις εἰς Φῶς προκύπτεσιν οἰκειῶσθαι, καὶ τέτοις κατευθύνειν τὰ τῆ βίε, ὡς Ἀμμιανὸς Φησὶν ὁ Μαρκελλῖνος (ἐν Βιβλ. ΙΒ') Μένανδρον ἐπάγων μαρτυρῆντα, καὶ τὸ τοιόνδε Δαιμόνιον Μυσαγωγὸν τῆ βίε ἀποκαλῆντα. Διὸ καὶν τοῖς Κέβητος Πίναξιν,

ἐυθὺς ἐπὶ τῆς θύρας παρεσὼς εἰκονίζεται Δαίμων· Τέτες δ' οἱ Ῥωμαῖοι Genios ἀνόμασαν, ὡς τῇ ἑκάστε γενέσει παραχρῆμα οἷον ἐπιτηρητὰς καὶ κηδεμόνας ἐπικαθιζαμένες, ὡς φησὶ Σέρβιος ἐν τῷ ϛω. τῆς Ἀινηίδος: προσιθεὶς ὅτι καὶ δύο ἐξ αὐτῶν ἕκαστος ἀνθρώπων γεννηθεὶς κληρῆται: τὸν μὲν, πρὸς τὰ καλὰ διεξάγοντα, τὸν δ' ἐπὶ τὰ κακὰ διαστρέφοντα. ἧς περ δὴ δοξασίας Ἐμπεδοκλῆν ἀρχηγὸν γενέθαι φησὶν (ἐν τῷ περὶ τῆς Εὐθυμίας) ὁ Πλέταρχος.

Πεπίστευται δὲ καὶ ἕκαστον τῶν ἐν τῷ ἀνθρώπῳ μερῶν τὲς Θεὲς ἐπιχορηγηκέναι ἑκάστῳ, ὧν περ καὶ ὡς ἰδίων περιποιεῖθαι τε καὶ προΐσαθαι (ὡς διέξεισι Τιβεριανὸς ἐν τῷ Προμυθεῖ) καὶ εἰς τῦτο δὲ καὶ Ὅμηρον οἴονται ἀφορᾶν ἐπὶ τῆς Ἀγαμέμνονος γεννήσεως φάσκοντα: (Ἰλ. Β. ϛ. 478.)

„ Ὄμματα (αὐτὸν) καὶ κεφαλὴν ἴκελον Διὶ τερπικεραύνῳ „
„ Ἄρεϊ δὲ ζώνην, σέρνον δὲ Ποσειδάωνι. „

τῆς μὲν κεφαλῆς Ζηνὶ ἀνατιθεμένης, Ποσειδῶνι δὲ τὸ σῆθος, τὸ δὲ ζωσῆρος τῷ Ἄρεϊ· Ὡσαύτως δὲ καὶ ὑπὸ Σερβίε τὸ μὲν μέτωπον τῷ Δαίμονι (Genio) καθιέρωτο, οἱ δὲ δάκτυλοι τῇ Ἀθήνῃ. καὶ κατὰ Σέξτον δὲ Πομπήϊον, αἱ ὀφρῦες ἀνάκειντα τῇ Ἥρᾳ· Ὁ δὲ Δημόκριτος, Ἑρμεῖ τὲς πόδας προσοικειοῖ, ἅτε Θεῷ ἐνοδίῳ· καὶ Ἀρτεμίδωρος τὰ νῶτα τῷ Πλάτωνι. (ἐν Α. Βιβλ. τῶν Ὀνειροκριτικῶν.)

Ἐπὶ πᾶσιν Ἀπόλλωνί τε καὶ Ἀρτέμιδι, δύναμίν τινα ἐπὶ ζωῆς τῆς ἀνθρώπων ἐνεῖναι ᾤοντο, καὶ τοῖς ἐκείνων βέλεσι καταπίπτειν τὲς ἄφνω θνήσκοντας, τὲς μὲν ἄῤῥενας ὑπὸ Ἀπόλλωνος ἀναιρεμένες (Ὡς ἐν Ἰλ. Ω. ϛ. 605· γέγραπται.) ἔπερ εἰς δεῖξιν ἐπάγεται Φρόντις ὁ Μενελάε Κυβερνήτης, (Ὀδυσ. Γ. ϛ. 280.) καὶ Ῥηξήνωρ, ὃν ἐν Μεγάρῳ παραπλησίως, βαλ' ἀργυρότοξος Ἀπόλλων (Ὀδυσ.

Η. ς. 64.) τὰς δὲ θηλείας ὑπὸ Ἀρτέμιδος· ἦν, ὡς φησὶν Ὅμηρος, (Ὀδυσ. Φ. 83.)

„Λέοντα γυναιξίν:
„Ζεὺς θῆκεν, ἠδ' ἔδωκε καταπτάμεν ἦν κ' ἐθέλῃσιν.„

ἧς τε τῇ τοξάρᾳ, τὴν ἑαυτῆς μητέρα ἡ Ἀνδρομάχη φησὶν ἀνηρῆθαι. (Ἰλ. Ζ. ς. 428.) Καὶ τὴν γυναῖκα δ' Εὔμαιος, μεθ' ἧς ὑπὸ Φοινίκων ἀπήγετο: Ἦν δὴ βάλ' Ἄρτεμις ἰοχέαιρα (Ὀδυσ. Ο. ς. 477.) Ὡσαύτως δὲ καὶ παρὰ Πινδάρῳ (Πυθ Γ. „ς. 16.) „Κορωνὶς ἡ Φλεγύα θυγάτηρ, ἡ τοῖς τᾶ ξένᾳ ἐυναθεῖσα „λέκτρασι, δαμεῖσα χρυσέοις τόξοισιν ὑπ' Ἀρτέμιδος.„ Μέμνηται δὲ τῆς δεισιδαιμονίας ταύτης καὶ Στράβων, τὰς πάλαι φάσκων ὑπειληφέναι, ἅτως ἅπαντας οἴχεσθαι, τὰς λόγῳ, ἢ ἔργῳ προσκρούοντας Ἀπόλλωνι, ἢ Ἀρτέμιδι.

ΚΕΦΑΛ. Γ.

Περὶ τόπων Ἱερῶν.

Τοιῷδε τρόπῳ τοῖς θεοῖς καθεχῶσι, καὶ κατὰ ἔργα τὰ ἐπανήκοντα σφίσιν ἔτω διαχειμομένοις, ἀπόμοιραί τινες ἀγρῶν ἐπὶ γῆς καθιέροντο ὑπὸ Ἑλλήνων, ἅττα τεμένη ὡς ἀποτετμημένας εἰπεῖν χώρας, Ὅμηρος ὀνομάζει (Ὀδυσ. Λ. ς. 184.) καὶ ἐν τῷ Ἀφροδ: Ὕμν ς 268.) Τοιοῦτον ἦν τὸ Δήμητρος Τέμενος (Ἰλ: Β. ς. 696.) καὶ τὸ Διὸς ἐν Ἴδῃ „Τέμενος βωμός τε Θυήεις.„ (Ἰλ: Θ. ς. 48.) καὶ τὸ παρὰ τὰς πηγὰς τᾶ Σπερχειᾶ (Ἰλ: Ψ. ς. 148.) καὶ δὴ καὶ τὸ Ἀφροδίτης ἐν Πάφῳ. (Ἰλ: Θ. ς. 363.) Παραπλήσια δὲ τούτοις

πλεῖσα χωρία, καὶ Παυσανίας ἱστορεῖ ἐν τῇ περιγραφῇ τῆς Γ'λάδος Ἁλαὶ ἢ Κιτέρων (ἐν Γ. περὶ Φύσ: Θεῶν.) διέξεισι τὰ τοιαῦτα χωρία παρὰ Θηβαίοις (Legeconforia) δασμοφορῶν ἐξηρῆθαι. Ἐπισημειοῖ δὲ καὶ Πλάτων (ἐν τᾷ ς τῶν Νόμ:) τὲς ἐκ τῶν τοιούτων χωρίων ἀποφερομένας καρπὲς ὑπὸ τῶν Ταμιῶν συλλέγεσθαι, καὶ εἰς χρήσεις ἱερᾶς ἀποκειμένας τηρεῖσθαι. Ἄλλα γὰρ ὁ μέσον Μεγάρωντε καὶ Ἀττικῆς ἀγρὸς **Ὅς ταῖς ἐλευσινίαις θεαίναις ὠσίωτο,** ἐδόλως ἐγεωργεῖτο, ὡς ἰδεῖν ἐξὶ παρὰ Θεκυδίδῃ ἐν τῷ Α. τῆς ἱστορίας, ὅπερ ἦν καὶ ἄλλαχῆ συνεχῶς ἐγίνετο Καὶ δένδρα δὲ προσέτι διεφυτέυετο, καὶ δρυμὰ δ' ἐτέμνετο εἰς τιμὴν Θεῶν. Ἄλση μὲν Ὅμηρος ἐκάλει, Λατίνοι δὲ Λάκκας, ὡς ἐν τῷ Ρ'ωμύλῳ Βίῳ ἑρμηνεύει Πλέταρχος. Τοιῆτον ἦν τοις Φαίαξιν: (Ὀδυσ: Ζ. ς. 291.)

„Ἄλσος Ἀθήνης ἄγχι πελεύθε Αἰγείρων., (καὶ ς. 321. αὐτ:) Ὁμοίως δὲ καὶ τὸ πρὸ τῆ Ἰθάκων ἄλσος, (Ὀδυσ: Ρ: ς 209.) **„Ἄλσος πάντοσε κυκλοτερὲς.** ἦ καὶ τὸ αἰρεθὲν παρασεσημείωται χῆμα, ὁ κύκλος τὸ τελεώτατον τῶν σχημάτων καὶ κάλλιστον. ὅ δὴ καὶ φραγμῷ περιορίζεσθαι ἔθιζο, ὃν Πολυδεύκης ὀνομάζει **Περίβολον.**

Περιεφράγνυτο δὲ, ὡς ἂν μὴ τῇ ἀναμίξ προσόδῳ τῶν εἰσιόντων βεβηλῶτο: ὅπερ ἦν ἐν τᾷ Ἀρτέμιδος Σωτείρας ἄλσει διαφερόντως παρετηρεῖτο, ἢ Παυσανίας (ἐν τοῖς Ἀχαϊκ: ΚεΦ: ΚΖ.) σεσημείωται. Το γὰρ χωρίον τειχίσματι περιληφθὲν τοῖς Ἱεροπόλοις ἀνεῖτο μόνοις. ἦ δὴ πίστιν ποιεῖται ὁ Μάρων ἐκεῖνος, ὃς (Ὀδυσ. Ι. ς. 200.)

„Ὧκει ἐν Ἄλσει δενδρήεντι., Ἦν δὲ ἄρα τὸ τῆς τοιαύτης δεισιδαιμονίας ἔθος παλαίτατον, ὃ καὶ τοῖς Ἑβραίοις, συνεχῶς τὰ ἔθνη ἐν αὐτῷ ἐπεζηλωκόσιν, ὁ Θεὸς ἐπετίμησε. Τοῦτ' ἔθος καὶ Γερμανοῖς πάλαι ἐπεχωρίαζε, περὶ ὧν Τάκιτος γράφει, ἐκ ἐν τοίχοις τε καὶ σεγίσμασιν, ἀλλ' ἐν ἄλσεσι καὶ δρυμοῖς ἀναπεπταμένοις ἡγεῖθαι, τὴν

εἰς Θεὸν χρῆναι τὸν ἀπεριόριστον λατρείαν προσφέρεσθαι. Καὶ ἐδὲ τῇ εἰς Χριστὸν δὲ πίστει τὸ τοιόνδε ἔθος ῥᾳδίως καθυπεχώρησεν, ὡς ἐκ τῶν Συνόδων δηλοῦται, τῆς τε Ἀνετηνσίας, καὶ τῆς Βραχαρηνσίας, ὧς Βερχάρδος διέξεισιν ἐν Βιβλ. 1. Decretorum (τῶν Ψηφισμάτων, ἢ Ἀποφάνσεων·) ἔ δήπερ ἔθος ἔτι καὶ καθ' ἡμᾶς, ἐθ' ἅττα λείψανα, παρά τε Πιλαππίοις καὶ Λιβωνίοις διασώζεται.

Ἀλλὰ δὴ καὶ τῶν τινα δένδρων παρ' Ἕλλησι διαφερόσης ἐτύγχανον τιμῆς τε καὶ θεραπείας· οἷον ἡ Δρῦς ἡ Δωδωναία, ἧς Ὅμηρος μέμνηται. (Ἰλ. ξ. ς. 234.) καὶ ὁ παρὰ τῷ Βωμῷ τῷ ἐν Δήλῳ Ἀπόλλωνος Φοινιξ. (ἐν τῷ Ὕμν. ς. 117.) Ὄντινα καὶ ἐπ' αὐτῷ Παυσανίας (Ἀρκαδικ. Κεφ, ΚΓ.) σεσεβάθαι καθιστορεῖ: Προσιθεὶς ὅτι καὶ ἡ Ἐλαία, ἡ ἐν τῇ Ἀθηνῶν Ἀκροπόλει, καὶ τὸ Ἀμπέλιον τὸ παρὰ Σαμίοις ἐν τῷ Ναῷ τῆς Ἥρας, ὡσαύτως. Τοιάδε ἦν, καὶ ἡ παρὰ Οὐϊργιλ: (Ἀινειάδ. Β. ς. 715.)

. . . antiqua cupreſſus
Religione Patrum multos ſervata per annos.

„Πουλυετὴς Κυπάρισσος, ἄγαν τὴν ἔκπαλαι ἄξον.„

Τέτοις καὶ τὰ Ἱερὰ προσεγένετο δομήματα, ἐν οἷς τὰς Θεὰς, ἐντὸς τοίχων θεραπεύοντες, ἰδιαίτερον διετέλεν, ἃ καὶ Ναὸς ἐκάλεσαν, παρὰ τὸ ἐν τέτοις ναίειν τὰς θεὰς, οἷον ἐνδιαιτωμένας πιστεύεσθαι. Τάυτη τοι καὶ ὑπὸ Ὁμήρε. „Θεῶν μακάρων Ἱεροὶ δόμοι προσείρηνται.„ (Ἰλ. Ζ. ς, 89.„ καὶ ἐν τῷ εἰς τὸν Ἑρμῆν Ὑμν. ς. 251. καὶ ἐν τῷ εἰς τὴν Ἑστίαν ς. 2.) καὶ ὑπὸ Θεοκρίτε „Θεῶν „ἐριπυδέες οἶκοι„ ᾧ δὴ ὀνόματι καὶ Ἡρόδοτος ἀπανταχῆ κέχρηται ἐν τῷ τὰς Ναὰς περισημαίνειν. Τὸ δέ τοι χρῆμα καὶ Λεκιανὸς ἐκφράζει ἀτεύως ἥπερ εἴωθε: „Ναὰς, λέγων (ἔνθα περὶ τῶν θυ-

σιῶν αὐτῷ λόγος) ἐγείραντες, ἵν' αὐτοὶ μὴ ἄοικοι, μηδ' ἀνέστιοι δῆθεν ὦσι. Διὰ δὴ τοῦτο μάλιστα καὶ Ξέρξης τὰ ἐν Ἑλλάδι Ἱερὰ ἐνεπίμπρα, διὰ τὸ, τῶν τοίχων ἐντὸς δηλονότι, ἐν ἐκείνοις τοὺς Θεοὺς ἐγκαθεῖρχθαι, οἷς προσῆκον ἦν ἀνεῖσθαί τε καὶ ἀναπεπτάσθαι τὰ πάντα, καὶ ὧν ὁ σύμπας κόσμος Ναός τε καὶ οἶκος καθέστηκεν, ὡς Κικέρων (ἐν τῷ Β'. τόν νόμων.) ἐκτίθεται, ὅσγε μὴν, ἥκιστα τὴν Περσῶν δόξαν ἐγκρίνει· Ἀλλὰ δοκιμωτέραν τὴν Ἑλλήνων τε καὶ Ῥωμαίων ἡγεῖται, τῶν εἰς ἐπάυξησιν (ὡς φησὶν) εὐσεβείας καὶ ὁσιότητος τοὺς Θεοὺς ἑλομένων, μετὰ σοφίσιν ἐνσκηνοῦντας ἔχειν ἐν ταῖς αὐτῶν πόλεσιν.

Τοιγαροῦν τοὺς Ναοὺς ἐντὸς ἐτύγχανον δομοῦντες τῶν αὐλέων, ἢ μὲν δὴ, καὶν χώρῳ τῷ ἐπιφανεστέρῳ· μάλιστα δὲ κατὰ τὴν ἀγοράν. Οὕτω παρὰ Φαίαξιν ἵδρυτο ὁ Νεὼς ὁ τοῦ Ποσιδῶνος.

„ Ἔνθα δέτε σφ' ἀγορὴ, καλὸν Ποσιδήϊον ἀμφὶς.„

(Ὀδυσ. Ζ. ς. 266.) Καὶ ἑκασταχοῦ δὲ, ἐπὶ τῶν καθ' Ἑλλάδα πόλεων, ἐν τοιῷδε χώρῳ τὰ Θεῶν ἱερὰ ἱδρῦσθαι μανθάνομεν καὶ παρὰ Παυσανίᾳ, ὃς καὶ περὶ τῶν Ταναγραίων διέξεισιν: (ἐν τοῖς Βιωτικ: Κεφ. ΚΒ'.) τῶν λοιπῶν αὐτοὺς Ἑλλήνων, τῷ γε τύπῳ τοῦ θρησκεύματος τούτῳ διενεχθῆναι, ὅτι ἀνὰ μέρος, πόρρω τῶν βεβήλων οἰκοδομημάτων, τοὺς Θεῶν Νεὼς ἐγείρειν ἠρξαντο, ἐν ἄλσει καθαρευούσῃ τῶν ἀνθρωπικῶν πραγματευμάτων ἀπέχοντας. „Χωρὶς μὲν τὰς οἰκίας σοφίσι, χωρὶς δὲ τὰ ἱερὰ ὑπὲρ αὐτῆς, ἐν καθαρῷ τε ἐσὶ, καὶ ἐκτὸς ἀνθρώπων.„

Ἀλλ' ἐκ ὀλίγοι μέντοι Ναοὶ καὶ ἐξωτέρω δεδόμηντο, ἐν ἀγροῖς ἰδίᾳ, καὶ ἱεροῖς ἄλσεσιν, ὡς διὰ πολλῶν ὑπὸ τοῦ αὐτοῦ Συγγραφέως παραδηλοῦται, ἐξ οὗ καὶ τὸ Τέμενος, πάρεσι τὰ πολλὰ, ἀντὶ τοῦ Εἰδωλείου ἐκδέχεσθαι. Ὅθεν Πολυδεύκης„ Τεμένητε καὶ Σηκὸς

ἄναγ (φησὶ) χωρία, ἔνθα καθιδρύονται οἱ θεοὶ.„ καὶ ῥᾴστα τοῖς ἑρμηνευταῖς αὐτοῖς συντιθέμεθα, οὕτως ἐξαληφίσι τό τε ἐν Ἴδῃ τοῦ Διὸς Τέμενος, καὶ τὸ ἐν Πάφῳ τῆς Ἀφροδίτης ὁμοίως ὑφ' Ὁμήρου νοεῖσθαι, ὁπότε Ναὸν ἱδρυσθαι ἑκατέρωσε καλῶς ἐπιτάμεθα.

Ὅλως δὲ ἐπὶ τῶν ὑψηλῶν μάλιστα δεδομῆσθαι τὰ Ἱερὰ ἐκ τῶν Ὁμήρου καταδηλον. Προσήκειν γὰρ τόδε Θεοῖς ἐνομίζετο, Διὶ δ' ἐξόχως τῷ Θεῶν ὑπάτῳ, καθάπερ ἐν τοῖς περὶ Θυσιῶν μαρτυρεῖ Μελάνθης, τῷ ἐκείνου ὀνόματι διεξειὼν τὸς πάλαι τὰ Ὄρη ἐπονομάσαι, καὶ ἐπ' αὐτὰ ἀναβαίνειν θύσοντας, Πᾶν δὲ Ὄρος, τοῦ Διὸς Ὄρος ὀνομάζεται· ἐπεὶ ἔθος ἦν τοῖς παλαιοῖς, ὑψίσῳ ὄντι τῷ Θεῷ, ἐν ὕψει θυσίας ποιεῖσθαι.„ ἓν δεῖγμα σαφὲς ἡ παρ' Ὁμήρῳ Ἴδη, ἐφ' ἧς Ἕκτορα, Ζεὺς ἔφη, πολλὲς αὐτῷ ἀνενεγκεῖν βόας· (Ἰλ. Χ. ς. 170.)

„Ὣς μοι πολλὰ βοῶν ἐπὶ μηρί' ἔκηεν
Ἴδης ἐν κορυφῇσι πολυπτύχου· ἄλλοτε δ' αὖτε
Ἐν πόλει ἀκροτάτῃ. . . . . .

Οὗ δὴ χάριν καὶ ἐς ὕψος ὁ τῶν Νεῶν ἤρετο κόρυμβος ὄνπερ Ἀετὸν καλεῖσιν Ἑλλήνων Παῖδες, ἓ συνεχῶς μέμνηται Παυσανίας. Καὶντεῦθεν καὶ Ἀριστοφάνης (ἐν Ὄρνισι ς. 1109.) τὴν κατ' αὐτῶν αἰνῶν πολιτείαν, ἅπαντα, φησὶ τὰ ἐν αὐτῇ δομήματα, Ναῶν δίκην κεκορυφῶσθαι.

„Εἶτα πρὸς τούτοισιν, ὥσπερ ἐν Ἱεροῖς οἰκήσετε,
„Ἰὰς γὰρ ὑμῶν οἰκίας ἐρέψομεν πρὸς ἀετόν.„

Ἕνια γε μὴν τῶν Ἱερῶν ἄτεγα ἦν, ἃ ὕπαιθρα ἔπον: οἷον τὸ Ἀθήνηση ὑπὸ Οὐϊτρουβίου ἀναφερόμενον· Ὅλως δὲ, ἔστω ταῦτα διήκει-

το, ὡς ἀνίσχοντα τὸν Ἥλιον αὐτίκα εἰσδέχεσθαι, ἢ διέξεισι Πλάταρχος (ἐν τῷ Νομᾷ βίῳ τῷ Πομπιλίῳ) ἢ ὥστε τῶν θυρῶν ἀναπεπταμένων παντα-χόθεν καταφωτίζεσθαι, ἢ Ἡρομαχίδης μαρτυρεῖ ὁ Ἡρακλεώτης, καὶ Διονύσιος ὁ Θρᾷξ. (ἐν βιβλ Γ'. τῶν Διαιρέσ.) „Οἱ γὰρ Ναοὶ τῶν παλαιῶν, καὶ τὸν Ἥλιον ὑπερκύψαντα εὐθὺς ὑποδέχε-σθαι εἰώθεσαν, καὶ τῷ φωτὸς εὐθὺς ἐμπίμπλασθαι τῶν θυρῶν ἀναπεπταμένων, ὅπερ καὶ τὰ Ἱερὰ ἔρεξαν.„

Ταῦτ' ἄλλα οἱ Ναοί ἦτοι, ἤτοι τῶν Θεῶν ἑκάστοις ἀνὰ μέρος ἀφω-σιῶντο, ἢ γὲν ἅμα πλείοσιν, ἢ καὶ πᾶσιν· ἔστω καὶ γὰρ ὁ Παυσα-νίας (ἐν τοῖς **Λακωνικ.** Κεφ: Κ Β'.) διέξεισιν, „Ὅτι παρὰ Μαρίῳ ὑπῆρξεν **Ἱερὸν ἀρχαῖον Θεῶν ἁπάντων.** (Καὶ ἐν τοῖς **Κορινθιακ.**„ Κεφ: Κ Ε'.) Παρὰ Τορνεάταις, Ναὸν Θεοῖς πᾶσιν ἐς κοινὸν ἀνειμένον. Καὶ τοιοῦτον Ναὸν ἡ Ἀδριανὸς Ἀθήνη-σιν ἔδειμεν ὁ Αὐτοκράτωρ· οἷονπερ ἦν καὶ τὸ ἐν Ρώμῃ **Πάνθεσν,** τὸ καὶ καθ' ἡμᾶς ὑφεστὸς. **(Ἀττικ:** Κεφ. Ε'. καὶ Κεφ: ΙΗ'.) Ἀλλὰ γὰρ Ὅμηρος τῶν ἑκάστῳ Θεῷ ἰδίᾳ ἀνακειμένων Ἱερῶν μνείαν πεποίηται, Ἀθηνᾶς μὲν Ἀθήνησιν: (Ἰλ. Β'. ς. 549.) καὶ ἐν Περ-γάμῳ· (Ἰλ. Ζ. ς. 267.) καὶ Ποσιδῶνος παρὰ Φαίαξιν. (Ὀδυσ. Ζ. ς. 266) καὶ Ἀπόλλωνος Πυθοῖ· (Ἰλ Ι' ς. 405. καὶ Ὀδυσ. Θ'. ς. 80.) καὶ ἄλλων· ἐπιγράφεσθαι δ' ἦν ἔθος τοῖς Ἱεροῖς καὶ τὰ τῶν Θεῶν ὀνόματα, κατὰ γενικὴν πτῶσιν, ὡς ἐκ τῶν ἀρχαίων ὑπομνημά-των φαίνεται, καὶ διαῤῥήδην ὑπὸ Κικέρωνος. (ἐν τοῖς περὶ Φύσ: Θεῶν Βιβλ. Γ.) διαπισῶται. ὃς καὶ τὰς ἀργυρέας τραπέζας ἐκ πάντων ἐκέλευε τῶν Εἰδωλείων ἀρθῆναι, ἐν αἷς κατὰ τὸ τῆς πάλαι Ἑλλάδος ἔθος ἐπεγέγραπτο: ΑΓΑΘΩΝ ΘΕΩΝ· χρῆσθαι φάσκων αἱρεῖσθαι τῇ αὐτῶν Ἀγαθότητι.

ΚΕΦΑΛ. Δ'.

Περὶ τῶν Εἰδώλων ἢ Ξοάνων.

Μικρὸν ἦν δεισιδαιμονέσιν ἀνθρώποις, Θεὸς κεκτῆθαι τόποις τισὶν ἐμπεριοριζομένης, εἰμὴ καὶ ὀφθαλμοῖς αὐτὸς προκειμένης θεῶντο, διὸ καὶ τύτων τὰ εἰκάσματα σφίσιν ἀναπλασάμενοι, ἐν ἱεροῖς χωρίοις καθίδρυσαν σεβασέα. Ἀλλ' ἐν ἀρχῇ τῦ θρησκεύματος τῦ ἀπὸ Αἰγυπτίων ἐπὶ τὺς Ἕλληνας μεταβάντος, κενὰ τύτοις τὰ Ἱερὰ ἦν, ὡς Λεκιανὸς ἐν τῷ περὶ τῆς Συρίας Θεαίνης μαρτυρεῖ. Ὅτι τὸ πάλαι καὶ παρ' Αἰγυπτίοις ἀξόανοι νηοὶ ἦσαν., Ὡσάυτως δὲ καὶ παρὰ Ῥωμαίοις τὸ αὐτὸ ἔθος ἐπικρατῆσαι φησὶ καὶ Οὐάρρων, ὁ (κατ' Αὐγυστῖνον ἐν Δ'. Βιβλ. τῶν περὶ τῆς Θεῦ Πολ. Κεφ. Λς.) Ῥωμαίυς ἰσορῶν ἐπέκεινα τῶν πρὸς τοῖς ἑκατὸν ἑβδομήκοντα ἐνιαυτῶν, ἄτερ Εἰκόνων τὺς θεὺς τεθεραπευκέναι: ὑπὸ Νεμᾶ γὰρ τῦ Πομπιλίυ τετὶ θεσμοθετηθῆναι, καθάπερ ἐν τῷ τότε βίῳ μαρτυρεῖ καὶ Πλύταρχος. Ἐπιβεβαιοῖ δὲ καὶ Τερτυλλιανὸς (ἐν τῷ περὶ Εἰδωλολάτρ.) Εἴδωλον, φάσκων, οὐδὲν τὸ πρόσθεν ὑπῆρχε: Πρὶν δ' ἢ περὶ τὴν τοιήν δε τερατείαν ἐκζέσειαν οἱ τεχνιτεύσαντες, μόνα ὑπῆρχε τὰ Ἱερὰ, καὶ κεναὶ αἱ δομήσεις· καθάπερ οὖν καὶ ἐφ' ἡμῶν ἐνιαχῦ ἔθ' ἅττα τῆς ἀρχαιότητος διασώζεται ἴχνη. Ἀλλὰ γὰρ παλαιτάτη ἡ τῆς δεισιδαιμονίας χρῆσις, ἀπὸ τῶν Μωσαϊκῶν ἤδη κατιῦσα χρόνων, καθὰ καὶ Εὐσέβιος φησὶ (Βιβλ. Β'. τῶν χρονικ.) Κέκροπα τὸν Ἀθηναίων Ἄνακτα, ἰσόχρονον τῷ Μωσεῖ ἐκτάσσων, ὡς πρῶτον παρ' Ἕλλησι δημιεργήσαντα εἴκελον.

Ἕλληνες μὲν γὰρ κατ' ἀρχὰς, λίθες ἀλαξεύτες τὸ πλεῖξον ἐγέραιρον ὡς ἀγάλματα, ἧ μάρτυς ἐςὶ Παυσανίας: (Ἀρκάδ. Κεφ. ΚΒ.) „Τὰ παλαιότερα, καὶ τοῖς πᾶσιν Ἕλλησι, τιμὰς Θεῶν, ἀντὶ Ἀγαλμάτων, εἶχον ἀργοὶ λίθοι. Οὗ δεῖγμα παρὰ

φαρίοις, τοῖς λίθοις τετραγώνοις τριάκοντα, ὑπὸ Θεῶν ὀνόμασιν ἰσαρίθμων, διασεβομένοις· ὥ δήπου λέγω Κλήμης ὁ Ἀλεξανδρεὺς (ἐν τῷ Α' τῶν Στρωμ.) „Πρὶν γὲν ἀκριβωθῆναι (φησὶ) τὰς τῶν Ἀγαλμάτων ἕσεις κίονας ἱστάντες οἱ παλαιοὶ, ἔσεβον τέτοις ὡς ἀφιδρύματα τῦ Θεῦ.„ Καὶ Εὐσέβιος δὲ (ἐν Βιβλ. Α. τῶν περὶ τῆς Εὐαγγ. προπαρασκ.) παρατηρεῖ κίονας ἐν ἀρχῇ, ἀντὶ Ἀγαλμάτων καθιδρύθαι καὶ σεσεβάθαι.

Εἰσήχθη δ' ἐξῆς τὰ μορφώματα, καὶ μάλιστα δὴ τὰ ἀνθρωπικά. Τοιάυτης γὰρ τὰς Θεὰς τυχεῖν τῆς μορφώσεως ἐνόμιζον Ἕλληνες, ὡς Ἡρόδοτος (ἐν Εὐτέρπῃ) διδάσκει, ἐν οἷς τὰς Πέρσας, γράφει, τὴν τῶν Ἀγαλμάτων, καὶ Ναῶν, καὶ Βωμῶν χρῆσιν, ἥκιστα δοκιμάζειν „Ὅτι ἐκ ἀνθρωποφυέας ἐνόμισαν τὰς Θεὰς, καθάπερ οἱ Ἕλληνες.„ ἄλλοις δ' ἄλλας μορφὰς ἀπεδίδει, οἵασπερ δὴ κατὰ διάνοιαν ἀνετυπῶντο, Ὁμήρῳ ἡγεμόνι παρηκολυθηκότες οἱ πλεῖστοι, καθ' οἷα δή περ εἴδη τὰς Θεὰς ἐκεῖνος ἀνέπλασε, κατ' αὐτὰ τέτων χηματίσαντες τὰ εἰκάσματα. Πλεῖστα δὲ τῦ τοιέτου τὰ παραδείγματα παρὰ τῷ Παυσανίᾳ, ἅπερ ἐκ ἀσαφῶς ὑπὸ τῦ Λεκιανῦ (ἐν τῷ περὶ τῶν θυσιῶν φέρεται σημειῶμενα. „Ἀναπλάττεσι μὲν γενεήτην τὸν Δία, παῖδα δ' ἐς ἀεὶ τὸν Ἀπόλλωνα, καὶ τὸν Ἑρμῆν ὑπηνήτην, καὶ Ποσειδῶνα κυανοχαίτην, καὶ Γλαυκῶπιν τὴν Ἀθηνᾶν· δι' ὧν δὴ πάντως ἐπιθέτων Ὅμηρος αὐτὰς ἐξὶν ἐπισημαινόμενος.

Τῶν Ἀγαλμάτων τὰ ἀρχαιότατα τοῖς ποσὶ συμβεβηκόσι ἀδιαιρέτως παρίστατο. „Πρῶτος γὰρ Δαίδαλος ἀνεπέτασε, καὶ τὰς πόδας διέκρισεν„ ὡς Ἀρποκρατίων παρέδωκε. Τὸ δέτοι κεῖθαι αὐτοῖς ἐποικίλλετο, τοῖς μὲν ὀρθίοις καθισαμένοις, τοῖς δὲ καθημένοις: Οὕτω γὰρ δὴ καὶ Πορφύριος γέγραφε „τὰς Θεὰς ἐιωθέναι τὰ ἔθνη ἀνατυπῶν χήμασι διαφόροις, καὶ ἡλικίαις, καθέδραις τε καὶ ςάσεσι, καὶ ἀμφιάσεσιν„ ὡς ἐξ αὐτῦ ἀναφέρει Εὐσέβιος. Ταύτῃ δέ τοι καὶ Ἀρνόβιος (ἐν βιβλ. ς'.) ὁμοίως.

Εἰδ' ἔτως ἔχει, καὶν τοῖς καθημένοις εἴδεσι, τὸν Θεὸν καθῆθαι ῥητέον, ἱσαθαι δ' ἐν τοῖς ὀρθοσάδην μένεσι, καὶ ἐπὶ τῶν τρέχειν δοκούντων εἰδῶν, τρέχειν, καὶπὶ τῶν τοξεύεσιν ὁμοίων, τοξεύειν. Καὶ τὸ τῆς Ἀθηνᾶς ἄρα Ἄγαλμα, τὸ ἐν τῇ Τροίας ἀνακείμενον ἀκροπόλει, πρὸς ὃ αἱ Τρωιάδες συνέδραμον λιτασόμεναι, καθημένης εἰκὸς εἶναι γενέθαι, ἐπείπερ ὑπὸ τέτων ἐν γόνασι ταύτης τὸ πέπλον τεθεῖθαι πεποίηται. (Ἰλ. Ζ'. ς 270.) ὃ καὶ Στράβων (βιβλ. ΙΓ. Γεωγραφ.) ἡγήσατο: προθείς, ὅτι καὶ πλεῖσα τῶν ἀρχαίων Ἀθηνᾶς ἀγαλμάτων καθήμενα παρῆν ὁρᾶν, οἷον τὸ ἐν Φωκίδι, καὶ ἐν Μασσιλίᾳ, καὶ Χίῳ, καὶ Ῥώμῃ, καὶ ἄλλοθι: καὶ τοιγε τὸ ἐπ' αὐτῇ τῇ ἑτέρᾳ καθεσὼς Τρωάδι, ἱσαμένην παρίστη τὴν Θεὸν ὄρθιον, ὡς ὁ αὐτὸς παρέδωκεν.

Τὴν δὲ ὕλην τὸ πάλαι τῶν Ἀγαλμάτων τὰ πλεῖστα ξύλινα ἦν, ἃ Ξόανα εἶπον, ὡς Κλήμης ὁ Ἀλεξανδρεὺς (ἐν τῷ Προτρεπτικῷ) ἀναπτύσσει. Τοιόνδε ὑπῆρχε τὸ παναρχαιον Ξόανον, τὸ ὑπὸ Δαναῆ ἐν τῷ παρ' Ἀχαιοῖς Ναῷ ἀνατεθὲν, περὶ ἧ Παυσανίας (ἐν Κορινθιακ. Κεφ. ΙΘ'.) Ξόανα γὰρ δὴ τότε (φησὶ) πέιθομαι πάντα, καὶ μάλιστα τὰ Αἰγύπτια. „Ὅπερ ἔν σαφέστερον καὶ πλατύτερον ἐκτίθησιν (Ἀρκαδ. Κεφ. ΙΖ.) ἅμα καὶ τὰ γένη τῶν δένδρων συγκαταλέγων: „Τοῖς δὲ ἀνθρώποις τὸ ἀρχαῖον, ὁπόσα καὶ ἡμεῖς καταμαθεῖν ἐδυνήθημεν, τοσάδε ἦν ἀφ' ὧν τὰ Ξόανα ἐποιοῦντο: Ἔβενος, Κυπάρισσος, αἱ Κέδροι, τὰ Δρύϊνα, καὶ Σμίλαξ, καὶ ὁ Λωτὸς.„ Τὸ δ' αὐτὸ καὶν Ἰταλίᾳ τὸ πρῶτον ἐπικρατῆσαι διέξεισι Πλίνιος (Φυσ. ἱστορ. βιβλ. ΛΑ'. Κεφ. Ζ'.) Mirumque, φάσκων, mihi videtur, cum ſtatuarum origo tam vetus in Italia ſit, Deorum ſimulacra lignea potius ac fictilia, in delubris dicata, usque ad devictam Aſiam; unde luxuria irrepſit. —

„Ἐπεισίμοι θαυμάζειν, ὅτι τῆς καταβολῆς τῶν Ἀνδριάντων ἔτω παλαιᾶς ἔσης ἐν Ἰταλίᾳ, τὰ Θεῶν εἰκάσματα ξύλινα τε μᾶλλον καὶ κεραμεᾶ ἐν τοῖς Εἰδωλείοις ἀνέκειτο, ἄχρις ἧς ὑποτέτακται ἡ Ἀσία, ὅθεν ἡ τρυφή τε καὶ πολυτέλεια παρεισέδυ.„ Ἀλλ' ἐδὲν ἧττον μέντοι καὶ τῶν Ἑλλήνων τοῖς ὕστερον ἐπεισήνεκται ἡ περὶ τὸ πρᾶγμα τρυφή, ὧν τὴν κατὰ τᾶτο θρησκείαν ἐξῆρεν ὁ Παυσανίας καὶ προσεπέτεινε (Ηλειακ. Βιβλ. Ε. κεφ. ΙΒ'.) λέγων, ὅτι καὶ ἐξ Αἰθιόπων τὸν ἐλέφαντα εἰς ἀγαλματοποιΐαν ἀπεκομίζοντο· ἐξ ἧς καὶ ἡ Πλάτωνος προήχθη νομοθεσία, περὶ ἧς Κικέρων ἐν τοῖς κατ' αὐτὸν διέξεισι Νόμοις: τᾷ μὴ χρυσόν, μηδ' ἄργυρον, μηδ' ἐλέφαντα, μηδὲ χαλκὸν ἢ σίδηρον, ἐν τοῖς Ναοῖς ἐνεισάγεσθαι, ἀλλὰ ξύλινά τε καὶ λίθινα καθιερᾶσθαι. Ἐξικνεῖται καὶ γὰρ ἤδη τὸ μεγαλοπρεπὲς τῆς τοιᾶσδε πολυτελείας ἐπὶ τῶν Ἡρωϊκῶν χρόνων, ἐπεὶ καὶ χαλκᾷ, καὶ ἀργύρᾳ, καὶ χρυσᾷ καὶ τῶν ἔτι τιμιωτέρων, ὁρῶμεν πρὸς Ὁμήρᾳ ἐν τοῖς Ἱεροῖς μνείαν γίγνεσθαι. Καὶ Πλέταρχος δὲ Θησέα ἱσόρησεν Ἱερὰ ἐν Κύπρῳ τῇ Ἀριάδνῃ κατασησάμενον, Ἀγάλματα δισσὰ ἐνιδρύσασθαι, τὸ μὲν ἀργυρᾶν τὸ δὲ χάλκεον. Παυσανίας δὲ (Αρκαδ. Κεφ. 15.) Φαινεάτας παρέδωκεν ἐσχηκέναι Εἴδωλον χαλκᾶν Ποσειδῶνος Ἱππίᾳ, ὡς ὑπὸ τᾶ Ὀδυσσέως φάσκοντας καθιερωθὲν: ἀλλὰ γὰρ ἐκ ἀνενδοιάστως τᾶτο πειθέμην ἐγὼ, ἐδὼς κατ' ἐκεῖνο τᾷ χρόνᾳ, μὴ ἐκ χαλκᾶ σερεᾶ εἰωθέναι κατασκευάζεσθαι τὰ ἀγάλματα ὁλοχερῶς, ἀλλὰ δίκην ἐσθῆτος τῆς ἀπὸ πλειόνων ῥακέων συῤῥαπτομένης „Οὐ γάρ πω τότε τᾷ χαλκᾷ τὰ ἀγάλματα διὰ παντὸς ἠπίσαντο ἐργάσασθαι, καθάπερ ἐσθῆτα ἐξυφαίνοντες.„ Παρ' Ὁμήρῳ μέντοιγε, ἐδενὸς Εἰδώλε ἡ ὕλη σαφῶς δηλᾶται, ἐδ' αὐτὸ τᾶνομα, εἰμὴ ἐν γένει τὸ τᾶ Ἀγάλματος: ὅπερ ἦν ἐπὶ τὰ διακοσμήματα καὶ τὰ δῶρα κοινῇ ἐφαπλᾶντος ἐκείνᾳ, οἱ μετ' αὐτὸν Ἕλληνες ἐπὶ τὰ γλυπτὰ μάλισα τῶν εἰκασμάτων συνέσειλαν.

ΚΕΦΑΛ. Ε'.

Περὶ τῶν Θεοῖς Ἱεροπολούντων.

Ἐπὶ τῷ μετιέναι τὰ θεῖα κατὰ τὸ δέον ἐπικαθιζῶντο, οὕσπερ Ἱερεῖς ὁ Ποιητὴς ὀνομάζει, οἵς τε διαφερόντως ἡ τῶν Ἱερῶν Ἄλσεώντε καὶ Ναῶν, καὶ ἡ τῶν τελετουργιῶν ἐγκεχείριτο ἐπισασία καὶ ἐπιμέλεια. ἧς δὴ καὶ τὰ διαφέροντα τῶν μερῶν ἐπὶ τῶν ἐπισημοτέρων χωρίων προσώποις ἐνεχειρίζοντο πλείοσιν, ἐπ' ἄλλων δὲ, καὶ ἑνίοτε καὶ μόνῳ, ὡς Ἀριστοτέλης (Πολιτικ. Κεφ. Η') διδάσκει. „Συμβαίνει δὲ τὴν ἐπιμέλειαν ταύτην, ἐνιαχοῦ μὲν εἶναι μίαν, οἷον ἐν ταῖς μικραῖς πόλεσιν, ἐνιαχοῦ δὲ πολλὰς καὶ κεχωρισμένας τῆς Ἱερωσύνης: οἷον Ἱεροποιὸς καὶ ναοφύλακας καὶ ταμίας τῶν ἱερῶν χρημάτων.„

Ἐφιζῶντο δὲ παρ' Ἕλλησιν εἰς τόδε τοῦργον ἀναμίξ, καὶ γυναῖκες, καθὰ καὶ ἄνδρες· καθ' ὃν δὴ τύπον ὁ Πλάτων (ἐν τῷ Ε. τῶν Νόμων) „Θεσμοθετεῖ τοῖς Ἱεροῖς Νεωκόροις τε, καὶ Ἱερέας, καὶ Ἱερείας δεῖν γίγνεσθαι.„ Ἀλλ' Ἡρόδοτος καὶν τούτῳ, ὡς καὶν πολλοῖς ἄλλοις, διεγνωκέναι τοὺς Ἕλληνας τῶν Αἰγυπτίων (ἐν Εὐτέρπῃ) ἀποφαίνεται· παρὰ γὰρ ἐκείνοις, „Ἱερᾶται γυνὴ μὲν ἑκατέρη, ἔστε ἄρσενος Θεοῦ, ἔστε θηλέος. ἄνδρες δὲ παντωντε τῶν παιδῶν.„ Καὶ τοῦτο δὲ σύμφωνον τοῖς Θείοις θεσμοῖς τοῖς Ἑβραίων, παρ' οἷς τὸ θῆλυ γένος τῆς τῶν θειοτέρων λειτουργίας ἐπείργεται.

Μετῆσαν δὲ τὰ τῆς ἱερᾶς ὑπηρεσίας καὶ οἱ γάμῳ συνημμένοι, ὡς ὁ Μάρων ἐκεῖνος ὁ ἱερατεύων Ἀπόλλωνι, ἕ περ Ὀδυσσεὺς, καὶ συζύγῳ, καὶ τέκνων ὑπεραπίσατο· (Ὀδυσ. Ι'. ς. 199.) καὶ ὁ Χρύσης, οὗ Βρισηὶς ἦν ἡ θυγάτηρ. (Ιλ. Α'. ς. 95. καὶ 369.) Οὕτω καὶ Δάρης ὁ Ἡφαίστου Ἱερεὺς, ὁ παρὰ Τρωσὶ προεδρεύων (Ἰλ. Ε'. ς. 27.) δύο υἱὲς ἦν ἔχων· ἐπὶ δὲ τῆς αὐτῆς Ῥαψῳδίας (ς. 76.) καὶ Υἱψήνωρ διαμνημονεύεται ὁ τοῦ Δολοπίωνος, ὃς ἁ Σκαμάνδρου ἀρητὴρ ἐτέτυκτο· καθάπερ (ἐν Ἰλ. Π. ς. 604.) Λαογόνος ὁ Ὀνήτορος

τῶ ἱερατεύοντος Διὶ τᾷ Ἰδαίᾳ. Παραπλησίως δὲ ἐκ τῶν γυναικῶν, Θεανὼ μὲν ἡ Ἀντήνορος ἐυνέτις, τῶ ἐν Τροίᾳ Νεᾷ Ἀθήνης ἦν προεσηκεία. (Ἰλ. Ζ'. ς. 298.) Παρὰ δὲ τοῖς ὕστερον, ὡς Εὐσάθιος μαρτυρεῖ, συνεχέστερον τὰς παρθενευούσας εἰς τὸ Ἱερᾶθαι ἤρξντο, ἤγεν τὰς ἄχρι τελευτῆς ἐν ἁγνείᾳ βιῶν νομοθετεμένας: οἷαπερ θεσπιάσιν ἐν τῷ Ἡρακλέος τεμένει. „Παρθένος Ἱερᾶτο ἐς ἂν ἐπιλάβῃ τὸ χρεὼν αὐτήν:„ ἢ διέξεισι Παυσανίας· (ἐν τοῖς **Βοιωτικ.** Κεφ: ΚΖ'.) ἢ ἄλλως, ἐς ἂν ἐπίγαμος γένηται: οἷαπερ κατὰ τὸν αὐτὸν (ἐν τοῖς **Κορινθιακ.** Κεφ. ΛΓ'.) ἢ ἐν τᾷ Ποσειδῶνος Ἱερᾷ, τῷ παρὰ Τροιζηνίοις, καθιερωθεῖσα, „ἐς ἂν ἐς ὥραν προέλθῃ γάμε.

Ἐτύγχανον δὲ πρῶτον τε καὶ μάλισα μετιόντες τὴν Ἱερωσύνην ἐκ διαδοχῆς, ἀντὶ τῶν τεκόντων οἱ Φῦιτες· ὃ δὴ παρ' Αἰγυπτίοις καθ' Ἡρόδοτον (ἐν τῇ Εὐτέρπῃ) ἀμεταθέτως ἐκράτει παρατηρέμενον. Καὶ Πλάτων δε (ἐν ς. τῶν Νόμων) ὡσαύτως διατάσσων ὑπῆρξεν: „Ἱερέων Ἱερέας, οἷς μὲν εἰσὶ πάτριαι αἱ Ἱερωσύναι, καὶ αἷς μὴ κινεῖν.„ Ἄλλως δ' ἔν, ἤρξντο καὶ ξένοι μετάπεμπτοι, ἤτοι ψήφῳ, ἢ κλήρῳ, καθάπερ ὁ αὐτὸς διεθέσπισε „Τέτων δὲ πάντων τὰ μὲν αἱρετὰ χρὴ, τὰ δὲ κληρωτὰ ἐν ταῖς κατασάσεσι γίγνεθαι.„ Τᾧ δέ τοι μάρτυς ἐσὶ πιστὸς κὴ ὁ Ἁλικαρνασσεύς Διονύσιος: (Ἀρχαιολ: Βιβλ. Β'.) „Εἰπὼν γὰρ τοὺς παλαιὸς, κλήρῳ διαιρεῖν τοῦς Ἱερεῖς εἰωθέναι, (προσέθηκεν) ἀξιῶντας ἀργυρίε τὸ τίμιον ἀποκηρύττειν.„ Γράφει δὲ καὶ Εὐσάθιος τὸς πάλαι ὑπειληφέναι, Θεανὼ τὴν Ἀθήνης Ἱέρειαν ὑπὸ τῶ Δήμε τῶ Τρωϊκῶ καταξαθῆναι. „ἔτε κληρωτὴν, ἔτ' ἐκ γένες, ἔτε ἑνὸς ψήφῳ, ἀλλ' ἦν, ὡς οἱ παλαιοὶ φασὶ, τό πλῆθος ἕιλετο: περὶ γὰρ αὐτῆς Ὅμηρος ἔφη, ὅτι Τρῶες ἔθηκαν.

Τὰ πολλὰ δ' αὐτοῖς ἡ ἕδρα καὶ οἴκησις ἦν ἀγχῶ τῶν Ναῶν καὶ τῶν Ἱερῶν χωρίων, ὡς δῆλον ἐκ τῶν ἱερατευόντων Ἀπόλλωνι τᾷ

Δελφικῷ: (ἐν τῷ Ὕμν.) καὶ τῶν τῦ Διὸς τῦ Δωδωναίῳ, (Ἰλ. Π. ς. 234.) Καὶ ὁ ἀρητὴς δ' Ἀπόλλωνος ὁ Μάρων, ἐν τῷ ἄλσει ἐσκήνε, ὅπῃ τὰ πρὸς τὸ ζῆν χρειώδη αὐτῷ ἐπήρκουν, ἐκ τῶν τοῖς Θεοῖς εἰωθότων προσφέρεσθαι: ὅπερ ἦν καὶ τοῖς ἐν Δελφοῖς Ἱερεῦσιν ἰδίᾳ καθυπισχνῆται Ἀπόλλων, (ἐν τῷ Ὕμν:) Ὅτι δὲ ἄρα καὶ πλέτε περιεσίᾳ διετέλεν νομῶντες, δεῖγμα ὁ Ἄρης, „ὁ ἀφνειὸς ὢν ἀμύμων Ἱερεὺς Ἡφαίστοιο:„ (Ἰλ. Ε'. ς. 9.) Καὶ περὶ τῆς Εὐρυδάμαντος δὲ τῦ πλεπισμῦ ἀφθονίας γίγνεται λόγος, ἣν τῶν Χίων ἀναιρεθέντων χηρωσὰ δατέοντο: (Ἀυτ. ς. 158.) Ἀλλὰ καὶ Χρύσης ὑπὲρ τῦ Θυγατρίς προσῆγε τοῖς Ἕλλησιν ἀπερείσια ἄποινα: (Ἰλ. Α'. ς 95. καὶ 372.) ὅθεν δῆλον, ὅτι καὶ τότων πολλοὶ ἐξ οἴκων γεγόνεισαν λαμπροτέρων, ὡς Θεανὼ ἡ Ἐννυὸς Πριάμε τῦ Ἀνακτος, καὶ δὴ καὶ Ἕλενος ὁ Υἱὸς. Μᾶλλον δὲ καὶ Βασιλεῖς αὐτοὶ ἐπὶ τῶν Ἡρωϊκῶν χρόνων τὰ τῆς Ἱερωσύνης μετῆσαν, ὡς Ἀριστοτέλης διεπισώσατο. (ἐν Γ'. τῶν Πολιτικ. Κεφ. ΙΔ'.

ΚΕΦΑΛ. ς.

Περὶ τῶν Ἁγνισμῶν.

Ἐπὶ τῆς τῶν Θεῶν αὐτῶν θεραπείας ἐχομένως ἔγγιον ἔλθωμεν· ἐν ᾗ πρὸ πάντων παρατηρητέον: διαφερέσης αὐτοῖς δεῖσθαι καθάρσεως νενομικέναι, τὲς τὰ Ἱερὰ ἐπιβαλλομένες μεταχειρίζεσθαι. Τοιγαρῦν καὶ τὰς χεῖρας εὐλαβῶς εἰώθεσαν νίπτεσθαι, ὁσάκις εὐχὰς ἔδει τοῖς Θεοῖς ἀναστπένδειν, ἢ γοῦν καὶ θύειν. Οὕτως ὁ Νέςωρ, (Ἰλ. Ι'. ς. 791.) ὡς ἂν ἔυτε ἢ καλῶς αὐτῷ ἔξῃ τὰ τῆς πρεσβείας τῷ Διὶ εὐξόμενος: „Φέρτε δὲ χερσὶν ὕδωρ (ἔφη) εὐφημεῖσθαι τε κέλευσε. Καὶ

Ἀχιλεὺς ὑπὲρ τῆς Πατροκλέους σωτηρίας καθικετεύων (Ἰλ. Π. ς. 230.) „Νίψατο δ' αὐτὸς χεῖρας „ Καὶ Ἕκτωρ διευλαβέμενος φαίνεται (Ἰλ. Ζ. ς. 266) χερσὶν ἀνίπτοισιν Διὶ λείβειν αἴθοπα οἶνον", ὃ δήπου ἡμᾶσιν ἰσαρίθμοις ἀποτρέπων ἐστὶ καὶ Ἡσίοδος (ἐν τοῖς Ἔργοις ς. 22.) „Καὶ Ἀχαιοὶ δὲ θύσοντες χερνίψαντο:„ (Ἰλ. Α'. ς. 449.) Κατὰ τὸν αὐτὸν τύπον ἡ Πλαῦτος ἐν τῷ Ἀμφιτρύωνι (ἐν Πράξει Ε'. Σκηνῇ Α'. ς. 41.) Invocat Deos manibus puris „ἐπικαλεῖται τοὺς Θεοὺς χερσὶν ἁγναῖς. καὶ ἐν τῇ Αὐλουλαρίᾳ:„ (Πράξ. Γ'. Σκηνῇ ς. ς 43.)

Ego, nisi quid me vis, eo lavatum, ut sacrificem.
„(Αὐτὸς, εἰμήτι με θέλεις, εἶμι νιψόμενος.)„

Ἀλλ' ἔτι καὶ καθαροῖς ἀμφίοις, τὰ ἱερὰ ἐκτελέσοντες ἀπεχρῶντο, ὥσπερ καὶ Πηνελόπη, (Ὀδυσ. Δ'. ς. 750.)

Ὑδρηναμένη, καθαρὰ χροῒ εἵματ' ἑλοῦσα
Εὔχετο.

Οὕτω δέτοι καὶ ὁ Λατῖνος Ποιητής.

Casta placent superis, pura cum veste venite
. . . . . et pura cum veste sacerdos.

Τὰ ἁγνὰ τοῖς Οὐρανίωσιν ἀνδάνει, καθαρᾷ σὺν ἐσθῆτι δεῦτε
. . . . . καὶ καθαρᾷ σὺν ἐσθῆτι ἀρητήρ.

Ἐνθεντοι καὶ κατὰ τὸν Πολυδεύκην ἐκεῖνοι (Βιβλ. Α'. Κεφ. Α.) οἱ Θεοῖς προσιόντες, περιῤῥαναμένοι ὑπὸ νεοργῷ στολῇ καὶ νεοπλυνεῖ ἐσθῆτι. Πρὸς δὲ δὴ τέτοις, καὶ αὐτὰ τὰ σκεύη, τὰ εἰς ἱερὰν χρῆσιν καθωρισμένα, ἔθος ἦν προκαθαίρειν, ὡς Ἀχιλεὺς ἐποίησεν, ἐν κρατῆρι πεισόμενος. (Ἰλ. Π. ς. 228.)

Ἐχρῶντο δ' ἐπὶ τοῖς καθαρμοῖς τὰ πλεῖστα ὕδατι ἁλμυρῷ, διὰ τὸ ἐνὸν τῆς πυρώδες φύσεως, ἣ φησὶ Πρόκλος, καθαρτικῆς εἶναι νομιζομένης: διὸ καὶ ὕδωρ τὸ θαλάσσιον ἄριστον. Οὕτω Τηλέμαχος (Ὀδυσ: Β'. ς. 261.)

Χεῖρας νιψάμενος πολιῆς ἁλὸς ἠύχετ' Ἀθήνῃ.

Ἅλως τε γε μὴν καὶ τῷ γλυκερῷ ὕδατι ἐνεβάπτετο ἅλας, κατὰ Μένανδρον „Ὕδατι περιῤῥάνας, ἐμβαλὼν ἅλας. Καὶ Θεόκριτος δὲ ἐν τῷ Ἑλάσσονι Ἡρακλεῖ ἔφη: (τετέσιν ἐν τῶ ΚΔ'. Εἰδυλ. ς. 95. καὶ 96.)

Ἅλεσσι μεμιγμένον, ὡς νενόμιςαι,
Θαλλῷ ἐπιῤῥαίνειν ἐςεμμένον ἁβλαβὲς ὕδωρ.

Προσίθησι δ' αὐτόθι προηγεμένως καὶ θεῖον· ᾧ δὴ καὶ Ὅμηρος ἐποίησεν Ἀχιλέα ἐν τῇ τῶ Κρατῆρος ἀποπλύνσει χρησάμενον: (Ἰλ Π. ς. 228.) „ἐκάθηρε θείῳ πρῶτον, ἔπατα δε νίψ' ὕδατος καλῃσι ῥοῇσι. „ ὡσαύτως δὲ καὶ τὸν Ὀδυσσέα ἐν τῷ τὴν οἰκίαν καθαίρειν. (Ὀδυσ. Χ. ς. 481.) Ἀλλὰ γὰρ ἔτος παρὰ ταῦτα, ἔτι καὶ πῦρ προσελάβετο, ἓ τὴν ἰσχὺν ὁ μικρὰν ἐπὶ ταῖς ἀφαγνίσεσιν ὑπελάμβανον. Ταῦτα δὲ παραπλησίως συνῆψε καὶ Ἰουβενάλιος (ἐν Β'. Σατυρ., ς. 157. 158.)

Cuperent lustrari, ſi qua darentur.
Sulphura cum taedis.

„ Βέλοιν' ἁγνίσαθ' εἰ θεῖα παρῆν δαΐδες τε.

Καὶ Οὐίδιος δὲ ἐν ταῖς Μεταμορφώσεσι (Βιβλ. Ζ. ς. 261.)

Terque ſenem flamma, ter aqua, ter ſulphure lustrat.

Τρὶς γεραὸν φλογὶ, τρὶς δέγε ὕδατι, τρὶς δὲ θείῳ
Ἁγνίζει.

ἔνθα δὴ συνέβραμε καὶ τὰ τρία. πρὸ δὲ πάντων τὰς μιανθέντας αἵματι καθαγνιστέας εἶναι ἐνόμιζον· ἔνθεντοι, τὸ τῦ Ἕκτορος ἐπεῖνο: (Ἰλ: Ζ'. ς. 267.)

. . . . Οὐ δέπη ἐσί, κελαινεφέϊ Κρονίωνι.
„Αἵματι καὶ λύθρῳ πεπαλαγμένον εὐχετάασθαι.„

Ε'ζήλωσε δ' Ἕκτορα καὶ ὁ παρὰ τῷ Οὐϊργιλίῳ Αἰνείας (ἐν Β'. Ἀιν: ς. 718.)

Me bello e tanto digreſſum, et caede recenti,
Attrectare nefas, donec me flumini vivo
Abluero.

„Τῶν γάρ μ' ἐκ πολέμοιο, Φόνων τ' ἐλθόντα τοσῶν δε,
„Ψαυέμεν ὐ θέμις, ἐὼ ὕδασ' ἐν ἀγνοῖς λοεσάμην.

Οὕτω δέτοι καὶ τῷ ὄικῳ τῷ Ο'δυσσέως καθαρμῦ ἐδέησε, διὰ τὴν ἐν αὐτῷ τῶν μνηστήρων ἀναίρεσιν. (Ὀδυσ: Χ. ς. 481.) Καὶ Ρωμαίοις δὲ μετὰ τὴν τῶν συιομωτῶν φονοκτονίαν, πάνδημος ὁ ἀφαγνισμὸς διετάχθη: (Διονύσ: ὁ Ἁλικαρν: ἐν Βιβλ. Ε'.) „Ὡ'ς ὐ θεμιτὸν „αὐτοῖς ἐφ' Ἱερὰ παρεῖναι, καὶ θυσιῶν κατάρχειν, πρὶν „ἀφοσιώσασθαι τό μίασμα, καὶ τὴν συμφορὰν λῦσαι τοῖς „ἐωθόσι καθαρμοῖς.„ Οὕτω δεινὸν εἶναι ἐδόκει, καίτοι ἐπὶ δικαίοις, ἡ τῦ βροτείε ἅιματος χύσις. Ἀλλὰ γὰρ καὶ ἐν ὁποιαδήτινι ἄλλῃ, σύνηθες ἦν πρὸς ἐξιλασμὸν τὰς Χεῖρας ἐκπλύνειν, ὡ'ς ὁ Σχολιαστὴς Σοφοκλέες διδάσκει: „Ἔθος ἦν τοῖς παλαιοῖς, ὅτε φόνον ἀνθρώπε „ἢ ἄλλας σφαγὰς ἐποίεν, ἀπονίπτειν τὰς χεῖρας εἰς κά„θαρσιν τῦ μιάσματος.„ Καὶ ἐπίσημον ἦν ἄρα ἐκεῖνο τὸ τῆς ἐξιλεώσεως εἶδος τὸ παρ' Ἀπολλωνίῳ, ἐν ᾧ διὰ σφαγῆς χοιριδίε αἱ τῦ φονευτῦ χεῖρες ὑπὸ τῦ Ἱερέως ἐπλύνοντο.

Ἀλλὰ καὶ δι' αἰτίας ἄλλας οἱ καθαρμοὶ τοῖς παλαιοῖς ἀπετελῦντο: Τοιῦτος ὁ κελεύσματι Ἀγαμέμνονος, ἐν τῷ στρατῷ τῶν Ε'λλήνων πανδή-

μως γενόμενος, ἡνίκα ἐξιλασθεῦσαι Ἀπόλλωνα ἔδει, ἕνεκα τῆς τῦ Ἱερέως τότε γενομένης ὕβρεως. (Ἰλ: Α΄. 5, 313.)

„Λαοὺς δ' Ἀτρείδης ἀπολυμαίνεσθαι ἄνωγεν·
„Οἱ δ' ἀπελυμαίνοντο, καὶ εἰς ἅλα λύματ' ἔβαλλον·

Παυσανίας δ' ἐν Ἀρκαδικ: (Κεφ: ΜΑ΄.) τῦ λοιμῦ χάριν γενέσθαι τό δ' ὑπείληφεν, ὅς λήμη παρ' Ἕλλησιν ὠνομάζετο. ἔνθα καὶ περὶ τῦ Ποταμῦ διέξεισι τῦ Λύμακος ὀνομασθέντος. παρὰ τὸ τῆς Ῥέας μετὰ τὸ αὐτῆ τὰς ἐκ τῦ τοκετῦ Διὸς ὠδῖνας, ἐν ὕδασι ῥυπτικοῖς καθαρθείσης, ἐπὶ τὸν Ποταμὸν ἐκεῖνον ἀποῤῥιφῆναι τὰ Λύματα, καὶ μιάσματα, ἐξ ἃ δὴ τὸ ἔθος, τὸ ἐς τὸ ὕδωρ τὰ ῥύματα ἀποῤῥίπτειν, τὸ ἐν ταῦθα τοῖς Ἕλλησι παρατηρηθὲν. Ταῦτα γὰρ ἄλλως τὰ καθάρματα, ἐν τῇ γῇ ἐνορύττεσθαι προειωθέναι δείκνυσιν ὁ αὐτὸς Παυσανίας, (Κορινθ: Κεφ: ΛΑ΄.) ὡς ἐπὶ τῆς τῦ Μητραλόου Ὀρέστε ἀφοσιώσεως τῆς παρὰ Τροιζηνίοις γενομένης ἐσόρησεν.

ΚΕΦΑΛ Ζ.

Περὶ Ἱκετηριῶν καὶ εὐχῶν.

Οὕτως εὖ δὴ καὶ καλῶς καθαρθέντες ἐπὶ τὰ ἔργα τῆς εὐσεβείας ἐτρέποντο, ἣν ὁ Πλάτων (ἐν τῷ Εὐθύφρονι) κεῖθαι πᾶσαν διδάσκει, „ἐν τῷ εὔχεσθαι καὶ τῷ θύειν. „ὧν, τὸ μὲν ἐστὶ, δωρεῖσθαι „τοῖς θεοῖς, (ἤτοι δῶρα προσάγειν·) τὸ δὲ, αἰτεῖν τὲς θεὲς„ Οὕτω πως ἐν τῷ διδόναι τε καὶ ζητεῖν ἅπαν τὸ τῆς θρησκείας συνίσαται. Περὶ μὲν ἓν τῆς αἰτήσεως διαληψώμεθα πρῶτον, ἔτως ἀνθρώποις τῦ τῆς ἀνάγκης νόμε διατάττοντος, ἣν Ὅμηρος πρὸς ἅπαντας

„ἐφαπλοῖ. (Ὀδυσ. Γ'. ς. 48.) **Πάντες δὲ Θεῶν χατέσθ' ἄνθρωποι.** Ὥσπερ ἓν ἀνθρώποις αἱ τῆ κοινῆ βίᾳ διαφέρσι χρεῖαι, ἔτω διαφέρσαι ὑπῆρχον καὶ αἱ πρὸς Θεὸς διαφόρας γινόμεναι ἱκεσίαι, ἢ τέτων ἑκάςῳ τὰ ἀνήκοντα διεκρίνετο. Τρῶες μὲν γὰρ, (Γλ. Ζ'. ς. 305.) τῆς Πόλεως σφίσι κινδυνευέσης, Ἀθήνην ἐπεκαλέντο τὴν Ἐρυσίπτολιν. Οἱ δὲ μνησῆρες Πηνελόπης ἐν τοξείαις ἐρίζοντες, Ἀπόλλωνα: Ὀδυσ: Φ. ς. 261.) προθείης δ' ἂν καὶ Ὀδύσ Χ. ς. 7.) Ναυτικοὶ δὲ, Ποσειδῶνα, ἢ Κάστορα. (ἐν τῷ Ὕμν.) ἄλλοι δὲ ἄλλες, ἕσπερ διαφερόντως τύχοιεν σεβαζόμενοι· Οἷον Ἀθηναῖν Ὀδυσσεὺς. Κοινῇ δὲ καὶ ἐνδελεχῶς, πάντες τὸν Δία, ἐξ ἓ τῶν δισσῶν πύθων πάντα ἠγέντο, καὶ καλὰ καὶ κακὰ ἀφυσσόμενα. (Γλ. Ω'. ς. 527.)

Καθόλε τοιγαρῆν ἅπαν ἔργον, ὅ, τι καὶ λόγε ἄξιον εἴη, ἐπιβαλλόμενοι, τὲς Θεὲς πρὸ πάντων ἐξήρχοντο ἱκετεύειν, ὧν μὴ ἐπαρηγόντων, ἐδὲν ᾤοντο περαίνεσθαι εὐτυχῶς. Τετὶ γῆν ὁ Νέσωρ παρατηρεῖ, τὴν πρὸς τὸν Ἀχιλλέα πρεσβείαν ἀναληψόμενος. (Γλ. Ι. ς. 172.) καὶ Πρίαμος, τὸν τῆ Υἱῆ νεκρὸν παρὰ τῆ αὐτῆ αἰτησόμενος. (Γλ. Ω'. ς. 306. κξ.) καὶ Ὀδυσσεὺς τὴν παρεμβολὴν τῶν Τρώων κατασκοπέυσων. (Γλ. Κ. ς. 277. κξ.) καὶ Τηλέμαχος τελευταῖον, ἐπὶ τὸν εἰς Πύλον πλῆν παρασκευαζόμενος. Νόμον ἓν ἐντεῦθεν γενικόν τινα φέρει ὁ Πυθαγόρας: „Ἔρχεω ἐπ' ἔργον, θεοῖσιν ἐπευξάμενος.„ τὸν δὲ Νόμον τόνδε ὁσίως τετηρηκέναι τὲς Ἕλληνας, ἐκ τῶν ὑπομνημάτων αὐτῶν καταδηλον. Ἔργῳ γὰρ τῷ τυχόντι ἐπιχειρῆντες, **Θεὸς, Θεὸς** κράζειν εἰώθεσαν. Τᾶτοι καὶ μετὰ τὴν τῆ ἔργε ἐκτέλεσιν, χάριτας τοῖς Θεοῖς δημοσίᾳ καθωμολόγεν, ὡς πολλὰ παρ' Ὁμήρῳ κατιδεῖν ὑποδείγματα πάρεσι-

Τοιγαρῆν ἐφ' ᾧ καὶ ῥᾷον ἐκδυσωπήσωσιν αὐτὲς δῶρα τοῖς θεοῖς ἀπονεμεῖν ὑπιχνῆντο· Οὕτως ἡ Θεανὼ, σὺν ἅμα ταῖς λοιπαῖς Τρωϊάσιν, Ἀθήνην καθικετέυσασα, τὸ Πέπλον προσάγει· καὶ ἅμα δὲ, καὶ δυωκαίδεκα βόας προσεπαγγέλλεται μεταύξε τὴν ἀπολύτρωσιν, ἐπιθύσειν. (Γλ. Ζ'. ς. 302.) Ἀθήνᾳ δ' ἔτι καὶ Νέσωρ, ὑπὲρ τῆς εἰς Ἑλλάδα

ἐπανόδε, ἐν Σωτηρίᾳ, ἔυχεται Ταύρους ἐννέα. Παραπλησίως δὲ καὶ Αἰνείας ἐκλιπαρῶν Ἀφροδίτην, (Αἰνειάδ. Α'. ς. 338.)

Multa tibi ante aras noſtra cadet hoſtia dextrâ.

„ (Πολλὰ τεοῖς ἀυτοὶ ἐπιρέξομεν ἱρὰγε βωμοῖς.)

Καὶ Αἰνειάδ. Ε'. ς. 236.

Vobis laetus ego, hoc candentem in littore taurum
Conſtituam ante aras votis reus . . . . .

„ Ἄμμιν ἐγών, ἐῦφρων μάλα, τῇ δ' ἀκτῇ κατὰ Ταῦρον
„ Ἀργινόεντα θύσω, βωμοῖς ἔπι, ἔνοχος ἐυχῆς.)

Ταῦτα γὰρ δὴ τὰ δῶρα τὰ Λατίνοις (vota) ἰδίως λεγόμενα, ἅτε ἱκετείαις τὰ πολλὰ συναπτόμενα, μιᾷτε καὶ τῇ αὐτῇ φωνῇ, τῇ τῆς **Εὐχῆς**, καθ' Ἕλληνας ἐκδηλέται: Ἑλληνίτε δὲ αὐτὰ, καὶ Ῥωμαίοις, καὶ ἄλλοις ἔθνεσιν ἐν χρήσει γενέσθαι τινὶ δεινᾷ περιστεμένοις, ἐκ τῆς τῶν Συγγραφέων ἀναγνώσεως κοινῇ ἀναμαθὼν πάρεσιν. Ὅθεν καὶ ὁ τὸ „ Ὁμήρε Σχολιαστὴς ἔφη „ Ὅτι, δυσυχίας ἐπίτασις, καὶ σω- „ τηρίας ἀπόγνωσις, ἐυχὴ Θεῶν. Καὶ Πλίνιος (Βιβλ. Η'. Κεφ. Ις'.)

Tum praecipuus votorum locus eſt, cum ſpei nullus eſt.

„ (Περισσία ἐυχῶν, ἐν ἀπρσίᾳ ἐλπίόων.)

Ἐν τῷ δὲ τὰς ἐυχὰς ἐκπληξὸν τάς δε, πολλῇ χρώμενοι τῇ ἐυλαβείᾳ ὑπῆρχον καὶ Ὀσιότητι, χαλεπῶς λίαν ἡγέμενοι νεμεσᾶν τὸς Θεὸς τῆς ἐπαγγελίας ἀθετεμένης. Διὸ καὶ τὰ δεινότερα τῶν ἐπι- σκηπτόντων συσυχημάτων, ἐπὶ τὸ τοιόνδε ὅλως πλημμέλημα ἐπανῆγον. Καθάπερ Ἀχιλλεὺς (Ἰλ. Α'. ς. 65.) τὸν λοιμὸν ἐντεῦθεν παράγει, ὃν Ἀπόλλων κατὰ τῶν Ἑλλήνων ἐφῆκεν:

„ Εἴτ' ἄρ' ὅγ ἐυχωλῆς ἐπιμέμφεται, αἴθ' ἑκατόμβης·

Καὶ Αἰνείας δὲ τὸν ὄλεθρον τῶν Τρώων ὡσάυτως: (Ἰλ. Ε'. ς. 178.

„Εἰ μή τις Θεὸς ἐσὶ κοτεσσάμενος Τρώεσσιν
Ἱρῶν μηνίσας. . . . .

Καὶ ἔτω δὲ καὶ παρὰ Θεοκρίτῳ (ἐν Εἰδυλ ΚΕ'. ς. 200.) Ἡρακλῆς ἔρη, ουδενὶ Ἀχαιῶν εἶναι δῆλον, ὁπόθεν ἄρ ἐκεῖνος ὁ Λέων ἁ πάντα καταερεφόμενος· ἀυτὸν δ' εἰκάζειν, τῶν Θεῶν τινὰ:

Ἱρῶν μηνίσαντα, Φορωνήεσσιν ἐφῆναι.

Πρὸς δ' ἔτι καὶ Ἱερῶν, ἢ ἀναθημάτων, ὧν ἄλλοτε Θεοῖς προσαγηόχεσαν, ὑπεμιμνήσκοντο ἱκετεύοντες· Οὕτως ὁ Χρύσης Ἀπόλλωνα „ἐκλιπαρεῖ: (Ἰλ. Α'. ς. 39. 40.) „Εἴποτε αὐτοῦ τὸν Ναὸν διε-„τέλεσεν ἐρέψας ἢ, εἰδήποτε αὐτῷ κατὰ πίονα μηρὶ ἔκηεν.„ Ὡσαύτως καὶ Κροῖσος τὸν αὐτὸν Ἀπόλλωνα ἐπικέκληται, ἢ διέξεισιν Ἡρόδοτος, (ἐν τῇ Κλειοῖ Κεφ. ΝΖ'.) Οὅτε ἐπὶ τῆς πυρᾶς τεθεὶς „φλογὸς παρανάλωμα ὅσον οὔπω ἔμελλεν εἶναι: „Εἴτι οἱ κεχαρισμένον ἐξ αὐτῦ ἐδωρήθη παρασῆναι.„ Ἐφ' ᾧ καὶ Λεκιανὸς τὸς Ἕλληνας ἐπισκόπτει, εἰδήπερ αὐτοὶ ὤοντο, μηδέν τι τὸς Θεὸς δωρεὰν διδόναι, τοῖς ἀνθρώποις δὲ τ' ἀγαθὰ πάντα διαπιπράσκειν. Ἰδιαίτερον δ' ἐπεμβαίνει τῷ Χρύσῃ: ὃς δῆθεν, πρὸς τῦ Ἀγαμέμνονος τὴν θυγατέρα μὴ ἀπολαβὼν, „Ὡς ἄν καὶ προδανείσας Ἀπόλλωνι τὴν χάριν, δικαιολογεῖται, καὶ ἀπαιτεῖ τὴν ἀμοιβήν.„

Ὅσα δ' εἰς τὸν τύπον τείνει τῦ ἱκετεύειν, χεῖρας εἰς Οὐρανὸν αἴροντας ἀπειραχῦ παρ' Ὁμήρῳ ὁρῶμεν τὸς δεομένος. Τετί γάρπως ἔμφυτον ἀνθρώποις ἅπασιν Ἀριστότελης μαρτυρεῖ, ἐν τῷ περὶ Κόσμυ. „Πάντες ἄνθρωποι ἀνατείνομεν τὰς χεῖρας εἰς τὸν Οὐρανὸν, εὐχὰς ποιύμενοι„ Ἀμέλει καὶ γὰρ ἀναπείθονται πάντες, ὅτι το θεῖον ἐπὶ τὸ ὑπέρτατον ἵδρυται τῦ κόσμυ· διὸ καὶ ὁ ἐρανὸς, Θεῶν ἕδος, Ὁμήρῳτε καὶ τοῖς ἄλλοις τῶν ποιητῶν εἴρηται. Οὕτως (Ἰλ. Ε'. ς. 367. καὶ 868. Καὶ Ὀδυσ. Ζ'. ς. 42.) Καὶ ἀθανάτων ἕδος (Ἰλ. Ε'. ς. 360 καὶ Ἰλ. Θ'. ς. 356.)

Ἀποκαλεῖ δε καὶ Ἀριστοτέλης „Θεοῦ οἰκητήριον τὸν κόσμον τὸ ἄνω. Περὶ οὗ ἄρισα διείλεκται καὶ Τερτυλλιανὸς ἐν τῷ Ἀπολογητικῷ. Κεφ. ΙΖ.)

Ἄλλως τε καὶ ἐπὶ τὰ Θεῶν Τεμένη δημοτελῶς κατέφευγον ἐυξόμενοι, ἐκεῖσε μᾶλλον παρόντας εἶναι πιστεύοντες. Διόπερ Ἡσύχιος „Ναὸς (φησὶν) οἶκος ἐστὶν ἔνθα Θεὸς προσκυνεῖται„ καὶ οἱ φοιτῶντες ἐπ' αὐτὸν προσιέναι τοῖς Θεοῖς ἐλέγοντο: ὅ δὴ καὶ Κικέρων ἐνιοῦν ὑπῆρχε, φάσκων (ἐν τοῖς περὶ τῶν Νόμ.) ad Divos casse adeunto: (Ἀγνῶς τοῖς Θεοῖς πρόσιθι.) Καὶ Τιβέλλος δὲ, (ἐν Α'. Βίβλ. ς. 39.)

Num feror inceſtus ſedes adiiſſe Deorum?

Μὴ μιαρὸς φέρομαι προτὶ Θείων ἐλθέμεν ἕδρας;

Τῶν Ἐνδαλμάτων ἕνεκα δήπε, οἷς τισιν ὡς ὀφθαλμοῖς προκειμένες εἰώθεσαν τὲς Θεὲς ἀντιβολεῖν: διὸ καὶ ἀπαρθέντων τῶν Ἐνδαλμάτων, οἱ Ναοὶ ἅμα κατερημῶντο: ὁ Παυσανίας (ἐν τοῖς Βιωτικ Κεφ. ΛΓ.) τῷ Ναῷ συμβῆναι τῆς Ἀλαλκομενηίδος φησὶν Ἀθηνᾶς, ἀφαιρεθέντος τὸ τῆς Θεὸ σήματος. Οὕτω δέ τοι καὶ παρὰ τῷ Λιβίῳ (ἐν Βιβλ. ΛΗ'.) ποτνιῶνται οἱ Ἀμβρακιῶται, τὰ τῶν θεῶν σφίσιν ἀγάλματα, αὐτὲς τε τέως τὲς Θεὲς ἐξ ἑδρῶν τῶν Ἰδίαν ἀποσπασθῆναι, καὶ τοίχες δὲ καθαιρεθῆναι, καὶ παραστάδας ἀπογυμνωθῆναι, μηδὲ περιεῖναι τοῦ λοιπὸ τοῖς Ἀμβρακιώταις Θεὲς, ἔσπερ ἂν θεραπέυσειαν, ἐυξάμενοίτε καθικετέυσειαν.

Δεῖγμα δὲ τῆς τοιᾶσδε καθικετέυσεως πρόκειται (Ἰλ. Ζ'. ς. 301.) Ἔνθα οἱ Τρωϊάδες ἐν δημοτελεῖ τῇ πομπῇ, Θεανὸς προαγέσης, ἐς τὸ Ἀθηνᾶς Ἱερὸν προοδέυσι, καὶ ὑπὲρ τῆς Τροίας ἤδη παραπολλυμένης χεῖρας ἀνατείνεσιν ὀλολύζεσαι, καὶ τὸ πέπλον ἐπὶ τῶν τῆς θεαίνης γονάτων κατατιθέασιν, οἷα Γραφικῶς παρέστησεν Οὐϊργίλιος. (Α'. ς. 483).

Interea ad templum non aequae Palladis ibant.
Crinibus Iliades paſſis, peplumque ferebant.

„Τόφρα τ' ἀναρσίεω Νηὸν προτί βαῖνον Ἀθήνης,
„Χαίτας Ἰλιάδες προανεῖσαι, πέπλον ἄγεσαι.

Τὸ γᾶν ἔθος ἔωλον ἦν τῆ ἐν περιςάσεσι μεγάλαις, ἐπὶ τὰ Ἱερὰ ἱκέτιδας τὰς γυναῖκας περιιέναι. Πολύβιος γὰρ (ἐν Βιβλ. Θ'.) „ Αἱδὲ „γυναῖκες (φησὶ) περιπορευόμεναι τοὺς Ναοὺς, Ἱκέτευον „τοὺς θεοὺς, πλύνεσαι ταῖς κόμαις τὰ τῶν Ἱερῶν ἐδάφη.„ Ἀλλὰ καὶ τὰς ὀλολυγὰς ἐπὶ τῶν ἱκεσιῶν καὶ δεήσεων, ὡς μάλιςα συνήθεις ταῖς γυναιξὶν Ἑλλήνων γενέθαι, πολλαχόθεν ἐκ τῶν Ὁμήρε δηλῶν-ται. Τὰς δέ τοι ὀλολυγμὰς ἀπὸ τῶν Λιβυσσῶν, προελθεῖν Ἡρόδοτος μαρτυ-„ρεῖ (ἐν τῆ Μελπομ. Κεφ. 189.) „ Δοκέει δ' ἐμοί γε καὶ ὀλολυγὴ „ἐν Ἱροῖσιν, ἐνταῦθα πρῶτον γενέθαι. „ Ἀλλὰ καὶ τὸ πέπλα „εἰωθέναι προάγειν αὐτὰς, μάρτυς Αἰχύλος: „Πέπλαν τε ςεφέων „πότ', εἰμὴ νῦν, ἀμφὶ λιτὰν ἕξομεν. Ἐνθα ὁ Σχολιαςὴς. „Πα-„ρετίθεσαν γὰρ καὶ πέπλες, καὶ ἐνέδυον καὶ πέπλες τὰ „ἀγάλματα„ Παρετήρεν δὲ καὶ τοῖς γόνασιν ἐπιτιθέναι τὰ παῤ ἔθ-νει παντίγε καθιερέμενα. Τάυτη τοι καὶ Ἀρνόβιος (ἐν ς'. Βιβλ.) „Signa, quorum plantas contigitis ac contrectatis orantes. „Τὰ Σημεῖα, ὧν ἅπτεθαι, τῶν ἰχνῶν, καὶ ψηλαφᾶτε „ἐυχόμενοι.

ΚΕΦΑΛ. Η.

Περὶ Σπονδῶν, καὶ θυμιάσεων, καὶ Οὐλοχύτων.

Οἷς δὲ τὰς Θεὰς ἠμείβοντο ἄνθρωποι ὡς ἐν γένει φάναι, ἤτοι θύμα-τα ἦν, ἢ ἀναθήματα. Ἄμφω δὲ συνῆψε τὰ εἴδη Ἕκτωρ (Ἰλ. Ζ. ς. 270.) Ταῖς Τρωΐσιν ἐπιτάξας προσαγαγεῖν τὸ πέπλον Ἀθήνη, καὶ σὺν αὐτῷ

καὶ βοῦς δυωκαίδεκα. Ὡσάυτως Αἴγισθος ὑπὲρ ἐυκληρίας τῶν γάμων ὃς μετῆει, (Ὀδυσ. Γ. ς. 273. 274.)

„Πολλά τε μηρί' ἔκηε Θεῶν Γεροῖς ἐπὶ βωμοῖς,
„Πολλὰ δ' ἀγάλματ' ἀνῆψεν, ὑφάσματά τε, χρυσόντε.

Ὁ δὲ Πλάτων (ἐν Β'. Πολιτ.) ὑποβάλλων τὰ περὶ ὧν ἐπιτελεῖν τοῖς Θεοῖς προσήκει, ἅμα συνάπτει θυσίας καὶ ἀναθήματα, ὡς καὶν τῷ τέρματι τῦ περὶ τῶν ἐυχῶν βιβλίε, δῶρα, καὶ θυσίας Συξέιλας δήπε τὰ δῶρα, εἴς τε τὰ πρὸς καλονὴν ἀνατιθέμενα τοῖς Ναοῖς, καθ' ὃν δὴ λόγον καὶ παρὰ Λατίνοις ὠνόμασαι τὰ τοιαῦτα: munera καὶ donaria, ἥπερ ὀρθῶς διέκρινε Λακτάντιος ἐν τοῖς περὶ τῆς τῦ ἀληθινῦ Θεῦ Λατρείας. (Βιβλ. ς. Κεφ. Ε'χάτῳ) Apud iſtos, qui nullo modo rationem divinitatis intelligunt, donum eſt quidquid auro argento ve fabricatur; item quicquid purpura et ſerico texitur; ſacrificium, victima, et quaecunque in ara cremantur. „(Παρ' αὐτοῖς „τοῖς μηδόλως τὸν λόγον τῆς Θεότητος ἐννοῦσιν, ἀνάθη„μα μὲν ἐσὶν ἅπαν τὸ χρυσίῳ τεκτονέμενον, ἢ αργυρίῳ, „καὶ ἔτι δὲ πορφύραπε καὶ σηρικοῖς νήμασιν ἐξυφάινεται· „Θύμα δὲ τὸ ὁλοκάυτωμα, καὶ ὅσα ἐπὶ βωμῦ καίεται.„)

Ἐν θύμασι σκεπτέον πρῶτον τὰς σπονδὰς (ἤτοι λοιβὰς), τὰ θυμιάματα, καὶ τὰ ἐλόχυτα· ἅπερ ἐν ἀρχῇ μὲν ἦγετο μόνα, ὕσερον δὲ, διετέθη ἐν παντὶ μέρει τῆς Ἱεροτελεξίας.

Αἱ σπονδαὶ παρ' Ε᾽λλησιν ἐν οἴνῳ μάλισα ἐτελῦντο, ἔτω γὰρ ἑκασαχῦ πὰρ Ο᾽μήρῳ (Ἰλ: Α'. ς. 231. καὶ ς. 465. καὶ Ὀδυσ: Γ. ς. 459.) εἴρηται: „Λείβειν αἴθοπα οἶνον. ὁ δ' οἶνος καθαρὸς ἦν, „καὶ ἄκρατος: ἐξ ἧ καὶ αἱ σπονδαὶ ἄκρητοι. προσείρηνται. (Ἰλ: Β. ς. 341. καὶ Δ. ς. 159.) ὅ καὶ παρὰ Ῥωμαίοις ἐυλαβῶς ἔτω παρε-

τηρεῖτο, ὡς καὶ ἐν οἴνοις τοῖς ἐξ Ἑλλήνων κομιζομένοις, ἀθέμιτον οἴεσθαι Θεοῖς ἐπισπένδειν, ἢ Πλίνιος μαρτυρεῖ. (Φυσ: Ἱστορ: Βιβλ: ΙΔ. Κεφ: ΙΘ)

Ἐπὶ τῇ τοιᾷδε χρήσει, ποτήρια χρυσεργῆ παρεσκεύασο παρὰ „τοῖς εὐδαιμονεστέροις. Τοιοῦτον ἦν τὸ Πηλέως Χρύσειον ἄλεισον „ (Ἰλ: Λ. ς. 773. Πρόσθες καὶ τὸ Ὀδυσ: Γ. ς. 50 καὶ 53. καὶ „Ο. ς. 85. καὶ Χ. ς. 10.) καὶ τὸ Μενελάε δὲ Χρύσεον δέπας. „ (Ὀδυσ. Ο. ς. 419.) μέτιθι δὲ καὶ Ἰλ: Δ. ς. 3. καὶ Ψ. ς. 196. καὶ Ω. ς. 285. Καὶ Ὀδυσ: Γ. ς. 41. καὶ 472. Καὶ Κ. ς. 316. καὶ Ο. ς 149. καὶ Σ. ς. 120. καὶ 261. Ἐξόχως δὲ διαθρυλεῖται „(ἐν Ὕμν: τῷ εἰς τὸν Ἀπόλλ. ς. 10.) τὸ Διὸς Χρύσειον δέπας. Τετωνὶ γᾶν τῶν Ποτηρίων οἴνε πληρεμένων, βραχύτι ἀπὸ χειλέων ἄκρων ἀπέχεον εἰς Θεῶν τιμήν, τὸ δὲ λοιπὸν ἐξέπινον αὐτοὶ οἱ σπένδοντες, ὡς ἐκ πολλῶν Ὁμηρικῶν τόπων γίνεται δῆλον. Ἀλλ' ἦν ἔξοχον τὸ Ἀχίλλειον δέπας ἐκεῖνο, ἐξ ᾧ μηδενὶ προπίνων ἐτύγχανεν ἀνδρὶ ἑτέρῳ, μηδενί τε Θεῶν, πλὴν ἢ τῷ Ζηνὶ σπένδων καὶ μόνῳ. (Ἰλ: Π. ς. 227.)

Αἱ δὲ σπονδαὶ αὗται Ἱκετηρίαις τὰ πλεῖστα συνήπτοντο: Ἰλ: Π. ς. 231.) Οἵαν περ ἂς Ἀχιλεύς ὧδε ὑπὲρ τῆς Πατρόκλε σωτηρίας σπένδεται. Καὶ Νέστωρ δ' ἔτως ἐποίει ὡς Ἀχιλέα ἀπελευσόμενος. (Ἰλ: Ι. ς. 171. 172.) καὶ Πρίαμος. (Ἰλ. Ω. ς. 306.)

Καὶ τὰς ἐπιθυμίας δὲ, ἃ μικρὸν δύναθαι ᾤοντο Ἕλληνες πρὸς Θεῶν ἐξιλέωσιν, διὸ καὶ ταῖς σπονδαῖς αὐτὰς ἢ ἱκεσίαις Ὅμηρος συνεζεύγνυ. (Ἰλ. ς. 495.)

„Καὶ μὲν τοὺς Θυέεσσι, ἢ εὐχωλῇς ἀγανῇσι,
„Λοιβῇτε, κνίσσητε, παρατρωπῶσ' ἄνθρωποι.

Καὶ Ἡσίοδος (ἐν τοῖς Ἔργοις, ς. 336.) τοῖς περὶ Γεωρ-„γίαν ἀχολεμένοις διαγορέυει, πρωΐαστε καὶ ἑσπέρας τὰς Θεὰς σπον-

δῆσι Θυέεσσίτε ἱλάσκεσθαι. Παραπλησίως δὲ καὶ Ἕκτωρ ἀνώγει τὴν αὐτοῦ μητέρα ἐπὶ τὸν Ἀθήνης Ναὸν πεύσασαν ἐν θυμιάμασιν εὔξασθαι. (Ἰλ. Ζ. ς. 269.)

„ . . . . Πρὸς νηὸν Ἀθηναίης ἀγελαίης,
„Ἔρχεο σὺν θυέεσσιν. . . . . .

Ἐξ ὧν καὶ τὰ Ἱερὰ τεμένη, καὶ οἱ βωμοὶ Θυώδεις τε προσείρηνται καὶ Θυόεντες: Οἷονπερ ἰδιαίτερον ἦκε τὸ ἐν Κύπρῳ Ἱερὸν τῆς Ἀφροδίτης. (Ἰλ. Ε.) Περὶ ὧν καὶ Οὐϊργίλιος ἐν Αἰνειάδι:

Ubi templum illi, centumque Sabaeo
Thure calent arae, ſertisque recentibus halant

„Ἔνθα νεὼς αὐτῇ, ἑκατὸν βωμοίτε Σαβαίῳ
„Εὐώδεις λιβάνῳ, νεοδρέπτοισίντε ἀώτοις.

Καίτοιγε ὁ λιβανωτὸς ὧδε κατὰ πρόληψιν ἔοικεν εἰρῆσθαι. Ὡς γὰρ Πλίνιος φησὶ (Βιβλ. ΙΓ. Κεφ. Α.) Iliacis temporibus thure non ſupplicabatur; cedri tantum et citri ſuorum fructicum in ſacris fumo convolutum nidorem verius, quam odorem noverant. „Ἐπὶ τῶν Ἰλιακῶν χρόνων, ἐχὶ ἐν λιβανωτῷ αἱ Ἱκεσίαι „ἐγίνοντο: τῷ γὰρ τῶν Κεδρίνων τε καὶ Κιτρίνων θάμνων „καπνῷ τῆς συνελισσομένης ἐπὶ τῶν Ἱερῶν κνίσσης ἠθά„νοντο μᾶλλον, ἢ Εὐωδίας„ Περὶ ὧν καὶ Ἀρτέβιος (ἐν Βιβλ. Ζ. κατὰ τῶν ἐθνῶν.) τὸ πρόσφατον ἐπιγιγνώσκων τῆς χρήσεως τῷ λιβάνῳ, φησί: nam neque in iis temporibus, quemadmodum creditur, et perhibetur, heroicis, quidnam eſſet thus, ſcitum eſt, ſcriptoribus, aut comprobatur a priſcis, quorum in libris nulla mentio ejus reperitur. „Οὐδὲ γάρ ἐπὶ τῶν Ἡρωϊκῶν

„ἢ πιστεύεται καὶ λέγεται χρόνων, τίποτε ἄρα ἦν ὁ λιβανω-
„τὸς ἐγινώσκετο· ἐδ' ὑπὸ τῶν παλαιοτέρων συγγραφέων
„ἐδεμιᾶς μνήμης ἐν ταῖς τέτων βίβλοις ἐμφερομένης.)

Λείπεται καὶ περὶ ἐκείνων διελθεῖν, ἃς Ὅμηρος ἀποκαλεῖ **Οὐλὰς, ἢ Οὐλοχύτας**: τὰς ἐδὲν ἄλλ' ἢ Ὀπώρας ἕσας ἢ καρπὲς λίθῳ, ἢ μύλωνι συντετριμμένες τε καὶ ἀπεληλεσμένες. Εἰς τέτο δ' οἱ παλαίτατοι τῶν Ἑλλήνων τῇ **πριθῇ** χρώμενοι διετέλεν, ὡς τῇ **Ζειᾷ** οἱ Ῥωμαῖοι, (Far) κατὰ Διονύσιον τὸν Ἁλικαρνασσέα. (ἐν Βιβλ: Β'.)
„Καὶ γάρ ὥσπερ Ἕλληνες, τὸν κρίθινον καρπὸν ἀρχαιό-
„τατον ὑπολαμβάνοντες ἐπὶ τῶν Θυσιῶν κριθαῖς καταρχό-
„μεθα, ἐλὰς αὐτὰς καλέντες, ἕτω Ῥωμαῖοι τιμιάτατόντε
„καρπὸν, καὶ ἀρχαιότατον εἶναι νομίζοντες τὰς ζέας, διὰ
„τέτων ἁπάσης ἐμπύρε θυσίας καταρχοντας. Προσεθεῖναι δ'
„αὐταῖς καὶ ἅλας διδάσκει ὁ τῆ Ὁμήρε Σχολιαστὴς: „Οὐλαὶ, Κριθαὶ
„μετὰ ἁλῶν μεμιγμέναι (φησὶν) ἃς ἐπέχεον τοῖς Ἱερεργε-
„μένοις ζώοις πρὸ τῆ θύεθαι. Διὸ καὶ Οὐϊργίλιος Fruges falsas
λέγει. Καὶ Πλαῦτος (ἐν τῷ **Ἀμφιτρύωνι**: Πρᾶξ: Β. Σκην: Β)
Sed mulier postquam experrecta es, prodigiali lovi —
aut mola salsa hodie, aut thure comprecatum oportuit.
„(Ἀλλ' ὦ γύναι, ἐπεὶ ἐξηγείρω, τῷ τερατουργῷ Διὶ, ἤτοι
„ἐν Οὐλαῖς ἁλιπάροις σήμερον, ἢ γῆν ἐν λιβανωτῷ Σὲ προσ-
„ἐυξαθαι ἔδει.)

Οὕτω δὴ καὶ Πηνελόπη οὐλὰς ἐν κανέῳ ἐνθεῖσα ἄλασίγε συμμίκτες, Παλλάδι ἱκέτις παρέστη· (Ὀδυσ. Δ'. ς. 761.)

Ἐν δ' ἔθετ' ὀλοχύτας κανέῳ, ἠρᾶτο δ' Ἀθήνῃ.

Ὅλως δὲ μεγίστη τις ἦν ἐν Ἱεροῖς τέτων ἡ χρῆσις, ὡς καὶ Πλίνιον (ἐν Βιβλ. ΛΑ. Κεφ. Ζ.) φάναι: nulla fine his confici: (μηδὲν τέτων ἄνευ τελεῖσθαι.) Ταὐτὰ αὐτὰ Οὐλόχυτα καὶ τοῖς τῶν Ἱερείων μετώποις, καὶ τέτων τοῖς ὁλοκαυτωθησομένοις μέλεσι, καὶ μὲν δὴ καὶ ταῖς τραπέζαις αὐταῖς, καὶ ταῖς μαχαίραις εἰώθεσαν ἐπιπάσσειν.

Ἐπῆχε δ' ὁ τύπος ἐκ τῶν κατ' ἀρχὰς θυσιῶν, αἳ πάλαι ἐκ τῶν τοιέτων μόνον καρπῶν συνίσαντο, ὡς ὁ τῆ Ὁμήρε Σχολιασὴς ἐπισεσημείωκεν. Ὅθεν Ουίδιος (ἐν Α'. Faſtorum ς. 337.)

Ante Deos homini quod conciliare valeret
Far erat, et puri lucida mica ſalis.

„(Πρόσθε δὲ ἀνθρώποις, ὅ Θεὸς διαλάξαι ἄν ἴσχοι,
„Ζεύς, καὶ ψυξῆν πρός γε, ἁλὸς καθαρῆ.)

Ετι δ' ὑπὸ Νεμᾶ θεσμοθετηθῆναι, ἡ παρὰ Ῥωμαίοις μαρτυρεῖ „ἀρχαιότης. Ῥωμαίοις καὶ γὰρ, ᾗ Πλέταρχος φησὶν, „αἱ θυσίαι „ἀναίμακτοι ἦσαν, αἵτε πολλαὶ δὶ ἀλφίτε καὶ σπονδῆς, καὶ „τῶν ἐυτελεσάτων πεποιημέναι. „ Ἐπιβεβαιοῖ δὲ καὶ Παυσανίας (ἐν Ἀρκαδικ. Κεφ. Β.) Κέκροπα τὸν ἀρχαιότατον Ἀθηναίων ἄνακτα, ἔμψυχον μηδὲν τεθυκέναι, ψαισὰ δὲ μόνον πάτρια, ἕς πετάνυς ἐκάλεν, προσαγορεύσαι.

Τῷ ὄντι γὰρ ὁ τῶν Ἱερείων σφαγιασμὸς ὀψιαίτερον τοῖς ἔθνεσιν εἰσηνέχθη, ἀπαίσιον ἡγεμένοις τὴν τε αἵματος ἔκχυσιν: Ὅθεν καὶ ῥέζειν, καὶ ἔρδειν εἰρηνται, οἱ πρῶτοι τοῖς θεοῖς σφαγιάζοντες: ὡς ἰταμόν τι ἐπιχειρῆντες. „Ταραττόμενοι καὶ δειμαίνοντες ἔρδειν, „ἐκάλεν καὶ ῥέζειν, ὥστι μέγα δρῶντες τὸ θύειν ἔμψυχον: „καθὰ φησὶ Πλέταρχος.

ΚΕΦΑΛ. Θ'.

Περὶ τῶν Σφαγιασμῶν.

Περὶ τῆς τῶν ἐμψύχων ἐφεξῆς προσφορᾶς διαληπτέον, τῆς ἐν ὑσέρεις, μόνης χεδὸν, τὸ τῆς Θυσίας ὄνομα διατηρησάσης. Περὶ γᾶν τὰ θύεσθαι μέλοντα τῶν ζώων, πολλῇ ὑπῆρχον τῇ ἀκριβείᾳ χρώμενοι, ὡς τὰ κάλλιστα ἐκλέγειν καὶ τελεώτατα. (Ὀδυσ. Λ. ς. 30)

„ . . . . . Ῥέξειν ἑκάτην Βοῦν ἤτις ἀρίστη.

Καὶ Ἰλιάδ: Α΄ ς. 66.

„ . . . . . Ἀρνῶν νίσσης, αἰγῶντε τελείων.

Ἔνθα ὁ Σχολιαστὴς ἀναπτύσσων προσίθησιν: „Ἤτοι τὴν ἡλικίαν „ὁλοκλήρων: λελωβημένον γὰρ ἐθύεται, ἀλλ' ὑγιὴς ἡ τῶν „τελεμένων θυσία.„ Διὸ καὶ κατὰ τὸν Πολυδέυκην (ἐν Βιβλ: Α΄ „κεφ: Α΄. 26.) „Ἱερεῖα Ἄρτια, ἄτομα, ὁλόκληρα, ὑγιῆ, „ἄπηρα, παμμελῆ, ἀρτιμελῆ, μὴ κολωβὰ.„ Οὗ χάριν καὶ Ἀθηναῖοι Λακεδαιμονίοις ἀμέλειαν ἐνεκάλεν περὶ τὰ Θεῖα „Οὔτι καὶ „ἀνάπηρα θύεσιν ἑκάστοτε:„ ὡς Ἰδεῖν ἐστὶ παρὰ Πλάτωνι. (ἐν Β΄. Ἀλκιβιάδ.) Οἷς δὴ καὶ Τερτυλλιανὸς (Ἀπολογητ: Κεφ: Γ.) παραπλήσια τοῖς ἐπ' αὐτῷ ἔθνεσιν ἐγκαλῶ: Volo et ritus veſtros recenſere; non dico, quales ſitis in ſacrificando, cum eneſta et tabidoſa, et ſcabioſa, quaeque maſtatis; cum de optimis et integris ſupervacua quaeque pueris, vel canibus deſtinaſſetis, „(βέλομαι καὶ τὰς ὑμῶν „τελετὰς καταλέξαι: ἔφημι, ὁποῖοιγ' ἐστὲ ἐν τῷ θύειν: ὁπό „τε τὰ μὲν ἀπεκταμένα, καὶ φθισιῶντα, καὶ ψωριῶντα „σφαγιάζετε, ἀπὸ δὲ τῶν ἀρίστων καὶ ὁλοκλήρων τὰ πε„ριττὰ ἔκασα ἀκροτομεῖτε, κεφάλι ἄττα καὶ ὀνύχια, ἄτι„να καὶ οἶκοι τοῖς παισὶν ἂν, ἢ τοῖς κύνεσιν ἀφορίσαισθε.)

Τοῖς μὲν ἓν παλαιοῖς τῶν Ἑλλήνων εἰς θυσίαν μάλιστα ζώων εἴδη παρελαμβάνετο ἔξ: Πρόβατον, ἡ Ὗς, ἡ βοῦς, καὶ Κάπρος, καὶ Ἀλέκτωρ, καὶ Χήν, ὡς ἔχει Σουίδ, ἐν Λεξ: **Θυσία.** Ἀλλ' Ὅμηρος μόνης τῆς τῶν τεσσάρων πρώτων χρήσεως μέμνηται, ἔντε τοῖς Ἱερεῖοις, καὶν ταῖς τῶν Ἡρώων κοινῇ ἐστιάσεσιν. Οὗδέ τοι βοῦς πρὸ τῶν ἄλλων ἡγεῖται, ὃν τετιμῆθαι διαφερόντως ὁ Ποιητὴς συνεχῶς παριστησι. Καὶ Πλίνιος δὲ (ἐν Βιβλ: Η. Κεφ ΜΕ:) ἔτω διέξεισιν, Ἐξ αὐτῶν γὰρ τῶν σφαγιασμάτων τὰ ἄριστα, καὶ ἡδυφιλεστάτη τῶν Θεῶν ἐξιλέωσις. Ὅθεν καὶ τὸ ῥῆμα **βοῦθυτεῖν**, διὸ ἔ τὸ τῶν βοῶν κυρίως δηλοῦται σφάγιον, ἐξ οὗ καὶ ἐπὶ τὰ τῶν λοιπῶν ἐμψύχων μετείληπται θύματα, ὡς παρὰ τῷ Ἀριστοφάνει (ἐν τῷ **Πλούτῳ** ς. 820.)

„Βοῦθυτεῖ

„Ὗν, ἡ τράγον, ἡ κριὸν ἐξεφανωμένος.

Ἀλλὰ γὰρ κατὰ τὸν τοῦ Σόλωνος νόμον, ἓν ἔδει βοῦν θύεσθαι, ὡς ὁ Πλούταρχος μαρτυρεῖ: Τοῦθ' ὅπερ Αἰλιανὸς (βιβλ. Ε'. Κεφ. ΙΔ.) „Περὶ βοὸς τοῦ ἀροτῆρος ἑρμηνεύει ῥηθέν. „Ὅτι ἡ οὗτος ἂν γεωργος „(εἶναι ῥηθείη) καὶ τῶν ἐν ἀνθρώποις καμάτων κοινωνὸς. Πάντως δήπου καὶ ἄλλοι τῶν Ἑλλήνων ἐχ ὁσίαν σφίσιν ἐνόμιζον τὴν τοῦ τοιοῦδε βοὸς σφαγίασιν.

Οὐ μέντοιγε ἀναμίξ τῶν εἰρημένων ζώων τὰ τυχόντα τῷ τυχόντι τῶν Θεῶν θέμις ἦν σφαγιάζειν, ἀλλ' ἄττα δὴ ἑκάστῳ ἐξ ἔθους καθιέρωτο. Οὕτω γὰρ Ἀριστοτέλης (ἐν τῷ Θ. τῶν Ἠθικ. Κεφ. Β.) διατείνεται, μὴ πᾶσι ταὐτά, μηδὲ τῷ πατρὶ πάντα ἐπίσης εἶναι ἀποδοτέον, ὡς ἐδὲ Ζηνὶ πάντα θύεται: Ὅπερ ἀναπτύσσων (ἐν τῷ Ε'. Βιβλ. Κεφ. Ι. Νομικόν (φησὶν) „Αἶγα Διὶ θύειν, ἀλλὰ μὴ πρόβατα.„ Τεναντίον δ' ἓν τ.ὴν αἶγα τῇ Ἀθηνᾷ μηδαμῶς ὑπὸ τῶν Ἀθηναίων θύεσθαι, Ἀθήναιος μαρτυρεῖ. (Βιβλ. ΙΓ. τῶν Δειπνοσοφ.) Τὸ δέ τοι σύ„νολον ὑπὸ τοῦ Πλινίε (Βιβλ. Η'. Κέφ. ΜΕ.) παρατετήρηται, „μηδὲ „χωλαίνοντι, μηδ' ἀλλοτρίῳ ὄντι τῷ Θύματι. (nec claudicante, nec aliena hostia.) τοὺς Θεοὺς ἐξιλάσκεσθαι.

Ἀλλὰ γὰρ Ζηνὶ καὶ βῶν σφαγιάζεσθαι εἰωθέναι, τῇ ἡλικίᾳ προήκοντα (Πενταέτηρα) ὁ ποιητὴς ἔφη: (Ἰλ. Β. ς. 403.) Οὐδυσσεὺς δ' αὐτῷ ῥέξει κριὸν, ἀλλ' ὃ καλλιερεῖ. (Ὀδυσ. Ι. ς. 551.) τῷ δ' αὐτῷ παραπλησίως συνάμα τῷ Ἡλίῳ ἐτύθη Κάπρος. (Ἰλ. Τ. ς. 197.) Τῷ δ' Ἀπόλλωνι Ταῦροι προσῆχθεν καὶ αἶγες. (Ἰλ. Α. ς. 41..) καὶ ἄρνες πρωτόγονοι. (Ἰλ. Ψ. ς. 864. καὶ 873.) Ποσειδῶνι δὲ Ταῦροι Θαμὰ παμμέλωνες. (Ὀδυσ. Γ. ς. 6.) εἰς παράσασιν τῶ ἀγρίστε καὶ ζοφερῆ τὴς Θαλάσσης. Καίτοιγε τῷ αὐτῷ, Ταῦροι ἀργῶντες, παρὰ Πινδάρῳ ἐτύθησαν, ὃ πρὸς τὸν τῶ παλάγες ἀφρὸν Ἴσως ἐπαναντέον. Ἔπει καὶ τοῖς ποταμοῖς Ταύρες ἔρδον, τῷ Ἀλφειῷ, καὶ τῷ Ξάνθῳ. (Ἰλ: Λ. ς. 727.) Καὶ Φ. ς. 131.) Τῷ δέτοι Σπερχειῷ πρόβατα. (Ἰλ: Ψ. ς. 146. 147.) Τῇ δέγ' Ἀθήνῃ τοὶ πλεῖσαι ἔρδον Δάμαλιν. (Ἰλ: Λ.) καὶ

„ Ταύτην . . . . . „ Ἥνιν,

„ Ἀδμήτην, ἣν ἔπω ὑπὸ ζυγὸν ἤγαγεν ἀνὴρ. (Ὀδυσ: Γ.. ς. 383.) Ταύτην δὲ Iniugum (ἄζευκτον) εἶπε Φῆτος: Caſta cervice (ἀγνὴν τὸν τράχηλον) Σίλιος. Προσήγετο δὲ τῇ αὐτῇ Θεαίνῃ καὶ πρόβατον, (Ὀδυσ: Δ.) Οὐχὶ τῶν ἀπαλωτέρων, παῤ Ἀθηναίοις, ἢ φησὶν Ἀθήναιος (ἐν Βιβλ: Θ.) Τῷ δὲ Ἑρμῇ ἐθύετο ἀρνίατε καὶ ἐριφια· (Ὀδυσ: Τ.) καθαπερεῖν καὶ ταῖς Νύμφαις.. (Ὀδ: Ρ.) Θεοῖς δὲ τέως τοῖς ὑποχθονίοις προσήγετο Βοῦς στερίφη· (Ὀδυσ: Λ.) Οὕτως ἔν κατὰ τὲς Θεὲς ἐποικίλλετο καὶ τὰ Ἱερεῖα διακρινόμενα τῷ εἴδει, τῇ ἡλικίᾳ, τῇ Χρόᾳ, τῷ ἄῤῥενι, καὶ τῷ θήλει, ὡς Ἀρνόβιος (ἐν Βιβλ: Ζ.) κομψῶς διαλέγεται.

Τὰς μὲν ἓν προσαγομένας βῶς, χρυσᾷ εἰώθεσαν χρίοντες τοὶ κέρα ἐπικοσμεῖν (Ἰλ: Κ. ς. 294.)

„Τήν τοι ἐγὼ ῥέξω χρυσὸν κέρασιν περιχεύας.

Ὃ καὶ Οὐιργίλιος ἐμιμήσατο: (Αἰνειάδ. Θ.)

Et ſtatuam ante aras aurata fronte juvencum.

„ (Στήσω πρὸς βωμοῖσι δέ χρυσομέτωπον μόχον.)

Ὁ δέ τοι τρόπος ὁ τῆς περιχρυσώσεως, περιγέγραπται (Ὀδυτ: Γ. ς. 425.) ἔνθα Λαερκεὺς ὁ χρυσοχόος, λαβὼν χρυσὸν παρὰ Νέστορος, „Ὅπλα χερσὶν ἔχων χαλκήϊα, εὖτε ἀσκήσας „ Βοὸς κέρασιν περιχεῦεν. (Ἀυτ: ς. 37. 38.)

„ . . . . Ἵν ἄγαλμα Θεά κεχάροιτο ἰδέσα.

Τετὶ δὲ Πλάτων ἔθος πανηγυρικὸν Ἀθηναίοις ἔφησεν εἶναι: (ἐν Ἀρκιβιάδ. Β.) ἐν οἷς πρός γε τοῖς λοιποῖς μαρτυρίοις τῆς μεγαλοπρεπείας, τίθησι καὶ βᾶς τὰς χρυσόκερως. Καὶ τοῖς Ῥωμαίοις δὲ τὴν τοιάνδε τελετὴν ἑόρτιον ἀναγράφει συνεχῶς, ἐν τῇ αὐτοῦ Ἱσορίᾳ Τίτος ὁ Λίβιος, καὶ ἐξ Ἑλήνων δὲ ὀνομασὶ παραληφθῆναι γράφει Μακρόβιος, (ἐν Βιβλ: Α. τῶν Κρονικῶν.)

Ἐπεσφαγιάζετο δὲ τοῖς Θεοῖς, ἤτοι θύματα μοναδικὰ, ἢ ἅμα πλείονα· καὶ ταῦτα εἴτε ὁμοειδῆ, εἴτ' ἓν ἑτεροῖα τοῖς εἴδεσιν. Εἰς τόδε δ' ἀνήκεσιν, αἳ περὶ ὧν συνεχῶς μνεία γίνεται, ἑκατόμβαι, ὡς δῆθεν ἐκ βοῶν κυρίως ἑκατόν συνισάμεναι, τὲθ' ὅπερ ἡ ἐτυμολογία „ ἐπιμαρτυρεῖσα ἐμφαίνει. ἐξ Ἑκατὸν (κατ' Εὐσάθιον) δηλονότι „ κυρίων βοῶν „ Καίτοιγε καταχρησικώτερον τὰ πλεῖσα, καὶ ἐξ ἄλλων „ ζώων ἑτεροειδῶν, ἐπληρεῦντο αἱ ἑκατόμβαι· Ἐξ Ἑκατὸν ζώων, ἢ „ κυριώτερον εἰπεῖν, βοσκημάτων„ Οὕτω γάρ δὴ καὶ Ὅμηρος ὀνομάζει: ἑκατόμβας Ταύρων, ἠδ' αἰγῶν: Ἰλ: Α. ς. 315) „ Καὶ Ἀρνῶν πρωτογόνων. (Ἰλ: ψ. ς. 864. καὶ 873) Προσίθησι γεμήν Εὐσάθιος, ὅτι περὶ τὲ ἑκατονταδικὲ ἀριθμὲ πάλαι διημφισβήτηται, γενέθαι λέγων τὲς ἡγησαμένες συνεσᾶναι τὴν „ ἑκατόμβην Ἐκ τετραπόδων εἰκοσιπέντε, τῶν βάσεις ἤτοι „ πόδας ἐχόντων ἑκατὸν. Τὲς δὲ ἐξαληφέναι ἀορίσως

„ἀντὶ πολλῶν ζώων τὴν ἑκατόμβην. Ἀλλ' ὅτι γάρ τις καὶ λόγος ἐκείνης ἐγίνετο τῆς κυρίως, ἡ τῶ Νέστορος παρίστησιν ἑκατόμβη, (Ὀδυσ: Γ. ς. 59) ἐν ᾗ τετρακισχίλιοι πεντακόσιοι βόες, Ποσειδῶνι σφαγιάζονται ὑπὸ τῶν Πυλίων. Προσμαρτυρεῖ δὲ καὶ ἡ τῆς ἑκατόμβης ἀρχὴ ἡ πρώτη, ἣν ἀπὸ τῶν Λακεδαιμονίων ὁ Στράβων παρήγαγεν (ἐν Βιβλ: Γ.) Οὗτοι γὰρ ἑκατὸν πόλεις πάλαι νεμόμενοι, βοῶν ἑκατοστὺν κατ' ἐνιαυτὸν ἐσφαγίαζον· καὶ τάυτη διέξεισιν, ὅτι καὶ Λυσιανοὶ ἑκατοστύας ἱερείων ἑκάστε ἔτες διέταξαν παρὰ σφίσι τελεῖσθαι, ζηλῶντες τὸς Ἕλληνας.

Θύειν δὲ εἰώθεσαν τὰ σφάγια ἐπὶ τῶν ὑψηλῶν, οὓς δὴ βωμὸς Ὅμηρος ὀνομάζει. Οἱ δὲ Λατῖνοι aftacio ἐντεῦθεν εἶπον, οἱονεὶ alias areas: (ὑψυλὰς ἄλλως:) Οἱ δέ γε βωμοὶ ἐν τοῖς Ναοῖς κείμενοι διαφερόντως ὑπῆρχον, ἔνθα πρὸ τῶν ἱδρυμένων τοῖς θεοῖς ἱνδολμάτων τὰ Ἱερὰ ἔρεζον. Ἀλλὰ δεδόμητο αὐτοῖς βωμὸς, καὶ παρὰ τῇ ἀκτῇ τῶ πελάγες (ἐν Ὕμν. τῷ εἰς τὸν Ἀπόλλ.) καὶ παρὰ τοῖς Ναυσὶ δὲ βωμοὶ τοῖς Ἕλλησιν ἔκειντο πολιορκῆσι τὸ Ἴλιον (Ἰλ. Λ. ς. 807.) „Οὕτω δὲ καὶ οἱ Ἀργοναῦται (κατὰ Ἀπολλώνιον) φέρονται „βαμεν „ἀνασήσαντες ἐπάκτιον: ὅπερ ἔξ ἔθες ἐποίεν, ὡς ἂν ὑπερ εὐπλοίας ἔυχοιντο Ποσειδῶνι. Ἔνθ' ὅτε δὲ καὶ ἐπ' ἀκροτόμων ὀρέων βωμὸς καθίσων, ὡς Ἀγχίσης ὑπιχνεῖτο τῇ Ἀφροδίτη (ἐν τῷ Ὕμνῳ.) Πολλάκις δὲ καὶν ἄλσεσι, καὶν ἀγροῖς Ἱεροῖς, καὶ παρὰ πηγαῖς. Τοιὸς δε ἦν ὁ πρὸς τῇ Κρήνῃ, τῇ ἐγγὺς τῶ Ἰθάκης ἄστεος, ἐν ᾧ ταῖς Νύμφαις οἱ παροδεύοντες ἔθυον. (Ὀδυσ. Ρ.) Ἔτι δὲ μὴν, καὶ τὸ παρὰ τοῖς Σπερχειοῦ, Κρανοῖς, Τέμενος, βωμός τε θυήεις: ἔνθα Πηλεὺς ἔυξατο ἑκατόμβην προσοίσειν. (Ἰλ. Ψ'.) Ταύτη τοι καὶ Ἰθακες ἔρεζαν. „Ἄλσος ὑπὸ σκιερὸν ἑκατηβόλε Ἀπόλλωνος. (Ὀδυσ. Υ. ς. 278.) Καὶ Ἀχαιοῖ δὲ (Ἰλ. Β'. ς. 305.) „Ἀμφὶ περὶ κρήνην „ἱερὸς κατὰ βωμὸς. Ἀλλὰ γὰρ καὶ ἡ Ἱερὰ αὐτὴ ἐπιμαρτύρεται

ἱστορίαι, ὅτι παρὰ τοῖς ἔθνεσι τὸ τοιόνδε ἐπεπόλαζεν ἔθος τῶ ἐπιθυμίαν ἔντα τοῖς ἄλσεσι, καὶ τοῖς δρυμῶσιν. (Βασιλειῶν Δ. Κεφ. ΙΖ. Ε'δαφ. 32.)

Καὶ ἐν οἰκήμασι δὲ τοῖς τῶν ἰδιωτευόντων ἀνεγείροντο βωμοὶ, ἐφ' οἷς σφαγιάζοιεν: ἐξ ὧν διὰ φήμης ἤγετο διαφερόντως βωμὸς ὁ Διὸς ἑρκείου. (Οδυσ. Χ. ς. 335.) Τέτες δ' Εὐσάθιος μὲν ἔφη „Ἔξω τῆς αὐλῆς ἱδρύθαι ἐν Ὑπαίθρῳ: Πολιδεύκης δὲ, „ἐν μέσῳ τῶ οἴκω· ᾧ συνάδει καὶ Οὐεργίλιος. (Αἰνειάδ. Β'.)

Aedibus in mediis, nudoque fub aetheris axe
ingens ara fuit.

(Μεσσηγὺς μεγάροιο, αὐλῆς αὐτοῖς ἐν ὑπαίθροις,
βωμὸς ἔην ἐυρὺς. . . . . .

πρὸς ὃν Ε'κάβη καταπεφεύγει μετὰ τῶν τέκνων, καὶ Πρίαμος ὁ ἐκεῖ καὶ ἀναιρεθείς. Τετὶ δ' Εὐριπίδης (ἐν Τρωάσι) παρὰ τῷ βωμῷ τῶ Ἑρκείου Διὸς ἔφη συμβῆναι. Ἔφη δὲ καὶ Ἀθήναιος (ἐν τῷ Ε'. Βιβλ.), ὅτι αὐλὴν ἀποκαλεῖ Ὅμηρος τὸν ὕπαθρον τόπον, ἔ βωμὸς ἔκειτο ὁ Ἑρκείου Διός. Πρὸς ὅπερ ἀνάγει καὶ τὸ ποιηθὲν, (Ἰλ. Λ. ς. 773.) τὸν Πηλέα καταληφθῆναι θύοντα Αὐλῆς ἐν χόρτῳ. Ἀλλὰ καὶ Εὔμαιος, Τν ἔρεξεν ἐπ' ἐχάρη: (Οδυσ. Ξ. ς. 420.) Πρὸς ἓν τὸν τοιόνδε βωμὸν τὸν ἐν τοῖς βασιλικοῖς Φαιάκων μεγάροις, καὶ Οδυσσεὺς ἱκέτης καθῆτο. (Οδυσ. Ζ. ς. 153) Ὥτε πολλὲς ἡγήσαθαι, καὶ βωμὸν ἐκεῖσε παρὰ τῇ Ε'στίᾳ κεῖθαι ἕ χάριν καὶ πανταχῆ πάρεσι κατιδεῖν καὶ θύματα ἐντὸς τῶν τοίχων παρ' ἑαυτοῖς ἰδίᾳ ἐπιτελέμενα οἶκοι. Ὅπερ ἓν, ὡς ἐκ ἐνέκρινε Πλάτων (ἐν τᾷ Ι. τῶν Νόμων.) τὰ Θεῶν Ἱερὰ ἐντεῦθεν ἀπῆρε, δημοσίᾳ κελεύων ἕκαστον θύειν, τὰ ὁλοκαυτώματα τῷ Ἱερεῖ παραδόντα, ἵνα συνάμα τέτῳ καὶ αἱ εὐχαὶ καὶ δεήσεις συνεπιλαμβανομένῳ τελῶνται. Τῆτο δὲ παρὰ Πέρσαις ἀεὶ κρατῆσαι Ἡρόδοτος μαρτυρεῖ· (ἐν τῇ „Κλειοῖ.) ἐπεὶ τῶν Ἱερῶν. „Οὐδὲν, ὅτι μὴ διὰ τῶν μάγων

„παρ' ἐκείνοις ἐρέζετο. Ἄνευ γὰρ δὴ Μάγε, ἢ σφὶ νόμος „ἐσὶ θυσίας ποιέεσθαι.„ Οὕτω δὲ δὴ καὶ περὶ τῶν Γάλλων Διόδωρος „ὁ Σικελιώτης (ἐν τῷ Ε. Βιβλ.) διέξεισιν. „Ἔθος δ' αὐτοῖς ἐσὶ, „μηδένα θυσίαν ποιεῖν, ἄνευ φιλοσόφε.

ΚΕΦΑΛ. Ι.

Περὶ τῆς ἐν τῷ τὰ Ἱερὰ τελεσιεργεῖν διατυπώσεως.

Ἡ τῦ τελετεργεῖν τὰ Ἱερὰ διατύπωσις ὑπὸ Ὁμήρε περιγράφεται: (Ἰλ. Α΄ ς. 446. Καὶ Β΄. ς. 402. κτ.) Προσέτι δὲ, (καὶ Ὀδυσ. Γ) ς. 430. κξ. Καὶ Ξ. ς. 421.) ἣν περ καὶ παρὰ Ῥωμαίοις κοινῇ τηρεῖθαι Διονύσιος ὁ Ἁλικαρνασσεὺς περιγράφων, ἅμα ἐξ ὧν μνημονέυει Ὁμηρικῶν τόπων, κατασκευάζει. (ἐν τοῖς περὶ τῆς Ρωμαίων Ἀρχαιολογ. Βιβλ. Ζ.) τότε ἦν καὶ αὐτοὶ σιχῶντες τοῖς ἴχνεσιν, ἕκαζον τῶν τῆς Ἱεροτελεξίας μερῶν ἐν τάξει ἐκθήσωμεν.

Πρῶτον, ὡς καὶ ἐν πάσῃ τελετῇ ἱερᾷ, τὰς χεῖρας ἀπένιπτον: ὅ δὴ „χερνίψαθαι Ὅμηρος λέγει, ὡς καὶ Λυσίας Ἐχερονίψαντο, ἔφη, ἐκ τῆς ἱερᾶς χέρνιβος. Ἐπὶ τότῳ γὰρ αὐτοῖς, ὕδωρ ἦν ἐν λέβητι ἕτοιμον. (Ὀδυσ. Γ. ς. 440.)

„Χέρνιβα δέ σφ' Ἄρητος ἐν ἀνθεμόεντι λέβητι
„Ἤλυθεν ἐκ θαλάμοιο φέρων. . . . . .

Ἀλλὰ χέρνιβα πρὸκειτο καὶν τοῖς προτεμενίσμασι φησὶ Συνέσιος. Ἐπὶ τῷ σταθμῷ δὲ Ἱερεὺς ἵσατο, κλάδῳ καλλιελαίας τὸς εἰσιόντας ἐπιῤῥαντίζων: ὅς, καθὰ παρὰ τῷ Σωζομένῳ ἀναγινώσκεται: „Θαλλοὺς τινὰς διαβρόχας κατέχων, νόμῳ Ἑλληνικῷ, „περιέῤῥαινε τὸς εἰσιόντας.

Παρεσκευάζετο δὲ τετί τὸ ὕδωρ καθάρσιον, δαλῷ ἀπὸ τῶν ἐπὶ „τῦ βωμῦ καιομένων ἐμβαπτομένῳ. (Α'θήναιος ἐν Βιβλ. Θ.) „Ε'ς, „(χέρνιψ) Ὕδωρ, εἰς ὃ ἀπέβαπτον δαλὸν ἐκ τοῦ βωμῦ λαμ„βάνοντες, ἐφ' ᾧ τὴν θυσίαν ἀπετέλεν, καὶ τέτῳ περιῤ„ῥαίνοντες τοὺς παρόντας ἥγνιζον.„ ὡς καὶ ἐξ Ε'υριπίδε δηλῦται, (Η'ρακλ: μαινο)

„Μέλλων δὲ δαλὸν χειρὶ δεξιᾷ φέρειν
„Εἰς χέρνιβ' ὡς βάψειεν Α'λκμήνης γόνος.

Μετὰ τῦτο, Ο'υλοχύται μεθ' ἁλῶν ἀπὸ τῦ προκειμένε κανέε ἐπὶ κεφαλῆς τε καὶ νώτε τῷ ἱερείῳ ἐπελέοντο, ὃ κυρίως τὸ παρὰ Λατίνοις ἐσὶν immolare (οἷον ἀνελοχυτεῖν. Ο'υτω γὰρ δὴ παῤ Ο'μήρῳ (Ἰλ: Α'. ς. 449.)

„Χερνίψαντο δ' ἔπειτα, καὶ ἐλοχύτας ἀνέλοντο.

Προσετίθεν δὲ καὶ τρίχας, ἀπὸ μετώπε τῦ ἱερείε ἀποτμηθέισας, ἃς τῷ πυρὶ ἐνέῤῥιπτον, οἱονεὶ καθ' Ο'μηρον ἀπαρχάς. (Ο'δυσ: Γ. ς. 445.)

„Χέρνιβά τ' ἐλοχύτας τε κατήρχετο, πολλὰ δ' Αθήνῃ
„Ἤυχετ' ἀπαρχόμενος, κεφαλῆς τρίχας τ' ἐν πυρὶ βάλλων,

Παραπλησίως δ' (Ὀδυσ: Ξ ς. 422.)

„Α'λλ' ὅγ' ἀπαρχόμενος, κεφαλῆς τρίχας ἐν πυρὶ βάλλεν
„Ἀργιόδοντος υἱὸς, καὶ ἐπεύχετο πᾶσι Θεοῖσιν.

Ε'νταῦθα δ' ἐγίνοντο ἐδεήσεις, ὧν ἄνευ, ἐδὲν συνίσατο ἱερεῖον, ὡς Πλίνιος μαρτυρεῖ. (Βιβλ: ΚΗ. Κεφ: Β',) ἠτεῦντο δὲ τὰ ὑπὲρ

ἂν μάλιστα ἦν ἡ θυσία προσαγομένη: Οἷον Χρύσης μὲν, (Ἰλ: Α.) ὑπὲρ τῆς τῶ λοιμῶ καταπαύσεως, Εὔμαιος δὲ, (Ὀδυσ: Ο.) ὑπερ τῆς τῶ Ὀδυσσέως ἐπανόδε.

Ἐντεῦθεν ἓν ἐπὶ τὸ σφαγιάσαι ἐχώρεν· καὶ πρῶτον μὲν ἔκοπτον τὸ θῦμα πελέκει: (Ὀδυσ: Γ. ς. 449.)

. . . . . „ Πέλεκυς δ' ἀπέκοψε τένοντας
„ Αὐχενίους, λῦσεν δὲ βοὸς μένος.

Εὔμαιος δὲ σχίζῃ προσεχρήσατο ἐπὶ τέτῳ· (Ὀδ. Ξ. ς. 425.)
„ Κόψε δ' ἀναχόμενος σχίζῃ δρυὸς, ἣν λίπε πείων.

Πάτριον δὲ Καππαδόκαις τόδε τὸ ἔθος γενέθαι ἱστορεῖ Στράβων, (Βιβλ: ΙΕ.) τῶ μὴ ἐν μαχαίρᾳ, ἐν σχίζῃ δὲ σφαγιάζειν, οἱονεὶ σφύρᾳ πατάσσοσιν. Οὕτω κατὰ Σβετόνιον (Κεφ: ΛΒ.) καὶ Καλιγόλας ἐπεχείρει.

Εἶτα τῶ παταχθέντος σφαγὶς ἠδειρὴ ὑπετέμνετο μαχαίρᾳ (Ἰλ: Α. ς. 459.) „ Αὖ ἔρυσαν μὲν πρῶτα καὶ ἔσφαξαν . . . Καὶ Ὀδυ: Γ. ς. 453)

„ Οἱ μὲν ἔπειτ' ἀνελόντες ἀπὸ χθονὸν ἐυρυοδείης
„ Ἔσχον· ἀτὰρ σφάξεν Πεισίστρατος ὄρχαμος ἀνδρῶν.

Τῶτο δ' ἐτελεῖτο μαχαίρᾳ. (ἐν Ὕμν. τῷ εἰς τὸν Λ'πόλ: ς. 537.)

„ Δεξιτερῇ μάλ' ἕπασος ἔχων ἐν χερσὶ μάχαιραν
„ Σφάζειν αἰὲι μῆλα . . . . .

Παυσανίας δ' (ἐν Μεσηνιακ:) μαχαίραις τε αἷς αἱ γυναῖκες τὰ Ἱερὰ ἔθυον. Τὰ δ' ἅμα σὺν ἐλοχύταις, καὶ τοῖς ἄλλοις τοῖς ἐπὶ τῶν ἱερείων χρειώδεσιν, ἐφέροντο ἐν κανέῳ, ὡς Ἀ'ριστοφ: διδάσκει

(ἐν τῷ Δράμ: Εἰρην:) Ἀλλ' ἐπὶ τῆς δειροτομίας ἰδιαίτερον προσεπισημειωτέον, ὅπερ ὁ τὸ Ὁμήρε καθυποβάλλει Σχολιαστὴς, ὅτι, „αὖ ἐρύσαν ἐώθεσαν: εἰς τὸ πίσω (δηλ:) ἀνακλάσαν τὸν „τράχηλον τῷ θυομένε ἱερείε, ὡς προσέχειν εἰς ἐρανὸν „τοῖς Θεοῖς, οἷς ἦν ἐθύοντο· ἀμέλει ἦν αὐτῶν ὄντων ἐν τῷ „ἐρανῷ: Τεναντίον μέντοι τοῖς Ἥρωσιν, ἅτε δὴ θανάτε αὐτοῖς „γευσαμένοις „ἔντομα ἔθυον ἀπιβλέποντα κάτω εἰς γῆν. ἥπερ ὁ τὸ Ἀπολωνίε Ἐρμηνευτὴς (ἐν τῷ Α'. τῶν Ἀργοναυτικῶν,) παρασημειῆται. Τὸ δ' αἷμα εἰς ἄγγος ἀπετίθετο, Ἄμνιον καλέμενον παρ' Ὁμήρῳ, (Ὀδυσ: Γ, ς. 444.)

. . . . „Περσεὺς δ' ἄμνιον εἶχε . . . . . .

Κατὰ δὲ τὸν Σχολιαστὴν, τὸ ἀγγεῖον ὅπε τὸ αἷμα τῷ ἱερείε δέχονται, οἱ Ἀττικοὶ σφάγιον καλῶσιν.

Ἀποσφαγέντα ἓν τὰ Θύματα ἀπέδερον, εἶτα εἰς μέρη ἀπέτεμνον· ἐξελόντες δὲ τὰ μηρία τῷ ἐπιπλόῳ ἐπεκάλυπτον· καὶ τέτοις μόρια ὠμὰ, ἀπὸ πάντων τῶν μελῶν ἀποτμηθέντα ἐπετίθεν: ὅπερ ὠμοθετεῖν Ὁμηρος ἔλεγεν. (Ἰλ. Α. ς. 459.)

. . . . . „Ἔσφαξαν καὶ ἔδειραν,
„Μηρὺς ἐξέταμον, κατά τε κνίσσῃ ἐκάλυψαν
„Λίπτυχα ποιήσαντες, ἐπ' αὐτῶν δ' ὠμοθέτησαν.

Καὶ Ὀδυσ: Ξ. ς. 427.)

„Ἄψα δέ μιν διέχευον· ὁ δ' ὠμοθετεῖτο Συβώτης
„Πάντοθεν ἀρχόμενος μελέων, ἐς πίονα δημόν.

Οὕτω γᾶν πως τὰ μηρία τῷ σέατι καὶ τοῖς ποικίλοις τεμμαχίοις τοῖς ἐξ ὅλε τε ζώε, δίκην ἀπαρχῶν ἐκληφθεῖσιν, ἐπικαλυφθέντα

τῷ πυρὶ ἐπετίθεντο ἐκθυμιαθησόμενα, ἀλφίτων ἐπιπασσομένων: (Ὀδυσ: Ξ. ς. 429.)

„ Καὶ τὰ μὲν, ἐν πυρὶ βάλλε παλύνας ἀλφίτῳ ἀκτῇ.

Ἐπεχέοντο δ' ἐπὶ τοῖς μηροῖς καὶ λοιβαὶ ἐξ οἴνου. (Ἰλ. Α'. ς. 462.)

„ Καῖε δ' ἐπὶ χίζησ' ὁ γέρων, ἐπί δ' ἄιθοπα οἶνον
„ Λεῖβε . . . . . .

Καὶ Ἰλ: Λ. ς. 773. 774. περὶ τῦ Πηλέως θύοντος:

„ . . . . . Ἔχε δὲ χρύσειον ἄλεισον
„ Σπένδων ἄιθοπα οἶνον ἐπ' αἰθομένοις Ἱεροῖσι

Οὕτω δὴ τὰ μηρία ἐξαιρέτως, ἐκ πάντων τῶν τῦ σφαγίου τοῖς Θεοῖς πρεσήγετο: ἐξ ὧν καὶ συνεχὲς παρ' Ὁμήρῳ, εἰς δήλωσιν θυσίας τελεμένης τό: Πίονα μηρία καίειν· καθάπερ ἔν καὶ παρὰ τῷ Θεοκρίτῳ. (ἐν Εἰδιλ: ΙΖ.)

„ Πολλὰ δὲ πιανθέντα βοῶν ἐπὶ μηρία καίειν.

Καὶ παρὰ τῷ Βακχυλίδῃ.

„ Δαιδάλων τ' ἐπὶ βωμῶν Θεοῖσιν εὔχεται, βοῶν
„ Ξανθῇ Φλογὶ μηρία . . . . . .

Τῷ ὄντι δὲ, ἴδιόν πως Ἑλλησι τετὶ γενέσθαι τὸ ἔθος σαφῶς (ἐν τοῖς Ἀττικ.) ἐπιμαρτυρεῖ Παυσανίας:

„ Τοὺς μὲν μηρὸς κατὰ νόμον ἐκτεμὼν τῶν Ἑλλήνων, ἐς
„ αὐτοὺς καιομένους ὁρᾷ.„

Τὰ λοιπὰ δ' ἔν τῶν μερῶν τῦ σφαγίου ἀποτμηθέντα ἐν ὀβελοῖς ἥπτατο, καὶ πὶ τῷ συμποσίῳ ἠδίετο. (Ἰλ: Α. ς. 464.)

„ Αὐτὰρ ἐπεὶ κατὰ μοῖρ' ἐκάη, καὶ σπλάγχν' ἐπάσαντο,
„ Μίσυλλον τ' ἄρα τ' ἄλλα, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρον,
„ Ὤπτησάν τε περιφραδέως ἐρύσαντό τε πάντα.
„ Αὐτὰρ ἐπεὶ πάυσαντο πονὸν, τετύκοντό τε δαῖτα,
„ Δαίνυντ' οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.

Ταῦτὸ πραχθὲν ἰδεῖν ἐστὶ καὶ Ὀδύσ: Ξ. Εἰμὴ ὅτι κατὰ τελετὴν τιν' ἰδιαιτέραν, ἑπτὰ διεταχθησαν μοῖραι: ὧν μία μὲν προσήνεκτο ταῖς Μοίραις, ἑτέρα δὲ, τῷ Ἑρμῆ· αἱ δὲ λοιπαὶ διανενέμηντο ἑκάστοις. Οὕτω τὲς Θεὲς ἐπίστευον κοινωνὲς ἔχειν ἐν εὐαχήμασι, τὲθ' ὅ πολλαχὲ Ὅμηρος ἐστὶν ἐπιμαρτυρῶν· ἰδίᾳ δὲ, (Ἰλ: Α. ς. 423.) ἐν οἷς Ζεὺς λέγεται ἀπεληλυθέναι, μετ' ἀμύμονας Αἰθιοπῆας συνάμα τοῖς λοιποῖς Θεοῖς μετὰ δαῖτα· καθ' ὃν δήπε τύπον τὸ πάλαι καὶ αἱ παρ' Ἕλλησιν εὐωχίαι ἐν τοῖς Ναοῖς πρὸ τῶν Ἐνδαλμάτων τῶν Θεῶν συνετελὲντο, οἷς τισι ποικίλα τῶν ἐδεσμάτων παρατιθέμενοι, τὰ πλεῖστα τὲ θύματος σφίσιν ἀπεταμίευον, ἵνα ἐν βρώσει τε καὶ πόσει ἐπειτρυφήσωσιν· ὃυ χάριν καὶ τὴν μέθην ἔφη Ἀθήναιος κατὰ Ἀριστοτέλην ἔτω κληθῆναι, ὡς μετὰ τὸ θύειν συμβαίνεσαν. ὃ καὶ τῷ ὑπὸ Ἐπιχάρμε „ εἰρημένῳ συνάδει: „ Ἐκ μὲν θυσίας, θοίνη, ἐκ θοίνης πόσις „ ἐγένετο, ἐκ δὲ πόσεως κῶμος.„ τετὶ δ' ἐν ταῖς ἐπισήμοις μάλισα τῶν ἑορτῶν ἦν συμβαῖνον, ταις ὑπὸ τῶν παλαιῶν, ὡς φησὶν Ἀθήναιος (ἐν Βιβλ: Θ.) διαταχθείσαις, ὡς ἂν εἰς ἄνεσίν τινα καὶ ψυχαγωγίαν τελοῖντο τοῖς ἀνθρώποις, ἅμα δὲ καὶ εἰς ἐπιχαλίνωσιν τρυφῆς ἀκολάσε· τὲς Θεὲς ἀμέλει ὑπαιθρίοις μεθ' ὧν ὑπῆρχον συνευωχέμενοι. Καὶ Πλάτων δὲ (ἐν Β. τῶν Νόμων) ὡσάυτως οἴεται. τὲς Θεὲς τῶν θνητῶν ταλαίπωρον κατοικτείραντας βίον, εἰς ἀνάπαυλαν τῶν πόνων τὰς δημοτελεῖς ἑορτὰς διατάξαι καὶ πανηγύρεις. καὶ

μὲν δὴ ἡ τὰς Μέσας, καὶ τὸν Ἀπόλλωνα, καὶ τὸν Βάκχον συνεορ-
„τασὰς παρεῖναι, „ἵνα ἀπάρχωνται τὰς γενομένας τροφὰς
„ἐν ταῖς ἑορταῖς μετὰ τῶν Θεῶν:„ Τὰ δ' ἄλλα ἐν ταῖς
ἑορτασίμοις ταῖσδε ἡμέραις ἀπὸ τῶν ἐπιμόχθων ἔργων ἐς τοσῆτον
ἀπέχοντο, ὥστε τὸν Λυτίνοον ἀποφήνασθαι (Οδυσ: Φ: ς. 259.)
μηδὲ τόξον θέμις εἶναι ἐντείνειν, ἑορτῆς ἀγομένης Ἀπόλλωνι:

. . . . . Τίς δέπε τόξα τιταίνοιτ'; ἀλλ' ἔπηλοι
„Κάτθετ' . . . . . .

Ὡς τῆς ἑορτῆς ἀργίαν ἐθελέσης, φησὶν Εὐσάθιος. Ὅθεν
καὶ τὸ παροιμιῶδες ἐκεῖνο τῦ Θεοκρίτυ: Ἀργοῖς αἰὲν ἑορτή.

Ἐπεὶ δὲ ἐν καιροῖς διαφέρεσιν αἱ τοιαίδε ἑορταὶ ἤγοντο, μάλισα δὲ
μετὰ τὸ θέρος ἢ πάρεσιν ἰδεῖν (Ἰλ: Ι. ς. 530.) ἔνθα περιοργῆς γε-
νέσθαι Ἀθηνᾶ λέγεται, παρὰ τὸ μὴ τεθυκέναι αὐτῇ τὸν Οἰνέα
„Θαλύσια γανῷ ὁλοῆς, τῶν λοιπῶν Θεῶν ἐν ἑκατόμβαις
„εὐωχεμένων. Ἔφη γεῦν καὶ ὁ Σχολιαστὴς „ὅτι τὰς ὑπὲρ εὐθα-
„λείας καὶ εὐφορίας τῶν καρπῶν διδομένας θυσίας μετὰ
„τὴν συγκομιδὴν τῶν καρπῶν, τοῖς τε ἄλλοις, καὶ τῇ
„Δήμητρι (προσῆγον.)„ Τῇ μέντοι Δήμητρι πρὸ τῶν ἄλλων ἐξόχως
ἄτε δὴ αὐτῇ ἐπὶ τῶν καρπῶν θεαίνῃ, ὡς παρὰ τῷ Θεοκρίτῳ παρί-
σαται.

Καὶ ταῦτα μὲν περὶ τῆς καθόλε τῶν σφαγιασμάτων διατυπώ-
σεως εἰρημένα, ἄλις ἐχέτω. Τὰ γάρ τοι τῶν Ἱερῶν ἐν μέρει τῶν
Θεῶν ἑκάστῳ ἀνήκοντα πέρας ἐκ ἔχει, ἐφ' Ὅμηρος αὐτὸς διεξέρχεται,
ὃν ἡγεμόνα τῦ ἐν χερσὶ πονήματος πρεσησάμεθα.

ΚΕΦΑΛ. ΙΑ'.

Περὶ τῶν Ἀναθημάτων.

Λοιπὰ περὶ τὴν τῶν Θεῶν λατρείαν τοῖς Ἕλλησιν ὑπῆρχε τὰ ἀναθήματα, καὶ τὰ παντοῖα δῶρα, ἅπερ αὐτοῖς ἐκαλλιεργεῖτο Ἐν τέτοις κατὰ τὸν Πολυδεύκην ἔφερον τὰ πρῶτα οἱ στέφανοι. „Στέμμα δὲ τὸ „πάλαι μηδενὶ, εἰ μὴ τῷ Θεῷ, προσενέμετο, φησὶ Πλίνιος (Βιβλ. Ιϛ. Κεφ. ΙΔ.) Corona antiquitus nulla, nisi Deo dabatur

Τοιοῖσδε δὴ στεφάνοις τὸν Ἀπόλλωνος Ναὸν διηγλαϊκέναι ὁ Χρύσης ἔφασκεν. (Ἰλ. Α. ϛ. 39.)

„Εἶπα τέ τοι χαρίεντ' ἐπὶ νηὸν ἑρέψω.

Ὁ Σχολιαστὴς, ἐστεφάνωσα. Ὡς καὶ Λεκιανὸς (ἐν τῷ περὶ τῶν „Θυσιῶν) ἡρμήνευσεν: „Ἐγὼ μέν σου τὸν νεὼν τέως ἀστεφάνω„τον ὄντα πολλάκις ἐστεφάνωσα.„ Ἐνθεντοι καὶ αὐτὸς Χρύσης παρεσὼς ὤφθη (Ἰλ. Α. ϛ. 14.)

„Στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλε Ἀπόλλωνος.

Ἅπερ ὁ Σχολιογράφος ἐκ δάφνης ἠγήσατο, φυτῷ τῷ Ἀπόλλωνι καθιερωμένῳ. Οὕτω γὰρ δὴ καὶ τῷ Βάκχῳ ἐκ κισσοῦ εἰώθει τὰ στέμματα πλέκεθαι. ὃν καὶ Κισσοκόμην ἐντεῦθεν Ὅμηρος (ἐν τῷ Ὕμνῳ) ἐκάλεσε· καὶ τῷ Διὶ ἐκ δρυὸς, καὶ τῇ Ἀθήνῃ δὲ ἐξ ἐλαίας· ἧς πέρι τυχὸν ἐκδεκτέον, ὅπερ ἡ Θεὸς (ἐν τῇ Βατραχομυομαχίᾳ) ἐπεισάγεται λέγουσα: ὅτι οἱ μῦς αὐτῆς τὰ στέμματα ἐδηδοκότες παρεδηλήσαντο.

Ἑπόμενος ἐστὶν ὁ λόγος ὁ περὶ τῶν ἐθήτων (ἢ τῶν περιβολῶν) ἃς πολυτίμους λίαν τοῖς θεοῖς προσανῆπτον· ὡς Αἴγισθος, (Ὀδυσ. Γ. ϛ. 274.)

„Πολλὰ δ' ἀγάλματ' ἀνῆψεν, ὑφάσματά τε χρυσόν τε.

Οὕτως αἱ Τρωϊάδες ἀνήνεγκαν τὸ πέπλον τῇ Ἀθηνᾷ: (Ἰλ. Ζ. ς. 271. καὶ ς. 303.) Τῇ δ' αὐτῇ Θεῷ παρ' Ἀθηναίων ἀνὰ πέμπτον ἔτος, καθ' ὃ τὰ Παναθήναια ἑορτάζετο, παρεσκευάζετο τὸ πέπλον, ᾧ ἐνεγέγραπτο Ἐγκέλαδος ὁ Γίγας, ὁ ἀναιρεθεὶς ὑπὸ τῆς Θεᾶ, καὶ τὰ ὀνόματα τῶν ἐν μάχαις ἀνδραγαθισαμένων, ὡς παρὰ τῷ Σκίδα ἀναγινώσκεται. Παραπλήσιον δὲ ἐν τῇ Ἠλείων ἀγορᾷ ὑπὸ ἑπκαίδεκα γυναικῶν εἰς τιμὴν τῆς Ἥρας συνεξυφάνθαι πέπλον διέξεισι Παυσανίας, ἐν τῷ ς. Βιβλ. Κεφ. ΚΔ.) Εἰς τοῦτο δὲ φέρει καὶ ἡ Πλάτωνος θεσμοθεσία, ἣν ἐξ ἐκείνε Κικέρων. (Βιβλ. Β'. περὶ τῶν Νόμ.) διέρχεται: In delubris communibus tectione operosius quam mulie-„ris opus menstruum. „(Ἐν τῇ τῶν κοινῶν περικαλύψει „ἱνδαλμάτων ἐργωδέσερον, ἢ γυναικὸς ἐπιτήδευμα μη-„νιαῖον.)„ Εὐδηλον δ' ὅτι τὸ ἔργον τόδε εἰς χρῆσιν μάλιστα τὴν περὶ τὰ Ἰνδάλματα καθιερᾶτο, ἅπερ οἱ πάλαι ἀμριεννύειν εἰώθεσαν. Τὰς δὲ δὴ τοιαύτας ἀμφιάσεις διεξήγνυον, χειρῶν ἑκρυόμενοι αὐτὰς ἁρπα-„λέων, ὡς Ἡσύχιος παρετήρησεν: „Οἱ ἀνατιθέντες ἱμάτια κα-„τέχιζον αὐτά, ἵνα μὴ ἀρθῶσι παράτινων.„

Τὰ δὲ πλεῖστα τῶν ἀγαλμάτων σκεύη ἦν χρύσεα, ἀργύρεα, χάλκεα, σιδήρεα, καὶ τὰ τοιαῦτα, ἐν οἷς ἐθρυλλεῖντο διαφερόντως οἱ τρίποδες, οἱ εἰς τιμὴν μάλιστα ἀνατιθέμενοι τῷ Ἀπόλλωνος, ὡς ἐκ τῷ Δελφικῷ Ναῷ ἀναφαίνεται: περὶ ὧν Ὅμηρος ἐν τῷ εἰς τὸν Ἑρμῆν Ὕμνῳ ς. 179.

„Ἔνθεν ἅλις τρίποδας περικαλλέας, ἠδὲ λέβητας,
„Πορθήσω, καὶ χρυσὸν, ἅλις τ' αἰθωνα σίδηρον.
„Καὶ πολλὴν ἐσθῆτα.

Καθιερῶντο δ' ὡς τὰ πολλὰ, ὑπὸ τῶν ἐν τοῖς ἀγῶσι τὰ ἐπὶ τῇ νίκῃ ἆθλα κομιζομένων: ὡς Ἡροδότῳ (ἐν τῇ Κλειοῖ) περὶ τῆς ἀθλήσεως εἴρηται Ἀπόλλωνος τῦ Τριοπίυ. Τοὺς ἓν τοιύτους, χορηγικὺς τρίποδας ἀπεκάλεσαν.

Ἀλλὰ καὶ οἱ νικῶντες εἰώθεν τὰ ἀπὸ τῶν πολεμίων λάφυρα τοῖς Θεοῖς ὁμοίως ἀνατιθέναι. Οὕτως Ὀδυσσεὺς τὰ Δόλωνος ἀφελόμενος ὅπλα, Παλλάδι λητίδι δὶ ἐυχῆς πανδήμυ ὡσίωσεν. (Ιλ' Κ'. ς. 460.) Καὶ Ἕκτωρ δὲ ἤυξατο, εἰ κρείσσων γένοιτο ἐν τῇ μάχῃ, τὰ τῦ πολεμίυ ὅπλα ἐν τῷ τῦ Ἀπόλλωνος ναῷ ἀναρτήσειν. (Ἰλ. Η. ς. 83.)

„Τέυχεα συλήσας οἴσω ποτὶ Ἴλιον ἱρὴν,
„Καὶ κρεμόω ποτὶ νηὸν Ἀπόλλωνος ἑκάτοιο.

Ὡσάυτως Τιμολέων, τὰ Καρχηδονίων ὅπλα συλήσας, τοῖς Κορινθίων ναοῖς καθιέρωσε: (Πλέταρχ. εἰς βίον Τιμολ.)

Φωκαεῖς δὲ, τὲς μὲν ἡμίσεις θυρεὲς, τὲς ἀπὸ τῶν πολεμίων τοῖς Ἀβαίοις, τὲς δὲ λοιπὲς τοῖς Δελφοῖς φέρονλες ἀνέθηκαν, ὡς Ἡρόδοτος (ἐν τῇ Οὐρανίᾳ) καθιζορεῖ. Οὐδέ γε ἄλλως ἡ τῦ παλαιζινῦ Γολιὰθ ἐκείνη ῥομφαία, ὑπὸ Δαβὶδ τῦ ἀνελόντος, τῇ Σκηνῇ ἀπετέθη τῇ Ἱερᾷ καὶ Ἁγίᾳ. (Α. Βασιλ. Κεφ. ΚΑ.) Ἄλλως ἀλλ' ἓν, σενεχέσερον ἐφίλεν, ἀπὸ τῶν λαφύρων τὴν δεκάτην ἐν ἀργυρίῳ καθιερῦν τοῖς θεοῖς, ὡς ὑποδείγματα μυρία, ἐκ τῆς θύραθεν ἱσορίας, παρ' Ἕλλησί τε καὶ Ῥωμαίοις, παραθέσθαι ῥᾴδιον.

Εἴθιζο δὲ τοῖς καθιερεμένοις δωρήμασι τέτοις καί τινα ἐλλόγια ἐπιγεράφεσθαι, ὧν ὑπομνήματα διασώζεται ἀρχαιότατα, ἃ Παυσανίας ἐκ πάσης τῆς Ἑλλάδος συνελέξατο. Ἀτὰρ καὶ Φανίας (ἐν τᾷ περὶ τῶν Σικελ. Τυραν.) διέξεισι ξιφίδιον Πυθοῖ ἀνακεῖσθαι, ἅπερ ἐν ἐπιγραφῇ τετρασίχῳ ἐλέγετο, Ἀντηνορίδην πάλαι κεχρῆσθαι Τροίας πολυορκεμένης. Οἱ δ' αὐτὸς προσίθησιν ἔτι καὶ τρίποδα φέρεσθαι, ὑπὸ Διομήδες ἐπι-

γραφέντα τῦ καθωσιώσαντος· ὃν γέρας εἶχεν αὐτὸς λαβὼν παρὰ Ἀχιλλέως, ἐν τοῖς ἐπὶ τῇ Πατρόκλε ἀναιρέσει ἐπιταφίοις ἀγωνίσμασιν.

Ἐντεῦθεν οἱ τῶν παλαιῶν Νεῶν ἀμύθητοι καταπλητισμοὶ, ἃς ἁπανταχῦ οἱ συγγράψαντες διαθρυλλῦσιν. ὁ τε ἐν Δελφοῖς Ἀπόλλωνος πρὸ τῶν ἄλλων, ἔ τὸ Ἱερὸν, τοῖς ἀπὸ πάντων, ὡς εἰπεῖν, τῶν ἐθνῶν ἀναθήμασι κατηγλάϊσο· ἐν οἷς μακρᾷ διενεγκεῖν Γύγην τὸν Λυδῶν Ἄνακτα, καὶ Κροῖσον τὸν ἐκεῖνον διαδιεξάμενον, Φανίας τε καθιστορεῖ ὁ Ἐφέσιος, καὶ Θεόπομπος, ἐν τῷ ΜΗ'. Βιβλ: τῶν Φιλιππικῶν. Πρῶτον γὰρ ἐκεῖνον ἀποφαίνονται γενέσθαι, τὸν χρύσεά τε καὶ ἀργύρεα ἐν Δελφοῖς δωροφορήσαντα, ἐκ χαλκῦ μόνον τῶν προτέρων ὄντων· ἢ δὲ τέτων Ἀνδριάντων, ἀλλὰ Λεβήτωντε καὶ Τριπόδων. Ἀλλὰ γὰρ καὶ ἐπὶ Οἰμήρε μέγας ὑπῆρχεν ὁ τῦ Δελφικῦ Ναοῦ πλῆτος, ὥτε καὶ τὸν Ἀχιλλέα, παντὸς ἄλλε αὐτὸν ὑπέρτερον θέσθαι, ἐν τῷ παραιτεῖσθαι τὰ ὑπὸ τῦ Ἀγαμέμνονος οἱ καθυπισχνέμενα. (Ἰλ: I. ς. 404. 405.)

„Οὐδ' ὅσα λαΐνος ἀδὸς ἀφήτορος ἐντὸς ἐέργει
„Φοίβε Ἀπόλλωνος, Πυθοῖ ἐνὶ πετρηέσσῃ.

ΚΕΦΑΛ. ΙΒ'.

Περὶ τοῦ ἐνθεασμοῦ τῶν τελευτόντων Ἡρώων, καὶ δὴ καὶ πάντων τῶν ἐν Ἅδε.

Οἱ μὲν ἓν Ἥρως, ἅτε ὑποδεέστεροι τῇ θειότητι, καὶ τιμῶν ἐνδεεστέρων ἐλάγχανον, αἱ δὴ καὶ τιμαὶ ἀπεκαλῦντο Ἡρωϊκαί· τοῖς μὲν γὰρ μείζοσι τῶν Θεῶν ἐλέγετο θύεσθαι, τοῖς δὲ Ἥρωσιν ἐναγίζεσθαι, τῦ Ἡροδότε (ἐν τῇ Εὐτέρπῃ) οὕτω πῶς διαστέλλοντος. „Δοκέουσι

„δέμοι ἔτοι ὀρθότατα Ἑλλήνων ποιέειν, οἱ δι ξὰ Ἡράκλεια „ἱδρυσάμενοι κέκτηνται· ἢ τῷ μὲν, ὡς ἀθανάτῳ, ὀλυμπίῳ „δὲ ἐπωνυμίην, θύεσι· τῷ δ' ἑτέρῳ, ὡς Ἥρωϊ ἐναγίζεσιν.„ Οὐδὲν τέτε διαφέρει τὸ ὑπο Φαίτε γεγονὸς, ἢ διέξεισι Παυσανίας ἐν τοῖς Κορινθιακοῖς· Συνιδὼν γὰρ τὲς Σικυωνίες τῷ Ἡρακλεῖ ὡς Ἥρωϊ „ἐναγίζοντας, ἐδὲν τοιέτον ποιεῖν χρῆναι ἡγήσατο, ἀλλ' ὡς „Θεῷ θύειν. Ὅθεν αὐτοῖς ὕτερον ἐπεκράτησε τὸ ἔθος, καθ' ὃ σφάζοντες ἄρνας, καὶ τέτων τὰ μηρία ἐπὶ τᾶ βωμᾶ καίοντες, „τὰ μὲν ἐθύσαν ὡς ἀπὸ ἱερείε, τὰ δὲ ὡς Ἥρωϊ τῶν „κρεῶν ἐναγίζεσιν: ἐν ᾧ διαφέρων ὁ τοῦ θύειν τύπος σαφῶς διαφαίνεται. Καὶ ἄλλο δὲ, ὃ πρόσθεν τέτε ἀπέχον ὁ αὐτὸς Συγγρα„φεὺς ὑποδείκνυσι: „Τῷ δὲ Ἀλεξάτορι (φάσκων) καὶ Εὐα„μερίωνι· Τᾷ μὲν, ὡς Ἥρωϊ μετὰ Ἥλιον δύναντα ἐναγί„ζεσιν, Εὐαμερίωνι δὲ ὡς Θεῷ θύεσιν.„ Ἀλλ' Ὅμηρος (Ἰλ. Β. ϛ. 550. καὶ 551.) τὲς Ἀθηναίες εἰωθότας παρίτησιν ἀρνειοῖς τε καὶ ταύροις τὸν Ἐρεχθέα, κατ' ἐνιαυτὸν ἕκαστον, ἐν τῷ Ἀθήνης Νεῷ ἐξιλάσκοντας:

„Ἐνθάδε μὶν ταύροισι καὶ ἀρνειοῖς ἱλάονται
„Κοῦροι Ἀθηναίων, περιτελλομένων ἐνιαυτῶν.

Τοιαῦτα δὲ ἱερὰ ἐνιαύσια, καὶ Οὐϊργίλιος (Αἰνειάδ. Βιβλ: Ε') Αἰνείαν ποιεῖ Ἀγχίτη τῷ ἰδίῳ Πατρὶ ἐπιτελέντα, θυματάτε σφαγιάζοντα, καὶ λοιβὰς ἐπιχέοντα, καὶ ἀγῶνας ἐναθλες πομπικῶς συνιτῶντα. Οὕτω δὲ ἄρα τὲς ἀπελθόντας τᾶ βίᾳ οἱ περιόντες ἐγέραιρον, καθ' ἣν περὶ ἐκείνες τοργὴν ἐποφείλειν ἡγοῦντο διατώζειν καὶ μετὰ θάνατον. Οἱ μὲν ἓν ἐξ Ἀμφιπόλεως τῷ Βρατίδᾳ τελευτήσαντι, οἷα περ Ἥρωϊ, „Τιμὰς δεδώκασιν, ἀγῶνας, καὶ ἐτησίες θυ„σίας, καὶ τὴν ἀποικίαν ὡς οἰκιτῆ προσέθεσαν„ (παρὰ) Θεκυδ: ἐν Βιβλ: Δ'.) Οἱ δὲ φιγαλεῖς (Oseftafiis) ὡς Ἥρωσιν ἐναγίζεσιν ἀνὰ πᾶν ἔτος: (Παυσαν: ἐν τοῖς Ἀρκαδ:) καὶ Πλάτων

„δὲ (ἐν Βιβλ: Δ'. τῶν Νόμ:) ὅλως ἐντέλλεται, „Τὰς κατ' „ἐνιαυτὸν τῶν ἤδη τέλος ἐχόντων ἐπιμελείας ἀποδιδόναι., Καὶ τρανῶς δὲ ὁ αὐτὸς Φιλόσοφος (ἐν Βιβλ: Ε'. τῶν περὶ Πολιτ:) Ἡσίοδον ἐπάγων ἐπιμαρτυρῆντα, διατείνεται τὲς ἀπελθόντας καθίσαθαι Δαίμονας. καὶ ταῖς αὐταῖς τοῖς Δαίμοσι χρῆναι τιμαῖς θερα„πεύεσθαι: τὸν λοιπὸν δὴ χρόνον, ὡς Δαιμόνων, οὕτω θερα„πεύσομεν, καὶ προσκυνήσομεν αὐτῶν τὰς θήκας. Ὅθεν τῇ τὲ Δαίμονος κλήσει τὲς χθονίες ἐγνώριζον Θεὲς, ἔς Manes Ῥωμαῖοι ἐκάλεν: περὶ ὧν ὁ Κικέρων (ἐν τῷ Β: τῶν περὶ τῶν Νομ: Κεφ: Θ.) ἐκ τῶν ἀρχαιοτάτων παρειληφὼς Ῥωμαϊκῶν Νομοθετημάτων ἔχει Deorum manium jura ſancta ſunto; hos letho datos Divos habento.

„(Θεῶν χθονίων τὰ δίκαια ἅγια ἔστω, οὗτοι θανάτῳ „εἰξαντες Θεοὶ νομιζέσθων.) Οὕτω θειότητά τινα ταῖς ψυχαῖς ἀπολυθείσαις τῶν σωμάτων ἐπέγραφον· ἣ δὴ καὶ σέβας ἀπενέμετο ἐκ τὲ ἀκολέθε διὰ τῆς τελετῆς ταῖς μὲν ἥττονι, ταῖς δὲ ἐπιτονωτέρᾳ καρδίας ἐπιφερόμενον διαθέσει, ὡς ἂν κατὰ τὰ ὑπ' αὐτῶν διαπραχθέντα ἐποφείλοιτο ἀξιόχρεων.

Ἐν τοῖς τῶν ἀποβεβιωκότων ἐναγισμοῖς λοιβαὶ, προηγεῖντο, αἱ καὶ χοαὶ ἀπεκαλεῖντο, ὡς ἄρα ἐπιχεόμεναι. Τάυταις δὴ Ὀδυσσεὺς ἀπεχρήσατο (Ὀδυσ. Λ. ς. 26.) βόθρον ἀναρύξας πρῶτον.

„Ἀμφ' ᾧ δήγε χοάς χέεν πᾶσιν νεκύεσσι,
„Πρῶτα μελικρήτῳ, μετέπειτα δὲ ἡδέϊ οἴνῳ,
„Τὸ τρίτον αὖθ' ὕδατι· ἐπὶ δ' ἄλφιτα λευκὰ πάλυνε.

Τὸν τοιόνδε τὲ ἐναγισμὲ διατεταγμένον ἐξ ἔθες τύπον Κλίδαμος παρασημειοῖ, (ἐν βιβλ. τῶν ἐξηγητικῶν.) γράφων, τὸ πρὸς ἑσπέραν βόθρον περὶ τὸν τύμβον ὀρύσσεθαι, καὶ ὕδως ἐγχεῖθαι, ἐν τοιῷ-

„δε προσφθέγματι: ὑμῖν ἀπόνιμμ' οἷς χρή, καὶ οἷς θέμις. Τέως δὲ καὶ χρίσμα προσεπιχεῖσθαι· Ἀλλὰ παρὰ τῷ Οὐιργιλίῳ Αἰνείας (ἐν τῷ Ε'. τῆς Ἀνειάδ.,

Hic duo rite mero libans carchesia Baccho
Fundit humi, duo lacte novo, duo sanguine sacro.

„(Ἔνθα δύ' ἀκρήτου λείβων καρχήσια βάκχου
„Χεῦε χαμάζε, δύω γλάγεως, δύο δ' αἵματος ἱροῦ.)

Πολὺς δὲ ἦν ὁ περὶ τὸ αἷματος λόγος: ἐφ' ᾧ γὰρ αὐτῷ ἐκπιέσθαι, συνεφιπταμένας ὥοντο ψυχὰς τὰς ἀναίμους, ὡς πάρεξιν ἰδεῖν ἐφ' ὅλης τῆς παρ' Ὁμήρῳ Νεκύας. Οὗ χάριν καὶ τὰς ἐναγισμὰς ἐπωνόμαζον **Αἱμακορίας**: ὡς ὁ Πίνδαρος (Ὀλυμπ. ὠδ. Α'.) καὶ ὁ παρ' Εὐριπίδῃ ἐκεῖνος (ἐν τῇ Ἑκάβ.)

„Ἐλθὲ δ' ὡς πίῃς μέλαν
„Κόρης ἀναιφνὲς αἷμ', ὅ σοι δωρήμεθα.

Διὰ τοῦτο δ' ἀπεκτείνατο καὶ τὰ ἱερά, οἷον ὁ κριὸς, καὶ τὸ πρόβατον τὸ μέλαν, τὸ ὑπὸ τῆ Ὀδυσσέως σφαγιασθὲν ἀνεκκαλεμένε τὰς νεκύων σκιὰς, καὶ ἡ δάμαλις ἡ τερίφη, ἣν αὐτοῖς ἔυχεται θύσειν. Τῶτοι καὶν ταῖς κηδείαις ἅμα εἴθιτο σφαγιάζειν, ὡς δῆλον ἐκ τῶν Πατρόκλε, καὶ Ἀχιλλέως, καὶ Ἕκτορος ἐνταφιασμῶν παρ' Ὁμήρῳ. Περὶ „τέτε δὲ καὶ Πλάτων διαλέγεται ἐν τῷ **Μίνωϊ** „Καὶ ἡμᾶς αὐτοὺς „οἶδα πε καὶ αὐτὸς ἀκέων, οἵους νόμους ἐχρώμεθα πρῶ„τον πρὸς τοὺς ἀποθανόντας, ἱερεῖατε προσφάττοντες „πρὸ τῆς ἐκφορᾶς τε νεκρε, καὶ ἐγχυτρισρίας μεταπεμπό„μενοι.„ Ἔθος δὲ ἦν καὶ τὰ προσφαττόμενα ἱερεῖα ταῦτα καίειν, ὡς ἐκ τῶν ἀνενεχθέντων φαίνεται. Συνεκομίζετο δὲ ἐπὶ τῆς πυρᾶς καὶ δῶρα ποικίλα, ἅπερ Ὀδυσσεὺς παρασημειοῦται, ἐπειδὰν τοῖς νεκροῖς ὑπιχνεῖται: (Ὀδυσ. Α. ς. 31.)

„ Πυρήν τ' ἐμπλήσομεν ἐθλῶν:

Οὕτως ἐν τῷ τῆ Α'γχίσα ἐναγισμῷ οἱ Αἰνείου ἑταῖροι

Dona ferunt, onerantque aras, mactantque juvencas.

„(Α'υτὰρ ἑταῖροι δῶρα φέρονθ' ὅ, τι ἦεν ἑκάστῳ

„ Βωμοῦς τ' ἐύθυμοι πίμπλων, σφάζον δέ τε πόρτις.)

Ε'ξ ἐκείνε δὲ καὶ Ρ'ωμαίοις ἐπεχωρίασε τὸ ἔθος ὁμοίως, τὸ τῶν ἐνιαυσίων ἐναγισμῶν, τῶν Φευρεαρίε μηνὸς ἐπιτελεμένων. (ἐν τῷ Β'. τῶν Faſtorum Ο'υϊδ.)

Eſt honor et tumulis, animas placare paternas,
Parvaque in exſtructas munera ferre pyras.

„(Ε'ſι γέρας τύμβοις ψυχὰς ἱλεᾶν πατρῴας,

„ Μικρά τε δῶρα φέρειν ἐν βραχέῃσι πυραῖς.)

Α'ναπτύσσων δὲ τὰ τοιάδε δῶρα Ο'υϊδιος, ἄλις ἔχειν, φησὶν, ἐὰν στέμματα προσάγηται, καὶ οὐλόχυται.

Inque mero mollita Ceres, violaeque ſolutae.

„(Δημήτης ἀπαλή τ' ἐνὶ οἴνῳ, τερπνά τε ἄνθη.) Οἱδ' Ε'λληνες πολλάκις τὰς τῶν ὡραίων ἀπαρχὰς τοῖς ἐπισημοτέροις ἀνδράσι προσῆγον· ὡς ὁ Πλαταιεῖς Λακεδαιμονίοις, τοῖς ἐν τῷ Μηδικῷ πολέμῳ πεσοῦσι: (παρὰ Θεκυδ: ἐν τῷ Γ'. Βιβλ.) καὶ ὡς οἱ Τρῶες τῷ Α'χιλλεῖ, παρὰ Φιλοστράτῳ· (ἐν Βίβλ. Δ'. τῶν περὶ Βίε Α'πόλλων·) ἐτελεῖτο δὲ τὰ τοιάδε ἐναγίσματα ἤτοι ἐπὶ τύμβων ἔμπλεων, ἢ ἐπὶ Κενηρίων εἰς τιμὴν ἐγειρομένων. Α'υτόθι δὲ τὰ πολλὰ ἱδρύοντο καὶ βωμοὶ, οἷον τῷ τῆ Α'χιλλέως παρὰ Φιλοστράτῳ, καὶ τῷ Πέλωπος, παρὰ Πινδάρῳ· (Ο'λυμπ. Α'.) Α'λλοις δὲ καὶ τάφροι ἐξήρκεν, ὡς ἰδεῖν ἐσὶ παρὰ Λεκιανῷ. (ἐν τῷ Χάρωνι.) „Καὶ βόθρον τινὰ ὀρύ„ξαντες καίεσί τε ταυτὶ τὰ πολυτελῆ δεῖπνα, καὶ εἰς τὰ „ὀρύγματα οἶνον καὶ μελίκρατον, ὡς γοῦν εἰκάσαι, ἐγχέ-

„σιν. Οὐ δ' ἦν ἀνόμοιος, ὁ ἐπὶ τοῖς πρὸς τοὺς χθονίους τῶν Θεῶν Ἱε-
„ροῖς, τῆς τελετῆς τύπος, ὡς φησὶ Φιλόστρατος (ἐν Βιβλ. ς'.) Θεοὶ
„μὲν γὰρ χθόνιοι βόθρον ἀπαίζονται, καὶ τὰ ἐν τῇ κοίλῃ
„γῇ δρώμενα.

ΚΕΦΑΛ. ΙΓ.

Περὶ τῆς περὶ τὸ ἐνταφιάζειν ὁσιότητος.

Οὐκ ἂν ἀλλότριον τῆς προθέσεως εἴη, τὸ καὶ περὶ τοῦ τύπου ὧδε ὑποσυναψαι, τοῦ παρ' Ἕλλησι παρατηρουμένου ἐν τοῖς τῶν ἀποθανόντων ἐνταφιασμοῖς· ἐπεὶ καὶ μέρος τουτὶ εὐσεβείας τὸ ἐκ ἐλάχιστον διετέλουν τιθέμενοι. Καὶ πρῶτον μὲν, τοὺς ὀφθαλμοὺς προσεῖχον ἐπιμελῶς καθαιρεῖν τοῦ τὰ ὁλόθια πνέοντος, καὶ τόγε σῶμα, καὶ τὰ λοιπὰ τοῦ σώματος εὐχημόνως διατιθέναι. Ὁ μὲν ἦν Ἀγαμέμνων παρ' Ὁμήρῳ ποτνιᾶται, ἀπανθρωπότατα τῆς ἁλόχου τὸ τοιοῦτον αὐτῷ ἀπαρνησαμένης. (Ὀδ: Λ'. ς. 423.)

. . . . . „Ἣ δὲ κυνῶπις

„Νοσφίσατ', οὐδέμοι ἔτλη, ἰόντι περ εἰς Ἄϊδαο,
„Χερσὶ κατ' ὀφθαλμοὺς ἑλέειν σύν τε στόμ' ἐρεῖσαι.

Τοῦτο δὲ καὶ τὸν Ὀδυσσέα παρὰ τῆς συζύγου μηδόλως τυχεῖν
„νιᾶτο Λαέρτης, ἐπὶ ξένης οἰόμενος αὐτὸν ἀπολέσθαι. (Ὀδ. Ω'. ς. 24. κτ:)
„Ὅτι δηλ: . . . . . Οὐδ' ἄλοχος Πηνελόπεια

„Κάκυσ' ἐν λεχέεσσι φίλον πόσιν, ὡς ἐπέοικεν,
„Ὀφθαλμοὺς καθελοῦσα. Τὸ γὰρ γέρας ἐστὶ θανόντων.

Ε᾽Ἀθ᾽ ὅτε δ᾽ ὁ Πατὴρ, καὶ ἡ μήτης, τόδε ἀφοσιῶντο. (Ἰλ: Λ΄. ς. 452.)

„. . . . Οὐ μὲν σοίγε πατὴρ, καὶ πότνια μήτης
Ὅσσε καθαιρήσουσι θανόντι περ. . . . . .

Οὕτως ἡ Εὐρυάλε μήτης (Παρὰ Οὐιργίλ: Αἰνειάδ: Θ΄.)

. . . . . Nec te tua funera mater
Produxi, preffive oculos . . . . . .

„. . . . . (Οὐδέ σ᾽ ἐγὼ ἡ μήτης
„Κήδευσ᾽, ἢ τεὼ ὄσσε καθεῖλξ᾽, ἢ τρώματα
λῶσα.)

Ε᾽νθεντοι καὶκεῖνος παρὰ τῷ Λευκανῷ (ἐν τῷ Γ΄. τῶν Φαρσαλικῶν)

Tacito tantum petit oſcula vultu,
Invitatque patris claudenda ad lumina dextram.

„(Ὄψια σιγώσῃ αὐτεῖ γε φιλήματα μοῦνα,
„Πατρὸς δεξιτερήν τε καθαιρήσουσαν οἱ ὄσσε,)

Οἷς καὶ τὰ παρ᾽ Εὐριπίδῃ συνάδει:

„Αἰ αἴ! κατ᾽ ὄσσων νιχάνει μ᾽ ἤδη σκότος.
„Λαβοῦ πάτερμου, καὶ κατόρθωσον δέμας.

Τῆς ψυχῆς δ᾽ ἀποπτάσης, τὸ δέμας ἐπλύνετο καὶ ἐχρίετο: „Ἐφ᾽ ᾧ καὶ Ἀχιλλεὺς (Ἰλ: Σ΄. ς. 346.) ἐκέλευε „Λοετρο-
„χύον τρίποδα ἐν πυρὶ κηλέῳ ςαθῆναι, ἵν᾽ ἐν ὕδατι, ζέοντι τὸ Πατρόκλε σῶμα λεθείη τε καὶ ἀναχριθείη. (Αὐτ: ς. 350.)

„Καὶ τότε δὴ λῶσαν τε καὶ ἤλειψαν λίπ᾽ ἐλαίῳ.

Τὸ δ᾽ αὐτὸ καὶ ταῖς θεραπαινίσιν ἐνετείλατο τῷ Ἕκτορι δράσαι: (Ἰλ: Ω΄. ς. 582.)

„ Δμωὰς δ' ἐκκαλέσας, λοῦσαι κέλετ' ἀμφί τ' ἀλεῖψαι.

Αὐτῷ δ' Ἀχιλλεῖ Ἕλληνες μετὰ ταῦτα θανόντι, ὡσαύτως ἐποίησαν.

„ Καθήραντες χρόα καλὸν ὕδατι λιαρῷ, καὶ ἀλείφατι,

Οὐ καὶ Οὐιργίλιος ἀπεμιμήσατο ἐν τῇ Μισηνεῖ κηδεύσει. (Αἰνειάδ. Βιβλ. ς'. ς. 2. 9.)

. . . . . Corpus lavant frigentis, et unguunt.

„ (Τοῦ δ' ἤδη ψυχθὲν λόεσαν δέμας, ἠδ' ἤλειψαν.)

Ἔνθα δὴ Σέρβιος ἐξ Ἐννίου:

Tarquinii corpus bona foemina lavit et unxit.

„ (Ταρκυΐνιον δέμας, γυνὴ ἐσθλὴ λοῦσ' ἠδ' ἄλειψεν.)

Εἶτα ἐπὶ τῇ νεκροφόρᾳ σκίμποδος, εἰλίσσοντες σινδόνι, ἐπετίθοντο: (Ἰλ: Σ'. ς. 353.)

„ Ἐν λεχέεσσι δὲ θέντες, ἑανῷ λιτὶ κάλυψαν

„ Ἐς πόδας ἐκ κεφαλῆς καθύπερθε δὲ φάρεϊ λευκῷ.

Ἔνθα ἡ ἐθὴς λευκή· Οἱονεὶ γὰρ ἠμφιεσμένον τὸ πτῶμα, ἐκ τῆ Αἰγέϊ ἐς τὸ Ἄσυ εἰσήνεγκαν οἱ Σικυώνιοι, μαρτυρῆντος Πλουτάρχε. Εἰώθην δ' ἐπὶ τῇ τοιᾷδε χρήσει ἰδιαίτερον ἐξυφαίνειν, ὡς ἡ Πηνελόπη διεπονεῖτο περὶ τὸν ἱστὸν αὐτῆς τὸν λόγε τοσῆτε ἀξιωθέντα. (Ὀδυσ. Β'. ς. 99.)

„ . . . . . Εἰσόκε φᾶρος.

„ Ἐκτελέσω . . . . .

„ Λαέρτῃ Ἥρωϊ ταφήϊον. . . . . .

Οὕτω δὲ καὶ ἡ Εὐρυάλε μήτης ἐκείνη: (Αἰνειάδ. Βιβλ. Θ'. ς. 488. 489).

Veste tegens, tibi quam nocte festina diesque
Urgebam, et telâ curas solabar aniles.

„(Φάρεϊ ἡ δὲ κάλυψα, τὸ γώτοι νύκτα καὶ ἦμαρ.
„Σπεῦδον, μείλισσάντε ὑφῇ λυγρὰ κήδεα γήρως.)

Κατετίθεντο δὲ τὸν νεκρὸν ἐν τῇ τῆ οἰκε αὐλῇ, πρόσγε τὴν πύλην τῶν αὐτῆ ποδῶν τετραμμένων. Οὕτω Πάτροκλος ἐν τῇ τῆ Ἀχιλλέως σκηνῇ (Ἰλ. Τ. ς. 212.)

Κεῖται ἀνὰ πρόθυρον τετραμμένος . . . . Διὸ ἡ ἐκ τῆ ζῆν ὑπεδηλῆτο ἔξοδος, ἣ φησὶν Εὐσάθιος: „Οἷα ἔθους ὄντος „ἕτω προτίθεσθαι τὲς νεκρὲς, ὡς ἐπὶ ἐξόδῳ τοῦ βίου „γεγονότας.„ Καὶ Ἡσύχιος δὲ „Τοὺς νεκροὺς ἕτω φασὶν ἑδρά„ζεσθαι, ἔξω τοὺς πόδας ἔχοντας πρὸς τὰς αὐλείους „θύρας. Ἐκάλεν δὲ τῆτο οἱ Ἕλληνες προτίθεσθαι. ὡς Λεκι„ανὸς (ἐν τῷ περὶ πένθες.) Μετὰ ταῦτα λέσαντες αὐτοὺς, κ„μύρῳ τῷ καλλίῳ χρίσαντες τὸ σῶμα, καὶ ςεφανώσαντες „τοῖς ὡραίοις ἄνθεσι προτίθενται. Καὶ Πλάτων δὲ (ἐν τῷ ΙΒ΄. τῶν Νόμ.) Τάυτην (ἣν πρόθεσίν ὀνομάζει) διὰ πλειόνων συνίςησιν. Ἀλλὰ καὶ παρὰ τοῖς Ῥωμαίοις τὸ αὐτὸ ἔθος κρατῆσαι δαψιλῶς ἐπιμαρτυρῶν ἐςὶ Πέρσιος:

. . . . . Tandemque beatulus alto
Compositus lecto, crassisque lutatus amomis
In portas rigidos calces extendit.

„(Καὶ ῥα τέως ὅ μάκαρ λεχέεσσι ταθεὶς ἐπὶ αὐτοῖς,
„Εὖ πάνυ πηλωθεὶς παχέεσσιν ἀλείφασ' ἀμώμων
„Ῥιγεδανοὺς πόδας ἐς πρόθυρ' αὐλεια προτιτείνει.)

Οὕτως ἓν τὸν νεκρὸν παρασκευαθέντα καὶ προτεθέντα περιχυθέντες, τῆ δημοτελῆς ἀπήρχοντο πένθες. (Ἰλ. Φ. ς. 124.)

„. . . . . Οὐδέ σε μήτηρ
„Ἐνθεμένη λεχέεσσι γοήσεται. . . . . .

Καὶ Ὀδυσ. Ω'. ς. 294.)

Κώκυσ' ἐν λεχέεσσι φίλον πόσιν. . . . .

Παραπλησίως καὶ παρὰ Ὀυϊδίε εἴρηται:

Depositum nec me, qui fleat, ullus erit.

„Κειμένῳ δέ μοι ἔσσεθ' [ὁ δακρυχέυσων.)

„Καὶ ὁ Φίλων δὲ (περὶ τῆ Ἰωσὴφ λέγων:) „Τελευταῖον ἀσπασ-
„μάτων ἐκοινώνησα, τὲς ὀφθαλμοὺς συνέκλεισα, ἐπε-
„δάκρυσα κειμένῳ τῷ νεκρῷ. „ Προσεχρῶντο δ' ἐπὶ τέτῳ καὶ
ψαλτῳδοῖς, τοῖς ἐν γοεροῖς ᾄσμασι τῶν ἄλλων προάγεσιν. (Ἰλ.
Ω'. 719.)

„. . . . . Τὸν μὲν ἔπειτα
„Τρητοῖς ἐν λεχέεσσι θέσαν, παρὰ δ' εἶσαν ἀοιδοὺς
„Θρήνων ἐξάρχους, οἵ τε γονόεσσαν ἀοιδὴν,
„Οἱ μὲν ἄρ' ἐθρήνεν, ἐπὶ δὲ στενάχοντο γυναῖκες.

Τόν δ' ἐ πολὺ διαφέρον ἦν τῆ γινομένε διὰ τῶν παρὰ Ῥωμαίοις
θρηνωδεσῶν γυναικῶν, αἵτινες Praeficae ἀπεκαλεῖντο· (οἵαι αἱ παρὰ
τῷ Πλάτωνι ἐγχυτερίστριαι) καὶ Ἰαλέμους ἐξῆδον πρὸς αὐλὸν,
ὡς Οὐάρων φησὶν· πολλὴ γὰρ ἦν ἐντοῖς κήδεσιν ἡ τῆ αὐλῆ χρῆσις· ἢ
ἐ μόνον παρ' Ἕλλησί τε καὶ Ῥωμαίοις, ἀλλὰ καὶ παῤ Ἑβραίοις, ὡς ἐκ
τῆ Εὐαγγελίε δῆλον. (Ματθ. Κεφ. Θ'. Ἑδαφ. 23.)

Πρὸς τοῖς ὀλοφυρμοῖς τε καὶ θρήνοις, καὶ ἄλλα προσέτι λύπης τε
καὶ ἀνίας σύμβολα εἰώθει ἐν χρήσει γίγνεσθαι πᾶσιν Ἑλλήνων, ἐν οἷς
κυριώτατον ἡ τῆς κόμης ἀπόθεσις (ἢ ἀποξύρησις.) Ὀδυσ. Δ'. ς. 197.

„Τοῦτό νυ καὶ γέρας οἷον ὀϊζυροῖσι βροτοῖσι,
„Κείρασθαί τε κόμην, βαλέειν τ' ἀπο δάκρυ παρειῶν,

Ἐτήρησαν δὲ Ἀχαιοὶ τοῦτο ἐπὶ τῆς Ἀχιλλέως προθέσεως: (Ὀδ.
Ω'. ς. 46.)

„. . . . . Πολλὰ δέ σ' ἀμφὶ
„Δάκρυα θερμὰ χέον Δαναοὶ, κείροντό τε χαίτας·

Ὡσάυτως καὶ παρὰ τῷ Βίωνι (ἐν Ἀδώνιδι νεκρῷ) οἱ ἔρωτες εἰσάγονται „κειράμενοι χαίτας. Καὶ Ἀντίπατρος δὲ (ἐν ἐπιγράμ:) ἔφη, σύμπασαν τὴν Ἑλλάδα τεθρηνηκέναι Ἀλκαῖον,

„Ἄπλεκτον χαίταν ἐν χροΐ κειραμένην.

Εἶπε δὲ καὶ Ξενοφὼν (ἐν Ἀ. τῶν Ἑλληνικ.) Θηραμένες ἀναιρε„θέντος παρασκευασμένες ἄνδρας μελανείμονας, καὶ ἐν χρῷ κεκαρ„μένους ἰέναι πρὸς τὴν ἐκκλησίαν, ὡς δὴ ξυγγενεῖς ὄντας „τῶν ἀπολωλότων.„ Καὶ οὕτω δέτοι διέξεισι καὶ Ἡρόδοτος, „Ἔθιμον „εἶναι τοῖς ἄλλοις ἅπασιν, ἅμα κήδεϊ κεκάρθαι τὰς κε„φαλὰς τὲς μάλιστα ἱκνέεται„ Τἐναντίον ἤπερ Αἰγύπτιοι ποιεῖν εἰώθεν, τὲς μὲν τῆς κεφαλῆς βοτρύχες προτείνοντες, τὸ δὲ γένειον μόνον ξυρόμενοι.

Προσέτι δὲ τὲς ἐκτμηθέντας βοτρύχες φίλον ἦν τῷ νεκρῷ ἐπιῤῥίπτειν: (Ἰλ. Ψ'. ς. 135.)

„Θριξὶ δὲ πάντα νέκυν καταείνυον, ἃς ἐπέβαλλον
„Κειρόμενοι. . . . . .

Καὶ Ἀχιλλεὺς δὲ τὴν κόμην αὐτῆ, καί τοι τῷ Σπερχειῷ καθιερωθεῖσαν, ἐν χερσὶ Πατρόκλε κατέθετο: (Ἰλιάδ. Ψ'. ς. 152.) ὃν ἐζήλωσε καὶ Ἀλέξανδρος ὁ Μακεδὼν ἐπὶ τῷ Ἡφαιστίωνος κήδει, (παρὰ Πλετάρχῳ.) καὶ Ἀντωνῖνος ὁ Αὐτοκράτωρ (παρὰ τῷ Ἡρωδιανῷ ἐν Βιβλ. Δ'.) Ὑστερον γε μὴν καὶ τοῖς τύμβοις αὐτοῖς προσάγειν εἴθισαν, ὡς ὁ τῆ Εὐριπίδες Ὀρέστης νυκτὸς ἐλθὼν, ἐπὶ τὸν Ἀγαμέμνονος τῆ ἰδίᾳ πατρὸς τάφον „κόμης ἀπήρξατο. Καὶ Ἑλένη δὲ ἐπὶ τὸν τῆς ὁμαίμονος:

„Κόμης ἀπαρχὰς καὶ χοὰς φέρουσα.

Ὁ δὲ τῆ τοιέτε οἰκιακῆ πένθες χρόνος, διάφορός τε τῇ παραταύσει

ἦν καὶ ἀόριστος, Ἀχιλλέα μὲν γὰρ οἱ Δαναοὶ πενθῆντες ἐγένοντο δι' ἡμερῶν ἑπτακαίδεκα, τῇ δεκάτῃ δὲ ὀγδόῃ κατέκαυσαν. (Ὀδυσ. Ξ'. ς. 65.) Η' δ' Ἕκτορος κήδευσις πᾶσα ἐν ἡμέραις δυωκαίδεκα ἐξετελέσθη. Παρὰ δὲ τῷ Ἀπολλωνίῳ (ἐν τῷ Β'. τῶν Ἀργοναυτικῶν) ἡ τοιάδε τελετὴ τριήμερος ἐτελεσιουργήθη.

„Ἤματα δὲ τρία πάντα γόων· ἑτερῳ δέμιν ἤδη
„Τάρχυον μεγαλωστί. . . . . .

Ο' δ' ἄρα Πλάτων (ἐν τῷ ΙΒ'. τῶν Νόμων) διαθεσπίζει „Τριταίαν „πρὸς τὸ μνῆμα ἐκφέρεσθαι νεκρόν. Ο' δὲ Θραξὶ γεγονέναι κατ' ἔθος γράφει, (ἐν Τερψιχόρῃ) Η'ρόδοτος.

ΚΕΦΑΛ. ΙΔ'.

Περὶ τῆς τοῦ νεκροῦ κατακαύσεως.

Πρὸ τοῦ τὸ πτῶμα ἐνταφιάσαι εἰώθεσαν Ἕλληνες εἰς ἀοδὸν ἀποκαθιστᾶν. Τοῦτο γὰρ Ἕλλησι σύνηθες ὂν, Λεκιανὸς (ἐν τῷ περὶ Πένθους γράφει:) „Ο' μὲν Ἕλλην ἔκαυσεν· ὁ δὲ Πέρσης ἔθαψεν· ὁ δὲ „Ἰνδὸς ὑάλῳ περιχρίει· ὁ δὲ Σκύθης κατεσθίει· μυριχεύει „δὲ ὁ Αἰγύπτιος. Καίτοιγε τὰ τοιαῦτα, ἐδὲ διὰ παντὸς, ἐδὲ παρὰ πάντων παρατετήρητο. Ἀρχαιότατον τὸ ὑπὸ γῆν ἐνθάπτειν Κικέρων ἱστορεῖ (ἐν τῷ Β'. τῶν Νόμ:) καὶ ἤδη ἀπὸ τὸν ἐπὶ Κέκροπος χρόνων, παρ' Ἀθηναίοις ὂν σύνηθες. Οὕτω κατὰ Θουκυδίδην (ἐν Βιβλ: Δ'.) Βρασίδας ἐντεταφίασο· καὶ καθ' Η'ρόδοτον (ἐν Ε'ρατοῖ) ἡ Περιάνδρε ἀνοίτη· καὶ ἄλλοι οὓς μακρὸν ἂν εἴη καταλέγειν. Παρὰ δὲ Ρωμαίοις τὸ ἔθος τῦ καίειν τὲς νεκρὲς ὀψὲ εἰχωρῆσαι διέξεισι Πλίνιος (Βιβλ: Ζ'. Κεφ: ΝΔ'.) καὶ ἐ δ' ἐν οἴκοις πάνυ πολλοῖς ἐπικρα-

τῆσαι. Α'λλ' ὅμως παρ' Ο'μήρῳ, τές τε ἀπὸ Ε'λλήνων καὶ τὲς ἀπὸ Τρώων νεκρὲς, ἅπαντας καιομένες ὁρῶμεν: (Ἰλιάδ: Η'. ς. 428. καὶ πολλῷ διεξοδικώτερον ἐν τῷ Ψ'. περὶ τὴν ἀρχὴν ς. 163. κξ. ἢ ἐν τῷ Ω. περὶ τὸ τέλος. ὡσαύτως δὲ καὶ ἐν τῷ Οδυσ: Ω'. ς. 44 – 90. ἔνθα Πατρόκλε, καὶ Ε'κτορος, καὶ Α'χιλλέως τὰ κήδη ἐς πλάτος περιγράφεται.)

Τὸν ἓν θανόντα ὅσον ἄλις ἐκτεθρηνηκότες, ἐφ' ὃν ἔδει κάεσθαι τόπον, ἐν αὐτῷ τῷ νεκροφόρῳ σκίμποδι ἀπενόμιζον, καὶ πὶ τῆς ἐκ ξύλων νενησμένης πυρᾶς ἐτίθεντο. Ἦν γὰρ Πίνδαρος, περὶ τὲ κήδες ἀΐδων τὲ Κορωνίδος, (Πυθοῖ Γ'.) Τεῖχος ξύλινον εἶπεν, Ο'μηρος (Ἰλ: Ψ'. ς. 164.) πυρὰν ὀνομάζει:

„Ποίησαν δὲ πυρὴν ἑκατόμποδον ἔνθα καὶ ἔνθα,
„Ε'ν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν ἀχνύμενοι κῆρ.

Ω'σαύτως δὲ καὶ (Ἰλ: Ω'. ς. 786.)

„ . . . Ε'ξέφερον θρασὺν Ε'κτορα δακρυχέοντες.
„Ε'ν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν. . . . . .

Ε'πὶ δὲ δὴ τῆς πυρᾶς, πλεῖσα ὑπὸ Α'χιλλέως ἐσφάγη καὶ κατεκάη· ὅπερ ἓν κἂν τοῖς αὐτοῦγε τότε κήδεσιν ὑπὸ Α'χαιῶν ἐγένετο. (Ὀδυσ: Ω'. ς. 65. 66.)

„ . . . . . Πολλὰ δέ σ' ἀμφὶς
„Μῆλα κατεκτάνομεν μάλα πίονα, ἠ ἕλικας βοῦς.

Α'λλ' ἐκεῖνο ἐγένετο ἴδιον, ὅτι Α'χιλεὺς λαβὼν τὸ σέαρ ἐκ τῶν σφαγίων, τὸ Πατρόκλε περιήλειψε πτῶμα, τὰ ἀποδεδαρμένα κύκλοθεν ἐπισωρεύσας: (Ἰλ: Ψ'. ς. 168.) προσέθετο δὲ καὶ μέλιτος, καὶ ἐλαίε, ἀμφιφορέας τέσσαρας· ὡς καὶ ἐπ' αὐτῷ τετέλεσται καιομένῳ. (Ο'δυσ. Ω'. ς. 67.)

„. . . . Ε'ν τ' ἐαθῆτι Θεῶν, καὶ ἀλείφατι πολλῷ,
„Καὶ μέλιτι γλυκερῷ. . . . . .

Ἀλλὰ καὶ τὰ ὅπλα ὁμοίως ἐπέῤῥιπτον ἐπὶ τὴν πυρὰν, ὡς Ἀχιλλεὺς τὸν Θηβῶν ἀνάσσοντα Ἠετίωνα ἀνελὼν ἐν τῇ μάχῃ (Ἰλ: Ζ'. ς. 418.)

. . . . . Κατέκηε σὺν ἔντεσι δαιδαλέοισι.

Καὶ Ἐλπήνωρ δὲ ἠτεῖτο πρὸς Ὀδυσσέως, ὅπως ἂν ἅμα σὺν τοῖς ἑαυτῦ ὅπλοις συγκατακαυθείη: (Ὀδυσ: Λ'. ς. 74.)

„Ἀλλά με κακκῆαι σὺν τεύχεσιν ἅσσα μοι ἐστίν.

Οὕτω καὶ παρὰ Οὐϊργιλίῳ Μισηνον ἐν τῷ κήδει: (Αἰνειάδ: ς.)

. . . . . Decorantque simul fulgentibus armis.

. . . . . (Κοσμοῦσιν δ' ἅμα τεύχεσιν ἀγλαέεσσιν)

Καὶ ὅλως ὅσα ἐν τῷ βίῳ κεχαρισμένα διαφερόντως αὐτῷ ὑπῆρχε τῷ νεκρῷ, συνεκαίετο. Διὸ καὶ ὑπὸ Ἀχιλλέως ἐνεβλήθησαν ἐν τῇ Πατρόκλε πυρᾷ οἱ τέσσαρες ἵπποι, καὶ οἱ δύο κῦνες οἱ τραπεζῆες. (Ἰλ: Ψ'. ς. 174.) Καὶνεῖνο δὲ παρὰ ταῦτα ἐπεκράτησεν ἐν ταῖς τῶν μεγάλων ἀνδρῶν κηδείαις, τὸ καὶ ἀνθρώπους κατασφαττομένους ἐπὶ τῆς πυρᾶς ἐμβάλλεσθαι. Οὕτως Ἀχιλλεὺς δυωκαίδεκα τῶν ἐν Τρωσὶν ἐκλεκτῶν νεανίσκων δορυαλώτους αὐτῷ γεγονότας, τῷ Πατρόκλῳ ἐπεσφαγίασεν. (Αὐτ: ς. 175.) Οἵτε Ἀχαιοὶ ἐν τῷ Ἀχιλλέως κήδει τὸ αὐτὸ παρατετηρηκέναι λέγονται, παρὰ Κοίντῳ τῷ Σμυρναίῳ. Ὁμοίως δὲ καὶ παρὰ Οὐϊργιλ: (Αἰνειάδ: Βιβλ: ΙΑ.)

Vinxerat et poſt terga manus, quos mitteret umbris
Inferias caeſo ſparſuros ſanguine flammas.

„(Δῆσε δὲ καὶ χεῖρας νώτων ὀπίσω τοὺς μέλλε
„Νερτερίοις ἐέξειν, ἐπὶ δὲ φλόγες' αἵματα χεύσειν.)

Ἐν δὲ δὴ τότῳ τῆς πυρᾶς καιομένης, „γεραῇ τῇ φωνῇ τὸν νεκρὸν τόγε ἔχατον ἀνεκαλέντο, ὥσπερ τὸν Πάτροκλον Ἀχιλλεὺς οἶνον πολλάκις ἐπιλείβων. (Ἰλ: Ψ'. ς. 220. 221.)

„ Οἶνον ἀφυσσόμενος χαμάδις χέε, δεῦε δὲ γαῖαν,
„ Ψυχὴν νικλήσκων Πατροκλῆος δειλοῖο.

Τῆς φλογὸς δ' ἀπομαρανθείσης, ἡ μὲν πυρὰ ἀπεσβέννυτο οἴνῳ, τὰ ὀσᾶ δὲ ὅσα περιελείπετο, συνελέγετο. (Ἰλ: Ψ'. ς. 250.)

„ Πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι οἴνῳ,
„ Ὅσσον ἐπὶ φλὸξ ἦλθε, βαθεῖα δὲ κάππεσε τέφρα,
„ Κλαίοντες δ' ἑτάροιο ἐνηέος ὀσέα λευκὰ
„ Ἄλλεγον ἐς χρυσέην φιάλην . . . . . .

Τὸ δ' αὐτὸ καπὶ Ἕκτορος γεγονὸς εἴρηται ἐν ἴσοις χεδὸν τοῖς ἑήμασιν. (Ἰλ: Ω'. ς. 791. κξ:) Ἀλλὰ γὰρ τὰ Ἀχιλέως ὀσέα „ ἀναλεχθέντα „οἴνῳ ἐν ἀρήτῳ καὶ ἀλείφατι (Ὀδ: Ω'. ς. 75.) ἀνεβράχη. Πληξῶντες δὲ διετέλεν τετὶ τὸ καθῆκον οἱ μάλιστα οἰκειότατοι: ὡς παρὰ Πινδάρῳ (Η'. Ω'δῇ Πυθ.) ὁ Ἄδραστος θανόντος ὀσέα λέξας υἱοῦ. Καὶ Τιβέλλῳ δὲ πεποίηται (ἐν Α'. Βιβλ: Ἐλεγ: Γ'. ς. 5.)

Non mihi mater,
Quae legat in moestos ossa perūsta finus.

„ . . . . . (Οὐδέ μοι ὧδ' ἡ μήτηρ,
„ Ἐν κόλποις γονόεσσα καέντα περ ὀσέα λέξει.)

Οὐδ' ἦν δυχερὲς, τὰ ὀσᾶ, καὶ τὴν ἐκ τοῦ πτώματος τέφραν τῶν ἐπὶ τῆς πυρᾶς λοιπῶν διαξέλειν, χωρὶς γὰρ ὁ νεκρὸς κατεκαίετο ὡς διδάσκει Ἀχιλεὺς, περὶ τοῦ Πατρόκλε. (Ἰλ: Ψ'. 240.)

„ Εὖ διαγινώσποντες· ἀριφραδέα δὲ τέτυκται·
„ Ἐν μέσσῃ γὰρ ἔμιατο πυρῇ, τοὶ δ' ἄλλοι ἄνευθεν
„ Ἐχατιῇ καιοντ' ἐπμὶξ, ἵπποι τε καὶ ἄνδρες.

Ὅπερ ἐπίσης ἐν τῷ τῦ Ἀχιλλεως κήδει Κόϊντος διασαφεῖ ὁ Σμυρναῖος (ἐν τῷ Γ'. Βιβλ:) ἀσύμμικτα τοῖς λοιποῖς δηλονότι τὰ ἐκείνε ὀσᾶ παριςῶν „ Οἳ δὴ :

„ Βαιὸν ἄπωθεν καίοντο περὶ νέκυν, ὃς δ' ἐνὶ μέσσοις
„ Ῥίπῃ ὑφ' Ἡφαίςοιο δεδμημένος, οἷος ἔκειτο.

Ἀπετίθετο δ' ἄρα τὰ ὀσᾶ συλλεχθέντα ἐν κάλπῃ, ὡς περὶ τῶν Ἕκτορος εἴρηται. (Ἰλ: Ω'. ς. 795.)

„ Καὶ τάγε χρυσείην ἐς λάρνακα θῆκαν ἑλόντες,
„ Προφυρέοις πέπλοισι καλύψαντες μαλακοῖσιν.

Ἀλλὰ τὰ Πατρόκλε ὀσᾶ ἐν χρυσῇ λάρνακι ἐταμίευσε, δίπλακι ςέατι κατακαλύψας, καὶ λεπτῇ περιςείλας ὀθόνῃ· ἃ καὶν τῇ σκηνῇ ἐκέλευσεν ἀποκεῖθαι, ἵνχρις ἕ τοῖς ἰδίοις ἑαυτῦ θανόντος ἐν τῷ αὐτῷ συναφθέντα τύμβῳ εἰσενεχθείη. Ὅπερ δὴ καὶ γενέθαι τῷ ὄντι ἐπὶ τῆς Ἀχιλέως κηδείας γέγραπται. (Ὀδ: Ω'. ς. 74. καὶ 77.) Ἔνθα καὶ τὰ ὀσᾶ τότε ἀναλεχθέντα:

„ . . . . . Ἐς χρύσεον ἀμφιφορῆα
„ Μίγδα δὲ, Πατρόκλοιο Μενοιτιάδαο θανόντος.

ΚΕΦΑΛΑΙ. Ε'.

Περὶ τοῦ Ἐνταφιασμοῦ.

Οὕτως ἓν τάγε ὀσέα ἀναλεχθέντα τε καὶ ἀποτεθέντα, ἐνεισήγετο εἰς Βόθρον, ἣν Ὅμηρος Κάπετον ὀνομάζει περὶ τῦ Ἕκτορος λέγων: (Ἰλ: Ω'. ς. 797.)

„ Αἶψα γὰρ ἐς κοίλην κάπετον θέσαν.

Ὁ Σχολιαστὴς Τάφρον, φησὶν, ὄρυγμα. Εἶτ' ἐπάνωθεν πλείους ἐπεχρώννυντο λίθοι. (αὐτόθι :)

„ . . . . . Αὐτὰρ ἔπειτα
„ Πυκνοῖσιν λάεσσι κατεχόρεσαν μεγάλοισι.

Ἀλλὰ τὸ Πατρόκλε σῆμα τόρνῳ προεχεδίαζο θεμελίων ἀμφὶ τὴν πυρὰν προκαταβληθέντων. (Ἰλ : Ψ'. ς. 255.)

„ Τορνώσαντο δὲ σῆμα, θεμείλιά τε προβάλοντο
„ Ἀμφὶ πυρήν . . . . . .

Τελευταῖον δὲ χοῦν ἐπέπασσον. (αὐτ : ς. 256.)

„ Εἶθαρ δὲ χυτὴν ἐπὶ γαῖαν ἔχευαν.

Ἐν ᾧ δὴ μάλιστα παρ' Ἕλλησιν ὁ τῆ ἐνταφιασμῆ ὑφίστατο λόγος, μὴ κατὰ τὸ δέον ἡγεμένοις ἐντετελέσθαι, εἰ μὴ καὶ γῆ, ὡς εἴρηται, ἐπιφορηθείη. Ὁ μὲν γὰρ Νέστωρ ἄταφον ἀπεφαίνετο, (Ὀδυσ : Γ'. ς. 258.)

„ Τῷ κε οἱ ἐδὲ θανόντι χυτὴν ἐπὶ γαῖαν ἔχευαν.

Τυδεὺς δὲ ἄλλως ἐντεταφίασαι, (Ἰλ: Ξ'. ς. 114.)

„ . . . . . Οἵ ἑ θήβῃσι χυτὴ κατὰ γαῖα κάλυψεν.

Οὕτω δὲ καὶ Οὐιργίλιος (ἐν τῷ ς'. τῆς Αἰνειάδ : ς. 365.)

. . . . . Aut tu mihi terram
Injice . . . . . (ἢὲ σὺ γαῖαν ἐπίχευέ μοι.)

Καὶ Ὡράτιος ἐν τῷ Α., ἔπει δὲ ΚΗ. ς. 36.

Injecto ter pulvere curras. (ἐπιχυθέισης τρὶς κόνιος τρέχοις) Τὴν ἔν ὧδέ πως ἐπιχεομένην γῆν, Ὅμηρος μὲν σῆμα, καὶ τύμβον καλεῖ· οἱ δὲ Λατῖνοι tumulum, a tumente terra: Οἱονεὶ πεῖν ὄχθον, ἢ λόφον, ἀπὸ τῆς ἀνοιδεμένης χθονὸς· εἴθισο δὲ τῷ ὄχθῳ τῷδε ἐπεγείρεσθαι καὶ ςήλη. (ὥσπερ Ἰλ : Ρ. ς. 434.)

„ Ἀλλ' ὥς τε στήλη μένει ἔμπεδον, ἤτ' ἐπὶ τύμβῳ
„ Ἀνέρος εἰσήκει τεθνηκότος, ἠὲ γυναικὸς.

Ὁ γὲν Πάρις Ἀλέξανδρος Τυδείδη ἔπι τόξα τιτάνετο,

„ Στήλῃ κεκλιμένος ἀνδροκμήτῳ ἐπὶ τύμβῳ
„ Ἰλ: Λ: ς. 370. καὶ τξ) Ἴλου Δαρδανίδαο . . . . . .

Εἴθισο δὲ τοῖς Ἕλλησι προσέτι καὶ τὸ τῶ νεκρῶ ἐλόγιον ἐπιγράφειν ἐπὶ τῆς στήλης. Ἔσθ' ὅτε δὲ καὶ ἀνδριὰς ἐφιδρύετο παριστάνων τὸν τεθνηκότα. Τοιαύ' ἦν ἡ τῆς Μηδείας Εἰκὼν (ἐν τοῖς Ὁμήρε ποιηματίοις.) καὶ ἡ τῶ Ἀχιλλέως παρὰ Φιλοστράτῳ (ἐν τῷ Δ'. Βιβλ: τῶν τῆς Ἀπολλων: βιογραφ:) Προστίθετο δὲ πρὸς τέτοις, καὶ ὅπλα, καὶ ἕτερ' ἄττα τῶ νεκρῶ ἔτι ζῶντος παράσημα, ὡς δῆλον ἐκ τῶν Ἑλπήνορος τῶ Ὀδυσσέως ἑταίρε. (Ὀδυσ: Μ'. ς. 14.)

„ Τύμβον χεύαντες καὶ ἐπὶ στήλην ἐρείσαντες,
„ Πήξαμεν ἀκροτάτῳ τύμβῳ εὐῆρες ἐρετμόν.

Οὕτω δὴ καὶ Αἰνείας τῶ Μισηνῶ τυμβωθέντος, (Αἰνειάδ: ς'. ς. 233.)

Imponit suaque arma viro, remumque tubamque.

(Τῷ δ' ἐὰ τεύχε' ἐρείσατ', ἐρετμὸν, καὶ βυκάνητε.)

Οὕτω καὶ παρὰ τῶ Φιλοστράτε (ἐν τῷ Α'. Βιβλ:) ἀρχαιότατα μνημονεύεται τὰ ἐρετριέων τυμβώματα, ἐφ' οἷς ἐν γράμμασιν Ἕλληνικοῖς, φησὶν, ἐπικεχαράχθαι τὰ ὀνόματα τῶν νεκρῶν, καὶ δὴ καὶ τὰς νῆας ἐπιγεγλύφθαι „Ὡς ἕκαστος ἐν Εὐβοίᾳ ἔζη πορθμεύων, „ἢ θαλάττιον, ἢ ἀλιεργὸν πράττων. Τοιῆτον ἓν τὸ διατυπέμενον ὑπὸ Ὁμήρε τῶν παλαιῶν τάφων εἶδος. Ἐπαινεῖ δ' αὐτὸς (ἐν τῇ Βοιωτίᾳ) τὸ Αἰπύτε τῶ Ἀνακτος μνημεῖον, ὡς περιφημότατον ἁπάντων, ὃ καὶ καθεωρακὼς ἐπιμελῶς Παυσανίας (Ἀρκαδ: „ Κεφ: Ις'.) ἔστι γῆς χῶμα ἐμέγα (φησὶ) λίθου κρηπίδι ἐγκύκ- „ λῳ περιεχόμενον, κτ:

Ἐδεμεῖντο δ' αὐτοῖς ὡς τὰ πολλὰ οἱ τύμβοι ἔξω τῶν πόλεων, ἔνθα καὶ τὰ πτώματα κατεκαίετο, ὡς ὑπὸ Τρώων γεγονὸς ὁρῶμεν ἐπὶ τῆς κοινοτελοῦς ἐκείνης ἐνταφιάσεως: (Ἰλ: Η'. ς. 420.) Καὶ δὴ καὶ ἐπὶ τῆς Ἕκτορος, ὃν Δάρης ὁ Φρὺξ διέξεισι, πρὸ τῆς πύλης, ἣ σύνηθες ἐντυμβωθῆναι. Τῆς αὐτῆς δὲ τυχὸν ἦν θέσεως καὶ τὸ Ἴλε ἀρχαιότατον τύμβωμα, ὃ μέμνηται Θεοκρίτος (ἐν Εἰδυλ: Ιϛ'.)

„ Ἐν πεδίῳ Σιμόεντος, ὅθι Φρυγὸς ἠρίον Ἴλε.

Παραπλησίως δ' ὁ αὐτὸς καὶ τὴν σήλην ἐπὶ τοῦ πεδίου κεῖσθαι, τὴν ἐπὶ τῷ Λυγκέως τοῦ Πατρὸς τύμβῳ, φησὶν, ἱδρυμενην. (ἐν Εἰδυλ: ΚΒ'.) ἔνθα καὶ τοῦ Πλάτωνος:

„ Ἄγαλμ' ἀΐδαο ξεσὸν πέτρον: Τίθησι Πίνδαρος (Νεμ: Ω'δ. Ι'. Μνημονεύει δὲ καὶ Οὐιργίλιος (Αἰνειάδ: ΙΑ':) τοῦ τυμβώματος τοῦ Λατίνων ἄνακτος, ὡς ἔξω τῆς πόλεως κειμένε. Διὰ τοῦτο δὲ ἄρα ὑπὸ Ὁμήρε συχνὰ, παρὰ τὴν ἀκτὴν τὰ μνήματα τίθεται: οἷον τὸ Ἐλπήνορος, τὸ Πατρόκλε, τὸ Ἀχιλλέως, καὶ ἄλλων. Παραπλησίως δὲ τοῖς Ἕλλησιν μεταγενεστέροις ἐν ἀγροῖς οἱ νεκροὶ ἐτυμβεύοντο. Τόδε τοι ἔθος καὶ παρὰ τοῖς Ρωμαίοις κρατῆσαι, σαφῶς παρίστησιν ὁ τῶν Κύρδεων ΙΒ': Νόμος, ὃν ἀναφέρει Κικέρων:

Hominem mortuum in urbe ne sepelito, nec urito.

„ (Τὸν τεθνηκότα ἐντὸς τῆς πόλεως, μὴ θάπτε, „ μήτε καῖε.)

Προσέτι δὲ καὶ τύμβοι κενοὶ ἀμοιρεῦντες τῶν νεκρῶν, παρ' Ἕλλησι πολλάκις ᾠκοδομεῦντο, ἃ Κενοτάφια (ἢ Κενήρια) ἐκάλεν. Τοιοῦτος ἦν ὁ τοῖς Ἕλλησι καινῆ ἐπισκευασθεὶς τοῖς ἐν τῇ μάχῃ πεσοῦσιν. (Ἰλ. Η'. ς. 334.) Τὰ γὰρ ὀστέα χωρὶς ἀποτέθειτο, ἵν' ἕκαστος ἐπιστρέφων τὰ τοῦ αὐτῷ προσήκοντος μετακομίσειεν οἴκαδε. Κενὸς δὲ ἦν καὶ ὁ Πατρόκλε τύμβος: (Ἰλ. Ψ'. ς. 244.) τῶν ἐκείνε ὀστέων ἐπὶ τὴν σκηνὴν τὴν Ἀχιλλέως μετενεχθέντων. Ἀλλὰ γὰρ καὶ ὅλως γε ἀπόντων

ἐπιτελεῖν εἰώθεσαν τὰς νομιζομένας κηδείας, τύμβες αὐτοῖς ἐπεγείροντες. Τοῦτο γᾶν τῷ Τηλεμάχῳ διακελεύεται ἡ Παλλὰς δρᾶν, ἐπὰν ἀκέσηται τὸν γενέτην αὐτᾷ ἤδη θανόντα. (Ὀδυσ. Α'. ς. 291.

„ Σῆματε οἱ χεῦσαι, καὶ ἐπὶ κτέρεα κτερεΐξαι.

Ὡσάυτως Μανέλαος ἐν Αἰγύπτῳ ἐπὶ τᾷ θανάτῳ τῦ Κασιγνήτυ Ἀγαμέμνονος (Ὀδυσ. Δ'. ς. 584.)

Χεῦ' Ἀγαμέμνονι τύμβον, ἵν' ἀθάνατον κλέος ἕῃ.

Ταὐτὸ δ' ἐπλήρωσε Δηϊφόβῳ καὶ Αἰνείας: (Ἀνειάδ. Βιβλ. ς'.),

Tumulum Rhoeteo in littore inanem
Conſtitui, et magna manes ter voce vocavi,
Nomen, et arma locum ſervant; te amice nequivi
Conſpicere, et patriâ decedens ponere terrâ.

(Τόφρ' ἐπὶ Ροιτέοιο κενήριον αὐτὸς ἐγώ σοι
Στῆσα· ἀυτάρ σε νέκυν φωνῇ μεγάλῃ τρὶς ἄϋσα·
Τᾶνομ' ἔχει δ' ὁ τόπος, σά τε τεύχε', ἐπεὶ ἀν ἦν μοι
Ἐγχωροῦντι σ' ἰδεῖν, καὶ πατρίδι γῇ παραθέσθαι.)

Καὶ ὅλως δ' ἦν ἔθος ἑνί γε καὶ τῷ αὐτῷ νεκρῷ πλείονας τύμβες, καὶ ἐν τόποις πλείοσι, καθίσασθαι πρὸς τῶν ἀγχιστευόντων μάλισα, ἢ τῶν ἐν πράξεσιν ἐπισημοτέρων, ὡς διαῤῥήδην ὁ Ἁλικαρνασσεὺς Διονύσιος (ἐν τῷ Α'. τῶν Ῥωμαϊ: ἀρχαιοτήτων) ἐξὶν ἐκδιδάσκων.

Ἐν τιμῆς ἕν μοίρᾳ μεγίσης τὸ τᾶ ἐνταφιασμᾶ παῖδες Ἑλλήνων ἐτίθεντο: Διὸ καὶ τᾶτο γέρας θανόντων Ὅμηρος συνεχῶς ὀνομάζει· ἕ χάριν καὶ Ἀγαμέμνων, ἀδὲν ἔχε δεινότερον Τρωσὶν ἐπαράσασθαι, ἢ ἀκηδέστες καὶ ἀθάπτες αὐτὲς ἀπολέσθαι: (Ἰλ. Ζ'. ς. 60.) Ὡσάυτως καὶ Διδὼ ἐπηρᾶτο Αἰνείᾳ παρὰ Ὀυϊργιλίῳ.

Sed cadat ante diem, mediaque inhumatus arena.

„ (Πρὶν δ' ὥρης ἡμύσαι ἄτυμβος ἐπὶ ψαμάθοισιν.

Ἐχάτη δ' ἐφ' ὕβρει, καταληφθέντα πάντη τὰ πολεμίων ἔκειτο πτώματα, θήρεσιν ἑλώρια οἰωνοῖσι τε πᾶσι. Καί τοιγε ἡ δυσεδαιμονίας τὶ προσῆπτο τῷ πράγματι, οἰομένων δὴ τῶν πλειόνων, τὰς τῶν ἀθάπτων ψυχὰς ἀποκλειομένας τῆ Ἀΐδᾳ ἀβεβαίως καθ' ἕδρας ἠλάσκειν: τῆθ' ὅπερ ἡ Πατρόκλε σκιὰ ἐποτνιᾶτο τῷ Ἀχιλλεῖ ἐπιφανεῖσα. (Ἰλ: Ψ'. ς. 71. κξ:) Ἔνθεντοι καὶ Ὀδυσσεῖ προεκκαλεμένῳ τὰς νέκυας, προσαντᾷ πρῶτος Ἐλπήνωρ ἀπαιτῶν κηδεσθῆναι (Ὀδυσ: ΙΑ. ς. 50. κξ:) οἷα δὴ καὶ παρὰ τῷ Οὐϊργιλίῳ (ἐν ς'. Αἰνειάδ.) ὁ Παλινοῦρος καὶ παρὰ τῷ Σιλίῳ Ἄππιος.

Ὁ μὲν Τερτυλιανὸς (ἐν τῷ περὶ ψυχ:) ὑπὸ Ὁμήρε ἡγήσατο τετὶ πεποιῆθαι, ὡς ἂν ἡ τῆ κήδες ἐκπλήρωσις, τήν τε περὶ τὸ δέμας τιμὴν διασώζοι, καὶ τὴν ἐπὶ τῷ πάθει λύπην μετριωτέραν τοῖς περιλειπομένοις ἐργάζοιτο. Περὶ τέτε γεμὴν, ὅπως καὶ ἔχον ἂν εἴη, ἀλλ' ἐκεῖνο δῆλον, ὅτι περὶ τὸν ἐνταφιασμὸν τῶν ἀποβιέντων Ἕλληνες ὁσιώτατα ὑπῆρχον σπεδάζοντες, ὡς περὶ ἔργον ὑπὸ τῶν Θεῶν ἐνταλθὲν, ὧν τὸν παροργισμὸν σφόδρα ὑπέπτησσον, τῆ ταῖδε καθήκοντος ἀμελήσαντες: ὡς ἐξ ὧν εἶπεν Ἐλπήνωρ (Ὀδυσ: Λ'. ς. 72.) φαίνεται:

„Μήμ' ἄκλαυσον ἄθαπτον ἰὼν ὄπιθεν καταλείπειν,
„Νοσφιθεὶς, μήτοι τε θεῶν μήνιμα γένοιμι.

Μετὰ τὸν ἐνταφιασμὸν οἱ ἔγγιον τῷ γένει προσήκοντες εὐωχίαν κοινὴν παρεσκεύαζον, ὡς Ἡρίαμος τῆ Ἕκτορος ἐνταφιαθέντος (Ἰλ: Ω'. ς. 802.) Ἀχιλεὺς γεμὴν καὶ πρὸ τῆ ἐνταφιασμῆ τῷ Πατρόκλῳ παρέσησε δαῖτα νεκρώσιμον, ἥνπερ Ὅμηρος (Ἰλ: Ψ'. ς. 29.) τάφον ὠνόμασεν. Ὁ δὲ παλαιὸς Σχολιαστὴς, περίδειπνον ἑρμηνεύει τὸ ἐπὶ τοῖς τετελευτηκόσι παρασκευαζόμενον. Ὁ μέν „τοι Εὐσάθιος ἄλλως ὑπέληφε φάσκων, ὅτι τάφος ἐκατάτινας „ὁ μετὰ τὸ ταφῆναι τινὰ περίδειπνος, ἀλλ' ὡς ἐπὶ νεκρῷ,

„ἐπὶ γᾶν Πατρόκλε μήπω ταφέντος. Ηἦπε δὲ καὶ τάφον Ὅμηρος λέγει ὑπὸ Ὀρέστε τελεσθῆναι μετὰ τὴν Αἰγίσθε καὶ Κλυτεμνήστρας ἀναίρεσιν. (Ὀδυσ: Γ'. ς. 309.)

„Ἤτοι ὁ τὸν κτείνας δούπου τάφον Ἀργείοισι
„Μητρός τε συγερῆς, καὶ ἀνάλκιδος Αἰγίσθοιο.

Οὐ μόνον ἄρα πρὸ τᾶ ἐνταφιασμᾶ, ἀλλὰ καὶ μετὰ τὸν ἐνταφιασμὸν εὐωχίαι ἐγίγνοντο: καίτοι τόδε συνεχέστερον ἐπεκράτει, καὶ ἐ μόνον παρ Ἕλλησιν, ἀλλὰ καὶ παρὰ Ρωμαίοις, καὶ ἄλλοις ἔθνεσιν, ὡς διὰ πάνυ πολλῶν ὑποδειγμάτων καταδηλον γίνεται.

Προσετίθεντο δὲ τελευταῖον ἐπὶ ταῖς κηδείαις τῶν ἐπιφανεστέρων καὶ ἆθλοι, καὶ παντοῖα ἐπαγωνίσματα, καθὰ δι ὅλης τῆς Ψ'. Ῥαψῳδίας ἐν τῇ Ἰλιάδι, ἅττα Πατρόκλῳ ἐπανηγυρίθη ἐκτίθεται. Ἔνθα (ς. 680.) τὰ παραπλήσια τελεσθῆναι, λέγεται καὶ ἐπὶ Οἰδίποδι τῷ Θηβαίων Βασιλεῖ κηδευθέντι· ἐν οἷς Εὐρύαλος πάντας ἐνίκα Καδμείωνας. Καὶ τᾶ Ἀχιλλέως δὲ ἐνταφιαθέντος παντοίας ἀγῶνας Ἀχαιοὶ συνεσήσαντο· (Ὀδυσ: Ω. ς. 88-) καὶ δήπου δι ἐξαιρέτε πομπείας, ὑπὲρ πᾶσαν ἄλλην, ἥτις ἂν Ηρωϊκοῖς ἀνδράσιν, ἢ ἄρχεσι ποτὲ γένοιτο. Οὕτω καὶ τὸν Ηρακλέα ποιῆσαι τεθνηκότι τῷ Πέλοπι γράφει Διονύσιος ὁ Ἁλικαρνασσεύς, (ἐν Βιβλ: Ε'.) Καὶ τᾶ αὐτᾶ δὲ γέρως μεταχὼν ἐγένετο καὶ Βρασίδας παρὰ Θεκυδίδη, καὶ Μιλτιάδης παρὰ Ηροδότω, καὶ Τιμολέων παρὰ Πλεταρχῳ καὶ ἄλλοι ἀριθμὸν ὑπερπαίοντες. Ἀλλὰ γὰρ πρώτες ἁπάντων τὲς τοιάσδε ἐκτελεσθῆναι ἐπιταφίες ἀγῶνας τῷ Ἀζᾶνι θανόντι Παισανίας παρέδωκεν (ἐν τοῖς „Ἀρκαδ:) Ἐπὶ δὲ Ἀζᾶνι τῷ Ἀρκάδος τελευτήσαντι, ἆθλα „ἐτέθη πρῶτα· Εἰμὲν γὰρ ἄλλα, ἐκ οἶδα: ἱπποδρομίας „δὲ ἐτέθη. Οὗτος τύπος ὅδε, ὡς καὶ ἕτεροι ἐκ ὀλίγοι, ἀπὸ τῶν Ἑλλήνων ἐπὶ τὲς Ρωμαίες διέβη, ἔ πλεῖσι, ἐν τῇ Ἱστορίᾳ μάλιστα τῶν Καισάρων δείγματα πρόκειται.

ΚΕΦΑΛ. Ιϛ.

Περὶ τῶν Μαντειῶν.

Τὰ περὶ τῶν Θεῶν, καὶ τῆς αὐτῶν δημοτελοῦς θεραπείας ἐκθεμένοις λειπόμενον ἐστὶ, καὶ περὶ Μαντειῶν τι εἰπεῖν, ὧν παρ' Ὁμήρῳ συχνὴ λίαν γίγνεται μνεία· πανταχοῦ γὰρ αὐτῷ οἱ Μάντεις διαθρυλλοῦνται, οἱ Οἰωνοπόλοι, οἱ Ὀνειροπόλοι, ἔτι τε μὴν καὶ παρὰ τοῖς Κύκλωψιν. (Ὀδυσ: Ι'. ϛ. 510.) Ἦν δὲ Μαντειῶν ἁπασῶν ὑπερέχουσα, ἡ ἐξ ἐνθέου κατακωχῆς ἀποβρήτου γινομένη, μετὰ ἐνθουσιασμοῦ τινος τὰ πολλὰ καὶ μανίας· ὅθεν οἱ Μάντεις καὶ τὴν κλῆσιν ἔλαχον, ὡς Πλάτων μαρτυρεῖ (ἐν τῷ Φαίδρῳ) καὶ Κικέρων (ἐν τῷ Α'. τῶν περὶ τῆς Μαντικῆς.) Καὶ ὑπὲρ τοῦ τοιούτου τῆς Μαντείας εἴδους χωρὶς ἄττα ὑπῆρχεν, ἐφ' οἷς ἔδει παρεῖναι τοὺς χρήσασθαι μέλλοντας, ὧν ἀρχαιότατον τὸ Διὸς τοῦ Δωδωναίου ἐν Ἑλλάδι γενέσθαι, γράφει (ἐν τῇ Εὐτέρπῃ) Ἡρόδοτος· πρὸς ὃ καὶ τὸν Ὀδυσσέα φησὶν Ὅμηρος (Ὀδυσ: Ξ'. ϛ. 327. καὶ Οδύσ: Τ'. ϛ. 269.) προσεληλυθέναι. Ἀλλὰ καὶ Ἀμφίνομος βέλεται ἐπὶ τὸ αὐτὸ καὶ τοὺς Πηνελόπης μνηστῆρας ἀναδραμεῖν, πρὸ τοῦ Τηλέμαχον ἀνελεῖν. (Ὀδυσ. Ξ'. ϛ. 402.) Καὶ ἕτερον δὲ ἐν τοῖς Μαντείοις περιβόητον ἦν, τὸ τοῦ Πυθίου Ἀπόλλωνος, ἀφ' οὗ χρησηριάσασθαι Ἀγαμέμνονα φησὶν Ὅμηρος (Ὀδυσ: Θ'. ϛ 79.)

Ἀλλὰ γὰρ παρὰ Ὁμήρῳ μᾶλλον τεθρύλληται ἡ Μαντικὴ ἡ ἐκ τέχνης, καὶ διὰ σημείων ἡγησαμένων περαινομένη, ἣν Παυσανίας (ἐν τοῖς Ἄττικοῖς:) ἐν χρήσει μάλιστα γενέσθαι τοῖς ἀρχαιοτέροις διατείνεται μαντιπόλοις. Χωρὶς δὲ, πλὴν ὅσους ἐξ Ἀπόλλωνος μαννῆναι λέγουσι, τὸ ἀρχαῖον Μάντεών γ' ἁπλοῦς χρησμολόγος ἦν· ἀγαθοὶ δ' ὀνείρατα ἐξηγήσασθαι, καὶ διαγνῶναι πτήσεις ὀρνίθων, καὶ σπλάγχνα Ἱερῶν. Καὶ αὐτὸν δὲ Ἀμφιάραον, τὸν θείας μοίρας μετεχηκότα, μάντιν ὀνείρων φησὶν ὑπάρξαι εἰκασίαις μάλιστα χρώμενον. Κικέρων δὲ αὐτόν τε δὴ, καὶ τὸν Τειρε-

σίαν, ὃν τοσοῦτον Ὅμηρος ὕμνησεν, οἰωνοῖς τε καὶ τεκμηρίοις παραινεμένας προφήνασθαι διέξεισι τὰ ἐσόμενα. Ἀλλὰ καὶ Πλίνιος τὸν Τειρεσίαν ὑποφήτην τῶν Οἰωνοσκοπικῶν ἀνακηρύττει.

Πρωτίστην ἐν τῷ τοιῷδε τῆς Μαντικῆς εἴδει ἔλαχε τάξιν, ἡ διὰ τῆς τῶν πτηνῶν διασκέψεως καὶ παρατηρήσεως, ἥτις ὁλοσχερῶς ἡ πᾶσα **Οἰωνιστικὴ** ὑπὸ Πλάτωνος προσηγόρευται· ἐλαμβάνετο δὲ ἐκ τῆς ἐκείνων πτήσεως καὶ τῆς ᾠδῆς καθ' Ὅμηρον: (ἐν Ὕμν. Ἑρμ: ς. 541.)

„ Φωνῇ καὶ πτερύγεσσι τελήεντων οἰωνῶν.

Ὃ καὶ Οὐιργίλιος εἶπεν (Αἰνειάδ: Βιβλ: Γ'. ς. 361.)

Et volucram linguas, et praepetis omina pennae.

„ (Οἰωνῶν γλώσσας τ' ὠκύπτεράς θ' ὅσσα προφαίνει.

Ἐν οἷς τὰ μὲν ἐπὶ τὸ δεξιὸν μέρος, αἴσια τοῖς Ἕλλησιν ἐνομίζετο. Ὅθεν τῷ Ὁμήρῳ ὁ τοσάκις ῥηθεὶς **δεξιὸς ὄρνις**: ὅνπερ ἀγαθῇ τύχῃ καθίπτασθαι οἱ Ἀχαιοὶ ἐφημήνευον: (Ἰλ: Ν'. 821.) ὡς καὶ Ἑλένη τῷ Τηλεμάχῳ (Ὀδυσ: Ο'. ς. 160. κξ:) τἐναντίον δὲ τῷ Ἕκτορι ἐκ ἀγαθὰ οἰωνίζεται Πολυδάμας, ὅτι (Ἰλ: Μ'. ς. 201. καὶ 218.)

„ Ὄρνις Τρωσὶν ἐπῆλθε περησέμεναι μεμαῶσιν,
„ Αἰετὸς ὑψιπέτης, ἐπ' ἀριστερὰ λαὸν ἐέργων.

Ἦν δὲ δεξιὸν μέρος, τὸ πρὸς ἥλιον ἀνίσχοντα ἀφορᾶν· ἀριστερὸν δὲ, τὸ πρὸς δυόμενον, ὡς Ἕκτωρ ἀναπτύσσει λέγων: (Ἀυτ. ς. 239. καὶ 240.)

„ Εἴτ' ἐπὶ δεξὶ ἴωσι πρὸς ἠῶ τ' ἠέλιόντε,
„ Εἴτ' ἐπ' ἀριστερὰ τοίγε, ποτὶ ζόφον ἠερόεντα.

Οὕτω γὰρ ἀπὸ Ὁμήρου νοεῖσθαι τὰ μέρη ταῦτα, ἐπιβεβαιοῖ ὁ Πινδάρου σοφὸς ἐξηγητὴς, ἐν τοῖς **προλεγομένοις** φάσκων: Δεξιὰ

καλεῖ Ὅμηρος τὰ ἀνατολικὰ, ἀριστερὰ δὲ τὰ δυτικά. Καὶ μὲν δὴ καὶ τῶν Φιλοσόφων οἱ κορυφαῖοι, Πυθαγόρας τε, καὶ Πλάτων, καὶ Ἀριστοτέλης: δεξιὸν μὲν εἶναι τῶ νόσμω τὸ ἀνατολικὸν κλῖτος εἰπόντες, ἀριστερὸν δὲ τὸ δυτικόν: ὡς ἰδεῖν ἐστὶ παρὰ Πλουτάρχῳ, ἐν τοῖς περὶ τῶν ἀρεσκόντων τοῖς Φιλοσόφοις. Βιβλ. Β'.

Ταὐτὸ παρατετήρηται καὶπὶ τῆς βροντῆς: Ὁ γὰρ Αἴας ἐπὶ τῇ Τρώων θηριωδίᾳ επιποτνιώμενος ἔφη: (Ἰλ. Ι'. ς. 236.)

„Ζεὺς δέσφιν Κρονίδης ἐνδέξια σήματα φαίνων
„Ἀστράπτει. . . . . .

Οὐ δὴ μεθερμηνέυων ὁ Κικέρων (ἐν τῷ Β'. τῶν περὶ Μαντικ.) ἐκφράζει: Prosperа Iuppiter his dextris fulgoribus edit. Ἀλλάγε Ἔννιος τἐναντίον· Intonuit laevam bene tempestate ferena: (Ἐβρόντησεν ἀριστερὰν καλῶς, ἔσης εὐδίας:) ἀμέλει τοι ἐξ ἔθος τῶ παρὰ τοῖς Ῥωμαίοις, οὓς ἀντιφρονεῖν τοῖς Ἕλλησι περὶ τῶτο διδάσκει Τέλλιος: οὕτω δὴ φάσκων, ἡμῖν τὰ ἀριστερὰ δοκεῖ, τοῖς δ' Ἕλλησι καὶ τοῖς βαρβάροις τὰ δεξιὰ εἶναι κρείττονα.) περὶ ἧ πλατύτερον ὁ Πλούταρχος διεξέρχεται (ἐν τοῖς Ῥωμαικοῖς Προβλήμ. ΟΖ:)

Ἐχομένως ἕπεται ἡ ἐξ ὀνείρων Μαντικὴ, ἣν οἱ μετιόντες ὀνειροπόλοι προσείρηνται. Τοιῶτον τινὰ μετάπεμπτον γενέσθαι Ἀχιλλεὺς βέ-„λεται, ὃς ἂν τὴν αἰτίαν ἐξείποι τῶ παροργισμῶ τῶ Ἀπόλλωνος. Καὶ „γάρ τ' ὄναρ ἐκ Διός ἐστὶ, φησὶν, ὅθεν σαφῶς ἔχει τὸ ἀξιόπιστον. (Ἰλ. Α'. ς. 63.) Ὑπόδειγμα δὲ τέτε τό: (Ὀδυσ. Τ. ς. 535) Ἔνθα Πηνελόπη αἰτεῖται Ὀδυσσέα, τὸν ὄνειρον αὐτῇ ὑποκρίνασθαι τῶν κατοικιδίων χηνῶν, τῶν πρὸς τῶ ἀγκυλοχείλες Ἀετῶ ἀποκταθεισῶν: ὃν ἐκεῖνος περὶ τῆς ἐσομένης τῶν μνηστήρων ἀναιρέσεως διερμήνευσεν.

Ἀρχαιοτάτη δ' ἦν τοῖς Ἕλλησι προσέτι καὶ ἡ Μαντικὴ, ἡ διὰ τῆς τῶν σπλάγχνων διασκοπήσεως τῶν θυμάτων, ἣν οἱ Ῥωμαῖοι Extispicium (Σπλαγχνοσκοπίαν) ἐκάλεν, ἧς μέντοι παρ' Ὁμήρῳ δείγ-

μα κεῖται ἐδέν· ὑποσημαίνειν γὰρ μόνον τοιῦτο τι ἔοικε βελομένῳ ὑπὸ τᾶ Μάντεος ὀνόματι, ὥ τὸ τοῦ ἱερῆος παρασυνάπτει. (Ἰλ. Α'. ς. 62).

„Ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν, ἢ ἱερῆα.

Καὶ ἔτω δὲ καὶ Εὐσάθιος ἑρμηνέυει (ἐν τῷ Ω'. τῆς Ἰλιάδ. ς. 221.) τὸ ἔπος:

„Ἢ οἱ Μάντεες εἰσὶ θυοσκόοι, ἢ ἱερῆες.

„Δύω γὰρ, φησὶ, κατὰ τὲς ἀρχαίες, μάντεων συνι-

„σαθαι γένη: Θυοσκόες τε δὴ, τὲς διὰ τῶν ἐπιθυμιωμένων: „τετέσι τὲς ἐμπυρομάντεις, ἢ λιβανομάντεις, ὡς ἄλλως „ἀποκαλῆνται· καὶ τὲς ἱερεῖς, ἓς ἱεροσκόπες ὀνομάζει καθ' ἑτέ-ραν ἐπίκλησιν, τὲς διὰ τῶν σπλάγχνων. Ἀλλὰ καὶ Ἀπελλήϊος (ἐν τῷ βιβλ. τῷ περὶ τῆ Δαίμον: τῆ Σωκρ.) ὑπὸ τῇ αὐτῇ ἐπωνυμίᾳ τῆ Σπλαγχνισκόπα, προσαγορέυει τὸν Κάλχαντα, ὃν περ ἐπὶ τῆ τῶν Ἀχαιῶν ςρατῆ, Μάντιν ὄϊχ' ἄριςον ἀνακηρύττει Ὅμηρος (Ἰλ. Α. ς'. 69. 70.)

Ὑπῆρχε δὲ καὶ πολλὰ ἄλλα, τὰ δεισιδαιμόνως παρατηρέμενα, οἷον ὁ πταρμὸς, ὡς ἐπιφέρει Πλίνιος (ἐν Βιβλ. Ζ'. Κεφ. Ζ'.) atque etiam, parva ſtictu, in auguriis ſternutamenta, et offenſiones pedum. (Καὶ μὲν δὴ καὶ τὰ μικροῦ λόγε ἄξια ἐν οἰωνίσμασι πτάρματά τε, ποδῶν τε προσκόμματα. Οὗ δεῖγμα τὸ, (ἐν Ὀδυσ. Γ'. ς. 545.).

„Οὐχ ὁράας, ὅ μοι υἱὸς ἐπέπταρε πᾶσιν ἔπεσσι.

Τῶδε γὰρ τῷ οἰωνισμῷ, ὡς αἰσιωτέρῳ, ἡ Πηνελόπεια τὴν ἑαυ-τῆς εὐχὴν ἐπιβεβαιοῖ, περὶ τῆς τῶν μνηςήρων ἐπαναιρέσεως· Οὕτω δὲ καὶ Θέκριτος (ἐν Εἰδυλ. ΙΖ.)

„ Ὄλβιε γαμβρὲ ἀγαθός τις ἐπέπταρεν ἐρχομένῳ το,
„ Εἰς Σπάρτην. . . . . .

Καὶ παρὰ Ξενοφῶντι (ἐν τῷ Γ'. τῆς Ἀναβασ:) ὁ στρατὸς αἴφνης πταρμῷ γενομένῳ, σωτηρίαν σφίσιν ὑπέχοντο. Ἀλλ' ἐπὶ τῷ πταρμῷ προσέτι καί τι ἀπαίσιον ἐνίοτε συνεβάλλοντο, ὡς ἐπ' ἐκείνῳ, παρὰ τῷ αὐτῷ Θεοκρίτῳ (ἐν Εἰδυλ. Ζ'. ς. 96.)

„ Σιμμιχίδᾳ μὲν ἔρωτες ἐπέπταρον, ἦ γὰρ ὁ δειλὸς
„ Τόσσον ἐρᾷ Μύρτης, ὅσσον ἔαρος αἶγες ἔρωνται.

Ἔνθα τὸν πταρμὸν ὁ Σχολιαστὴς ὁτὲ μὲν τελεσφόρον, ἄλλοτε δ' ἐπιβλαβῆ εἶναι λέγει. Ἀλλὰ καὶ Εὐσάθιος (ἐν τῷ Η'. τῆς Ἰλιάδ.) τὸν πταρμὸν ἐπιβεβαιῶται ἐπ' ἀγαθῷ ἐκλαμβάνεσθαι εἰωθέναι, εἴτις πρὸς δεξιὰν πτάροιτο: Οὗ δεῖγμα κεῖται παρὰ Πλουτάρχῳ ἐν Βίῳ τῷ Θεμιστοκλέους· ὡς τὸν ἐπὶ τὴν λαιὰν πταρμὸν τυχὸν μὴ καλῶς ἀκοῦσαι.

Καὶ ταῦτα μὲν περὶ τῆς παρὰ τοῖς πάλαι Ἕλλησι Μαντικῆς εἰρημένα ἐξ Ὁμήρου, ἅλις ἐχέτω: ἧς καίτοιγε παρὰ τῷ χύδην ὄχλῳ μεγάλη τις ἦν ἡ ἀξιότης, ἃ μέντοιγε καὶ παρὰ πᾶσιν ἁπάσης εἶναι ἀμφιβολίας ἐκτὸς ἐπιζεύετο. Μάλιστα μὲν δὴ ἐθρυλλεῖτο ἡ Μαντικὴ ἡ ἐκ τῶν οἰωνῶν, ἢ καὶ ἐκ τῶν ὀνείρων, ἀλλ' ἐκείνην ὅλως ὑπερεξαίρει Ἕκτωρ (Ἰλ. Μ'. ς: 230. κξ.) καὶ Εὐρύμαχος (Ὀδυσ. Β'. ς. 177. κξ.) Κατὰ δὲ τούτης ἀντιφέρεται πως ἡ Πηνελόπη (Ὀδυσ. Τ. ς. 560. Τέως δ' ἓν Εὐριπίδης τὸ Μάντεων γένος ὡρίσατο καθόλου εἶναι, τὸ πολλὰ μὲν ψευδῆ, ὀλίγα δ' ἀληθῆ λέγον:

„ . . . . . Τίς δὲ Μάντις ἔστ' ἀνὴρ,
„ Ὃς ὀλίγ' ἀληθῆ, πολλὰ δὲ ψευδῆ λέγει.

ΚΕΦΑΛ. ΙΖ'.

Περὶ Μαγικῶν Τεχνῶν.

Συγγενὴς ἐστὶ τῇ Μαντικῇ ἡ Μαγεία: Τάυτης γὰρ τὸ μὲν πλεῖσον ἐν τῇ τῶν κρυφίων κεῖται διερευνήσει, τὸ δὲ λοιπὸν, ἐν τῷ ἀχολεῖσθαι ἀποτελεῖν τὰ εἰς θαῦμα κινοῦντα. Συχνὴ δ' αὐτῆς, ἐπὶ τῆς Ὁμήρε Ὀδυσσείας ἡ χρῆσις, ὥσε καὶ τὴν ποίησιν ὅλως ἐκείνην μηδαμόθεν ἄλλοθεν συνεσᾶναι Πλίνιος ἀπεφήνατο, (ἐν Βιβλ: Λ'. Κεφαλ: Α'.) „Οὐδὲ γὰρ ἄλλως, φησὶ, καὶ τὸν Πρωτέα καὶ τὰς ᾠδὰς „τὰς Σειρήνων παρ' αὐτῷ θέλειν νοεῖσθαι. Ἀλλὰ καὶ ἡ „Κίρκη τῇ τῶν ἐξ Ἅιδε ἐπανακλήσει τέτο αὐτὸ διαπράτ„τεται μόνον. Καὶ εἰς τόδε δ' ἂν τρέφεται ἅπασα ἡ τοῖς Ὀδυσσείας δεκάτη πρώτη Ῥαψῳδία, ἣν οἱ παλαιοὶ Νεκυίαν ὠνόμασαν. Ὀδυσσεὺς γὰρ ἐν τάυτῃ βοσκήματα μέλανα σφάξας ἐν βόθρῳ, μετὰ λοιβὰς τινὰς περιεχυμένας, ἀνακαλεῖται τὰς τῶν τεθνεώτων ψυχὰς προσελθόσας τὸ αἵματος ἔκπιεῖν· ἰδιαίτερον δὲ τὴν τῆ Μάντεως Τειρεσίε· καὶ περὶ πραγμάτων αὐτὰς διαφόρων διαπυνθάνεται. Ταὐτὸ δὲ καὶ τὸν Τειρεσίαν αὐτὸν εἰωθέναι πράττειν ἐν ζῶσιν ὄντα, παρέδωκε Στάτιος· καὶ τὸν Αἴσονα δὲ Οὐαλέριος ὁ Φλάκκος· καὶ Πλίνιος δὲ τὸν Νέρωνα, ἐ μόνον κτήνεσι μελανόχρωσιν, ἀλλὰ καὶ ἀνθρώποις ἐπὶ τέτῳ σφαγιαζομένοις ἀναφέρει χρησάμενον. Οὗν δὴ τρόπον καὶ ὁ Ναζιανζηνὸς Γρηγόριος ἐν τῷ Στηλιτευτικῷ κατὰ Ἰβλιανὸ μέμνηται „τῶν ἀνατεμνομένων παρθένων τε καὶ παίδων ἐπὶ ψυχα„γωγίᾳ καὶ Μαντείᾳ. Ἀλλὰ καὶ ὁ Τυανεὺς Ἀπολλώνιος παρὰ Φιλοστράτῳ (ἐν Βιβλ: Δ'.) φησὶν, ὅτι τὴν Ἀχιλλέως ψυχὴν δι' εὐχῶν „καθαρῶν ἀνεκαλέσατο: Οὐ γὰρ βόθρον Ὀδυσσέως ὀρυξάμενος, „ἐδ' ἀρνῶν αἵματι ψυχαγωγήσας, εἰς διάλεξιν τὸ Ἀχιλ„λέως ἦλθεν, ἀλλ' εὐξάμενος, ὁπόσα τοῖς Ἥρωσιν οἱ „Ἰνδοὶ φασι δεῖν ἔυχεσθαι. Ἐγίνετο δ' ὁ τοιῦτος τύμβος ἐξ ἐθες· ἐκεῖ γὰρ ᾤοντο τὰς ψυχὰς, πόθῳ τῶν οἰκείων ἀγομένας σωμάτων, ἀσμενέστερον ἀναστρέφεσθαι. Ἐνθεντοι Οὐιργίλιος (ἐν τῇ Η': τῶν Ἐκλογ: ς. 96.) ἔφη:

Moerin ſaepe animas imis excire ſepulcris.
„ (Μοῖριν πολλάκις ἐκ τύμβων ψυχὰς καλέεσθαι.)

Καίγε ἡ Φαρμακὶς Ἐριχθὼ παρὰ τῷ Λευκανῷ: (ἐν Βιβλ. ϛ'.) τὰς μαγικὰς αὐτῆς ἀνεκκλήσεις ἐπὶ τῷ τάφῳ ποιεῖται. Ὅθεν καὶ Ἐπιτυμβάδες αἱ τοιαῦται γυναῖκες προσηγορεύοντο. Ἀλλ' ὁ Ὁμηρικὸς Ὀδυσσεὺς παρὰ τοῖς ὑποχθονίοις τὰ τοιαῦτ' ἀπετέλει, ἔνθα μάλιστα αἱ νεκύων περιπολεῖσι σκιαὶ (Ὀδυσ: Λ'. ϛ. 474.) . . . . .

„ . . . . . Ἔνθάδε νεκροὶ
„ Ἀφραδέες ναίουσι, βροτῶν εἴδωλα καμόντων.

Ἄλλως τε δὲ, ἦν τὸ πάλαι παρ' Ἕλλησι καὶ χωρία τινὰ, ἐν οἷς περ ἐξ ἔθους οἱ νεκροὶ ἀνεξεκαλεῖντο. Τοιοῦτον ἦν τὸ Νεκυομαντεῖον τὸ παρὰ Θεσπρωτοῖς, πρὸς ὃ Περίανδρος ὁ Κορινθίων Τύραννος τὸν διαπευσομένης ἀπέστελλε περὶ τῆς τοῦ ξένου παρακαταθήκης· ἀνεφάνη δὲ Μέλισσα ἡ ἀκοίτη, ἥτις ἀπηνήνατο ἀποκρίνασθαι, παρὰ τὸ ῥιγῶν γυμνὴν εἶναι, ὡς παρ' Ἡροδότῳ (ἐν τῇ Τερψιχόρῃ) ἀναγινώσκομεν. Παυσανίας δὲ (ἐν τοῖς Βοιωτικοῖς:) καὶ τὸ Νεκυομαντεῖον μέμνηται, ἐν ᾧ Ὀρφεὺς φέρεται ἐκκαλεσάμενος Εὐρυδίκην: Ὅθεν καὶ εἰς Ἅδην εἶρηται καταβῆναι. Τοιοῦτον ψυχοπομπεῖον διαφημίζει καὶ Πλάταρχος καθ' Ἡράκλειαν ὑπάρξαι· ἐν ᾧ Παυσανίας, ἱλασμοῖς καὶ χοαῖς τισι, τὴν ψυχὴν κόρης τινὸς Βυζαντίδος ὑπ' αὐτοῦ ἀναιρεθείσης ἐξεκαλέσατο, τῆς καὶ τὸ πέρας αὐτῷ τοῦ βίου προαναπεσούσης. Τὸ δ' αὐτὸ διέξεισι καὶ Κικέρων, παρὰ τῇ Ἀόρνῳ λίμνῃ γεγονός. Inde, φησὶν, iſta Homeri Νεκυία; inde ea quae meus amicus Appius Νεκυομαντεῖα faciebat; inde in vicinia noſtra Averni lacus, unde animae excitantur obſcura umbra, aperto oſtio alti Acherontis, falſo ſanguine

imagines mortuorum (ἐν Α': Τεσκελάν:) ἐντεῦθεν ἡ „Ὀμήρε, φησὶ, Νεκυία· ἐντεῦθεν ἅπερ ὁ ἐμὸς φίλος „Ἄππιος, τὰ Νεκρομαντεῖα ἐποιεῖτο· ἐντεῦθεν ἡ ἐκ γε„τόνων ἡμῖν Ἀόρνε λίμνη, ὅθεν αἱ ψυχαὶ τῆς ζοφερᾶς „σκιᾶς ἐξεγείρονται ἀναπεταννυμένης τῆς θύρας τῷ ὑψη„λῷ Ἀχαίροντος, ἐν αἵματι ψευδεῖ νεκρῶν εἰκόνες. Τελευταῖον, ὡς λίαν τῷ ἔθει τέτριπτο ἡ Νεκυομαντεία τοῖς παλαιοῖς αὕτη, ὥστε καὶ τὸν Ἄππιον τὴν Ὀμήρε ψυχὴν ἐκκαλεσάμενον διαπυθέσθαι, τίς ποτε ἆρα ἡ Πατρὶς αὐτῷ γένοιτο; καὶ οἱ τεκόντες δὲ αὐτὸν τίνες; ὡς ὁ Πλίνιος (ἐν Βιβλ: ΚΘ'. Κεφ Β'.) μαρτυρεῖ.

Ποικίλα δ' ὡσαύτως καὶ τεράσιά τινα φέρεται τῆς Μαγείας ἀποτελέσματα, ἐ μόνον ἐν ἀνθρώποις καὶ κτήνεσιν, ἀλλα καὶν αὐτοῖς τοῖς στοιχείοις τοῖς τῦ κόσμε τερατεργέμενα, ἃ δι' ἐπῶν τινων μαγικῶν συνεργήσει δαιμονίων ἀνοσιεργοὶ ἄνθρωποι δρῶσιν. Ἐπωδὴν Ἕλληνες ὠνόμασαν, ἣν οἱ Λατῖνοι ἔιπον, Incantationem ἐκ τῆς ἐπαγωγῆς ἀοιδῆς τῶν Ὀμηρικῶν Σειρήνων ἐκφράσαντες. Διὰ δὴ ταύτης τὸν νῶν τοῖς ἀνθρώποις παρεκφέρεσθαι πεπίστευται, καὶ οἱονεί πως τῆς ἰδίας ἕδρας ἐξίστασθαι: ὡς δῆλον ἐκ τῶν Θεοκρίτε (ἐν Εἰδυλ: Β'.) καὶ ἐκ τῦ Οὐϊργιλίε. (ἐν Ἐκλογ: Η'.)

Ἀλλ' ἡ τῶν Μάγων μεγίστη καὶ τερατωδεστάτη ἰσχὺς ἐν ταῖς μεταμορφώσεσι κεῖται, ταῖς γε ἑαυτῶν, καὶ ταῖς τῶν ἄλλων, οἵαν ἐπὶ τῦ Πρωτέως καὶ τῆς Κίρκης παρέσησεν Ὅμηρος. Τοῖς μὲν δὴ Ἀρκάσι σύνηθες ὑπάρξαι διέξεισι Πλίνιος (Βιβλ: Η'.) λίμνην διανηχομένες, ἐξ ἀνθρώπων εἰς λύκες, καὶ ἀνάπαλιν αὖ, μεταμείβεσθαι, ὃς Λυκανθρώπες Ἕλληνες ἔιπον. Τῦθ' ὅπερ ἐφ' ἡμῶν, ἐξ ἔθες κρατεῖν παρὰ τοῖς Πιλαππίοις, Βορείοις δήμοις ἐκ μαρτύρων ἀξιοπίστων Πευκέρος παρέδωκεν. Οὕτω δὴ Οὐϊργίλιος (ἐν τῇ Ϛ'. τῶν Ἐκλογ. Ϛ 97.) τὸν Μοῖριν ἐκεῖνον:

Saepe lupum fieri, et ſe conſiſtere ſylvis.

„(Δηθὰ λύκον γίγνεσθ', ἐνὶ δ' ὕλαις ἐγκαταμίμνειν.)

Καὶ δῆλον δ' ἐστὶ καὶκ τῦ Λεκιανίδ ὄνε, ὅση τις ἦν ἡ τῆς τοιᾶσδε μεταμορφώσεως χρῆσις παρὰ Θετταλοῖς, τοῖς ἁπάντων Ἑλλήνων μαγικωτάτοις.

Ἀλλὰ γὰρ κατεὰ τῆς λυμαντηρίε τάυτης Μαγικῆς δυνάμεως, ἔξιν ἄττα ἀντίδοτα οἱ παλαιοὶ ἀπεχρῶντο: οἷον τὸ φυτὸν τὸ Μῶλυ, τὸ κατὰ τῶν ἐπωδῶν τῆς Κίρκης ὑπὸ Ἑρμῆ τῷ Ὀδυσσεῖ δοθέν. (Ὀδυσ: Κ'. ς. 302. κξ.) Ὅπερ ἦν καὶ Πλίνιος (Βιβλ: Δ'. Κεφ: ΚΕ'.) ἀντεπῳδικὸν ὀνομαζει. Ἀλλὰ καὶ Ἀπελήϊος· (ἐν τοῖς περὶ τῆς τῶν Βοτανῶν δυνάμεως Κεφ: Ζ'.) De verbaſco (περὶ τῦ φλόμε) πραγματευόμενος: hanc herbam (φησὶ) dicimus Mercurium inveniſſe et Ulyſſi dediſſe, cum deveniſſet ad Circem, ut nulla maleficia ejus timeret. Herbae verbaſci virgultum qui ſecum portaverit, nullo metu terrebitur, neque beſtiae, neque occurſus mali moleſtabunt hunc. „(Τόνδε τὸν χόρτον φαμὲν Ἑρμῆν ἐξευρηκέναι, καὶ τῷ „Ὀδυσσεῖ δεδωκέναι πρὸς Κίρκην ἀφιξομένῳ, ἐφ' ᾧ μη„δεμίαν ἐξ αὐτῆς δεδιέναι λύμην κακεργίας. Εἴτις φλόμε „θράυσανον μεθ' ἑαυτοῦ φέροι, ἐδεμίαν πτοηθήσεται „πτόησιν. Οὔτε θηρὸς, ἔτέ τινος κακῦ προσάντησις αὐτῷ „παρενοχλήσει.)

Ἄλλως τε δὲ, καὶ ὡς πρὸς ὑγίειαν φέρεσαι αἱ ἐπῳδαὶ παρελήφθησαν, ἅτε νόσων ἀποκρεσικαὶ, ἢ παρὰ τῶν Αὐτολύκε παίδων, ἐπὶ τῆς Ὀδυσσέως Ὠτειλῆς συμβεβηκέναι διέξεισιν Ὅμηρος (Ὀδυσ: Τ'. ς. 457.

„Δῆσαν ἐπισαμένως, ἐπαοιδῇ δ' αἷμα κελαινὸν
„Ἔσχεθον . . . . . .

Οὗ καὶ Πλίνιος ἐπεμνήθη: (βιβλ. ΚΗ'. Κεφ. Β'.) καίπερ παραπταίσας τῇ μνήμῃ: (* Ἀναγνὺς ἔσχεθεν, ἀντὶ τῦ ἔσχεθον τῦ παρ'

Ὁ μήρῳ) ἐν οἷς φησὶ: Profluvium ſangvinis vulnerato ſemine Ulyſſem inhibuiſſe carmine. Sic Theophraſtus iſchiadicos ſanari: Cato prodidit laxatos membris carmen „auxiliari: Marcus Varro podagris (τὴν τοῦ αἵματος ῥύσιν „διὰ τῆς ἐπῳδῆς Ὀδυσσεὺς ἐπέσχεν· (* τετὶ δ' ἐσὶν ὃ διελαθε, „τὸ ἔσχεθεν ἀναγνωσθὲν ἀντὶ τῦ ἔχεθον.) Ὡσάυτως καὶ Θεόφρα„σος ἔφη τὸς ἰσχιαδικὸς θεραπέυεσθαι· Καὶ ὁ Κάτων δὲ παρέδωκε τοῖς ἐξαρθρωθεῖσι τὰ μέλη τὴν ἐπῳδὴν ἐπιβοηθεῖν· καὶ Μάρκος δὲ Οὐάῤῥων τοῖς ποδαγροῖς.) Καὶ Καίλιος δὲ ὁ Ἀυρηλιανὸς εἶπε: Philiſtionis fratrem ſcribere: quen„dam fiſtulatorem loca dolentia decantaſſe. (Ὅτι ὁ Φιλι„σίωνος ἀδελφὸς ἔγραψεν, ἔνα τινὰ τῶν Αὐλῳδῶν τὰ ἐν „αὐτῷ ἀλγηδόσι καθυποκείμενα μέρη δι' ἐπῳδῆς ἐξιάσα„σθαι.) Ἀλλὰ γὰρ τῦτο, οἷα δὴ καὶ τῶν ἀνωτέρω τὰ πλείω, ἐπὶ τὴν κρυφιωτέραν τῆς μσικῆς συμφωνίας δύναμιν ἀνάγεσθαι ἔχει, ἣν μέγα τι ἰσχύειν εἰς τὸ τὰς διαθέσεις τῆς τε ψυχῆς καὶ τῦ σώματος κατευνάζειν, παρὰ Θεοφράςῳ (ἐν τῷ περὶ ἐνθσιασμ. βιβλ.) καθυμνεμένην παρέδωκεν Ἀπολλώνιος, ἐν τοῖς θαυμασίοις αὐτῦ ἱσορήμασι. Καὶ ἐν ἄλλοις δὲ προσέτι τὴν μαγικὴν ἐν χρήσει γενέσθαι, καί γε τοῖς ἀν' Ἑλλάδα ἀρχαιοτάτοις τῶν Ἀκεσέρων ὑπάρξαι συνήθη, πρόδηλον ἐκ „τῦ Χείρωνος, περὶ ὃν Πίνδαρος (Πυθ. Ω'δ'. Γ.) „Λύσαις ἄλλον ἀλ„λοίων ἀχέων ἔξαγεν· τοὺς μὲν μαλακαῖς ἀοιδαῖς ἀμφιέ„πων, τοὺς δὲ προσανέα πίνοντας, ἢ γυίοις περιάπτων „πάντοθεν φάρμακα, τοὺς δὲ τομαῖς ἔσασεν ὀρθοὺς.

ΟΜΗΡΙΚΩΝ ΑΡΧΑΙΟΤΗΤΩΝ

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΚΕΦΑΛ. Α'.

Περὶ τῆς τοῦ κράτους καταστάσεως.

Μετὰ τὴν περὶ τῶν Ἱερῶν, ἡ διάσκεψις ἔπεται ἡ περὶ τῶν βεβήλων, καὶ πρῶτον ἡ περὶ ἐκείνων, ἃ τοῦ δημοσίᾳ ἐστὶ δικαιώματος, καὶ πρὸς τὴν ἐν ἀνθρώποις κοινωνίαν ἐπανήκει. Κατ' ἀρχὰς μὲν οὖν, σποράδην ἕκαστοι τὴν οἴκησιν εἶχον, καὶ τοῖς τῷ γένει σφίσι προσήκουσιν ἡγεμόνευον· τεθ' ὅπερ ἐν τῇ περιγραφῇ τῶν Κυκλώπων ἐκθέσθαι τὸν Ὅμηρον, Ἀριστοτέλης ἐπεσημείωσεν (βιβλ. Α. τῶν πολιτικ. Κεφ. Β'.) ἐν οἷς περὶ ἐκείνων εἴρηκεν· „Ὅτι θεμιστεύει ἕκαστος παίδων, ἠδ' ἀλόχων." (Ὀδυσ. Ἰ. ς. 114.) „Φορονεὺς ἦν πρῶτος ὁ τοῦ Ἰνάχου, εἰς δικαίωμα πόλεως μιᾶς συνεκάλεσε τοὺς ἀνθρώπους, σποράδας τέως ὄντας, καὶ ἐφ' ἑαυτῶν ἑκάστοτε οἰκοῦντας, ὡς φησὶ Παυσανίας (ἐν τοῖς Κορινθιακ.) Ὅθεν καὶ πρῶτον αὐτὸν ἐν Ἕλλησι τὸ βασίλειον ἀναδήσασθαι κράτος, Ἴναχος ἐξόρηκεν.

Ἐντεῦθεν τὴν ἀρχὴν ἐφ' ἑκάστων Ἑλληνικῶν πόλεων καθίσαντο βασιλεῖς οἱ ἐφεξῆς τῶν ἐθνῶν κρατήσαντες, ὡς Ἀριστοτέλης ἐπιβεβαιοῖ: „διὸ καὶ τὸ πρῶτον ἐβασιλεύοντο αἱ πόλεις, καὶ νῦν ἔτι τὰ „ἔθνη· ἐκ βασιλευομένων γὰρ συνῆλθον." Συνυπογράφει δὲ καὶ Διονύσιος ὁ Ἁλικαρνασσεὺς (ἐν τῷ Ε'. Βιβλ. τῶν Ῥωμαϊκῶν Ἀρχαιολογιῶν:) „Κατ' ἀρχὰς μὲν γὰρ ἅπασα πόλις Ἑλλὰς ἐβασιλεύετο." Καὶ συνεπιμαρτυρεῖ δὲ τοῦτο καὶ Παυσανίας (ἐν τοῖς Βοιωτικ.) „διὰ τοῦ τῶν Πλαταιῶν παραδείγματος: „Ὅτι μὲν δὴ (φάσκων) „καὶ οὗτοι τὸ ἀρχαῖον ἐβασιλεύοντο, δῆλα ἐστί. Βασιλεῖαι

„γὰρ παντὰχοῦ τῆς Ἑλλάδος, καὶ ἐ Δημοκρατίαι καθεσ-
„τᾶσαν.„ Ὅμηρος δὲ σαφέστατα πάντων τόδε κατασκευάζει, ὁ παν-
ταχοῦ τῶν Ἑλληνίδων πόλεων τοὺς **Βασιλεῖς τε καὶ ἄνακτας**
διαφημίζων: οὐδὲ γὰρ τὸ ὑπὸ τῶν πλειόνων ἐν ταὐτῷ κράτος ἀγα-
θὸν εἶναι νομίζει, μίαν δ' ὑφ' ἑνὶ ἐπιτρέπει τὴν κυριότητα, διὰ τῆς
παρὰ πάντων ἐπαινεμένης ἐκείνης ἀποφάνσεως. (ΙΛ. Β'. ς. 204.)

„**Οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω·**
„**Εἷς Βασιλεὺς: ᾧ ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω**
„**Σκῆπτρον τ' ἠδὲ θέμιστας, ἵνα σφίσιν ἐμβασιλεύῃ.**
Τὸ δέ τοι γέρας τόδ' ὁ λαός, τοῖς ἐν λαμπρότητι κατορθωμάτων ἐπι-
φανεστέροις ἀπένεμε, καὶ τούτων τοῖς ἀπογόνοις ἐκ διαδοχῆς παραπέμ-
ποντες ἐπισυνίσων. Οὕτω καὶ γὰρ τὰς Βασιλείας ἐπὶ τῶν Ἡρωϊκῶν χρό-
νων καθεσηκέναι Ἀριστοτέλης διδάσκει. (ἐν τῷ Γ'. τῶν πολιτικ. Κεφ. Ε'.)
„Τέταρτον δὲ εἶδος μοναρχίας βασιλικῆς αἱ κατὰ τοὺς
„Ἡρωϊκὲς χρόνους ἑκούσιαί τε καὶ πάτριαι γενόμεναι κατὰ
„νόμον· διὰ τὸ τοὺς πρώτους γενέσθαι τῶ πλήθες εὐεργέ-
„τας κατὰ τέχνας, ἢ πόλεμον· ἢ διὰ τὸ συναγαγεῖν,
„ἢ πορίσαι χώραν, ἐγίνοντο Βασιλεῖς ἑκόντων, καὶ τοῖς πα-
„ραλαμβάνουσι Πάτριοι.„ Καὶ Θουκυδίδης δὲ, ἐν καταρχῇ τῆς
κατ' αὐτὸν ἱστορίας, περὶ τῆς ἀρχαίας τῶν Ἑλλήνων διαλεγόμενος κατα-
στάσεως: „Πρότερον (φησὶν) „ἦσαν ἐπὶ ῥητοῖς γέρασι πα-
„τρικαὶ βασιλεῖαι:„ τετέσιν (ὡς ὁ Σχολιαστὴς ἀναπτύσσει:)
„ἀπὸ τῶν πατέρων παραλαμβανόμεναι κατὰ διαδοχὴν
„γένους. Δείγματα δὲ τῶ τοιούτω ἐν ταῖς ἀρχαίαις τῶν ἱστοριῶν ἀ-
πανταχοῦ ἁπαντᾷ· καὶ μὲν δὴ καὶ παρ' αὐτῷ Ὁμήρῳ· ὡς ὅτε Τηλέ-
μαχος λέγεται ὑπὸ Ἀντινόου, δικαιώματι κληρονομίας βασιλεύειν Ἰθα-
κησίων. (Ὀδυσ Α'. ς. 387.)
„. . . . . **Ὅ τοι γενεὴ πατρώϊον ἐστί.**
Πολὺν δὲ τοῦ βασιλείου γένες γίνεσθαι λόγον, φανερὸν ἐξ ὧν Ἀμ-
φίνομος ἔφατο: (Ὀδυσ. Π'. ς. 401.)

„ . . . . . Δεινὸν δὲ γένος βασιλήϊον ἐξὶ
„ Κτείνειν. . . . . .

Ἀλλὰ γὰρ συνέβη ἐνίοτε καὶ τὸ τοὺς υἱοὺς εἰς διαδοχὴν τῆς πατρώας βασιλείας ἐλθεῖν μὴ ἐπιτραπῆναι, ἥπου ἕνεκά τινος Θεοπροπίου, ὡς Εὐσάθιος παρετήρησεν (Ὀδυσ: Γ. ς. 215.) ἔνθα Νέστωρ θαυμάζων, ὅτι Τηλέμαχος ὑπὸ τῶν μνηστήρων ἀποβέβλητο, ὃς πυνθάνεται, „ εἴπερ αὐτῷ ἐπινεμεσῶσιν οἱ δῆμοι „ ἐπισσόμενοι Θεοῦ ὀμφῇ; τὸ δ' αὐτὸ καὶ Ὀδυσσεὺς ἐπανήρετο. (Ὀδ: Π'. ς. 96.) Τῷ γὰρ ὄντι τοῖς παλαιοῖς ἐπὶ τῇ τοῦ κράτους συσάσει μέγα ἴσχυον οἱ χρησμοί. Οὕτω καὶ γὰρ ἡ Πυθία διερωτηθεῖσα, τὴν τῶν Ἀθηνῶν Βασιλείαν Μέδοντι ἐπεκλήρωσε τῷ τοῦ Κόδρου, Νηλέα ἀπωσαμένη τὸν ἐκείνε ὁμαίμονα, περὶ τῆς ἀξίας αὐτῷ διαμφισβητοῦντα, ὡς ἰδεῖν ἐξὶ παρὰ τῷ Παυσανίᾳ (ἐν τοῖς Ἀρκαδικοῖς) καὶ παρὰ τῷ Αἰλιανῷ. (Βιβλ: Η'. Κέφ: Ε'.) ἡ δ' αὐτὴ καὶ τῷ Γύγῃ προσεπεκύρωσε, τὸ κράτους κεκυριευκότι μετὰ τὴν Κανδαύλου ἀναίρεσιν, ὡς Ἡρόδοτος (ἐν τῇ Κλειοῖ) μαρτυρεῖ. Ἐκέλευσε δὲ καὶ ὑπ' ἀμφοῖν ἅμα τῶν Ἀριστοδήμε υἱέων, Εὐρυσθένες τε καὶ Προκλῆος βασιλεύεσθαι τὸς Λακεδαιμονίος, καθάπερ ὁ αὐτὸς διέξεισιν· (ἐν τῇ Ἐρατοῖ.) Τοῦτο δὲ καὶ τὸ αἴτιον ἦν, διόπερ Ἀμφίνομος ᾤετο δεῖν Διὸς πυθέσθαι τὸ Δωδωναίε, καὶ αὐτὸ τὸ βέλημα γνῶναι, πρὶν ἢ Τηλεμάχῳ, τῷ υἱῷ τὸ Βασιλέως καὶ κληρονόμῳ, θάνατον ἐπενεγκεῖν. (Ὀδυσ: Π'. ς. 402.) ἀμέλει τοι, ὅτι ὑπὸ Διὸς πιστευόντες ἦσαν τὴν Βασιλείαν παρέχεσθαι: (ΙΛ. Λ'. ς. 279.)

„ Σκηπτοῦχος Βασιλεὺς, ᾧ τε Ζεὺς κῦδος ἔδωκεν.

Διὸ καὶ οἱ Βασιλεῖς ἀεὶ προσείρηνται Διογενεῖς καὶ Διοτρεφεῖς. Ἔνθεντοι καὶ παρὰ Λακεδαιμονίοις, (ὧν τὸ κράτος τῇ ἀρχαίᾳ μάλισα Ἑλλάδι προσεμεμόρφωτο:) κατὰ ἔννατον ἐνιαυτὸν οἱ τεταγμένοι „ ἔφοροι λαβόντες νύκτα καθαρὰν καὶ ἀσέληνον, σιωπῇ

„ἐκαθέζοντο πρὸς τὸν ἀρανὸν ἀποβλέποντες· Ἐὰν ἓν ἐκ „μέρος τινὸς εἰς ἕτερον μέρος ἀπὴρ διαίξειεν, ἔκρινον τὸς „Βασιλεῖς, ὡς εἰς τὸ θεῖον ἐξαμαρτάνοντας, καὶ κατέ„παυον τῆς ἀρχῆς· ἕως ἂν ἐκ Δελφῶν, ἢ ἐξ Ὀλυμπίας „χρησμὸς ἔλθοι τοῖς ἡλικόσι τῶν Βασιλέων βοηθῶν, ὡς ὁ Πλάταρχος διηγεῖται. (ἐν Βίῳ Ἀγίδος.)

ΚΕΦΑΛ. Β'.

Περὶ τῆς τῦ Βασιλέως Δυνάμεως, καὶ ἔργε τῦ αὐτῷ ἐπανήκοντος.

Οὐκ ἦν αὐτελευθέρα πάντη καὶ ἀπόλυτος ἡ τῶν πάλαι ἐν Ἑλλάδα Βασιλευόντων δύναμις, ἀλλ' ἐν ὅροις νόμων τινῶν περιγεγραμμένη· ὡς γὰρ ὁ Ἁλικαρνασσεὺς Διονύσιος (ἐν τῷ Ε'. Βιβλ: τῶν Ῥωμαϊκῶν Ἀρχαιολογ:) Βασιλεῖς ἐφ' ἑκάσαις τῶν ἐν Ἑλλάδι πόλεων προεχηκέναι „ἱσόρησε: Πλὴν, ἐχὶ δεσποτικῶς (προσέθετο), ἀλλὰ κατὰ „νόμες τε καὶ ἐθισμὲς πατρίες. Ἦν δὲ ἄριστος ὁ Βασιλεὺς, ὃς ἦν δικαιότατος, καὶ τῶν νόμων φύλαξ ἀκριβέσατος, τῶν Πατρίων θεσμῶν μηδαμῆ παρεκκλίνων· τῦθ' ὅπερ Ὅμηρος ἐννοεῖ τὲς Βασιλεῖς ἀποκαλῶν **Δικασπόλες**. (Ἰλ Α'. ς. 238. καὶ Ὀδυσ. Λ'. ς. 185.) καὶ **θεμιςοπόλες**. Ἀλλ' ἡ φωνὴ αὕτη παρ' Ὁμήρῳ (εἰμὴ με λανθάνει) ἀ κεῖται.

Τελευταῖον δ' ὑπῆρχον οἱ Βασιλεύοντες, **ἐπὶ ἠητοῖς γέρασιν**· ἤτοι ἐπὶ ὡρισμέναις τιμαῖς, καὶ τεταγμέναις συνθήκαις, ὡς παρὰ Λάκωσιν. Οὕτω καὶ γὰρ Ἀριστοτέλης (ἐν τῷ Γ'. τῶν Πολιτικ:) ἀναπτύσσει τὴν τῶν Βασιλέων κατάσασιν, οἵαπερ ἦν ἐπὶ τῶν Ἡρωϊκῶν „χρόνων: αὕτη δ' ἦν ἑκόντων μὲν, ἐπί τισι δ' ὡρισμένοις.

„Στρατηγὸς γὰρ ἦν καὶ δικαστὴς ὁ Βασιλεὺς, καὶ τῶν πρὸς „Θεὸς κύριος. Ἀποδεικνύει δὲ τοῦτο ἐκ τῆς Βασιλείας τῆς τῶν Λακεδαιμονίων· παρ' οἷς εἶναι μάλιστα, φησὶ, **τὴν Βασιλείαν, τὴν κατὰ νόμον**· ἐκεῖ γὰρ ὁ Βασιλεὺς ἐκ ἦν ἔχων τὴν ἐπὶ πάντων ἐξουσίαν, εἰμὴ ὅτε ὑπῆρχε τὰ τοῦ πολέμου διαπραττόμενος. Ἦν δὲ παρὰ ταῦτα καὶ ἐπὶ τῶν ἱερῶν ἡγεμονεύων. Τοῦτο δέ τοι παρὰ τοῖς ἀρχαιοτέροις κρατῆσαι, συνάγει ἐκ τῶν Ὁμήρου, ὃς τὸν Ἀγαμέμνονα, ἐν μὲν ταῖς ἀγοραῖς ποιεῖ τὰς ἀντιβολήσεις ὑφιστάμενον· (Ἰλ: Δ'. ς. 240.) ἐν δὲ ταῖς μάχαις, θάνατον ἐπαπειλοῦντα τοῖς δραπετεύουσι. **Παρὰ γὰρ ἐμοὶ θάνατος**, φησὶν. ἡ ἄρα πρώτη τε καὶ μεγίστη τοῖς Βασιλεῦσι δύναμις ἦν ἐν πολέμῳ. Ἡ δ' ἄλλη, συνεσταλμένη μέν πως, εὐγενεστέρα δὲ, ἐν εἰρήνῃ, ἡ τοῦ κρίνειν τὰ δίκαια, ὅθεν καὶ **θεμιστοπόλοι** προσεῖρηνται. Ἀμέλει καὶ γὰρ αὕτη ἐστὶν ἡ τὴν ἀρχὴν αὐτοῖς παραχομένη, ὡς διὰ λαμπροῦ τοῦ δείγματος φανερὸν ἐστὶ παρ' Ἡροδότῳ, (ἐν τῇ **Κλειοῖ**) διεξιόντι, ὡς Δηϊόκην ἐπὶ τῷ τὰς δίκας δικάζειν οἱ Μῆδοι ἑαυτοῖς ἐβασίλευσαν. Ὅπερ οὖν καὶ παρὰ Ῥωμαίοις ἀνέκαθεν γεγονὸς ὁ Κικέρων ἡγεῖται: Mihi quidem non apud Medos solum, ut ait Herodotus, sed etiam apud majores noſtros, ſervandae juſtitiae cauſa, videntur olim bene morati Reges conſtituti. (ἐν τῷ Β'. τῶν Καθηκόντ.) „(ἐμοὶ „δὲ ἐ μόνον παρὰ Μήδοις, ὡς Ἡρόδοτος φησὶν, ἀλλὰ καὶ παρὰ „τοῖς ἡμετέροις προγόνοις ἐπὶ τῷ σώζειν τὰ δίκαια δοκεῖσι „πάλαι οἱ τὲς τρόπες χρησοὶ Βασιλεῖς ἐπικατασῆναι.) Τελευταῖον δὲ καὶ τοῖς ἱεροῖς οἱ αὐτοὶ ἐτύγχανον προεδρεύοντες „**κύριοι θυσιῶν, ὅσα μὴ ἱερατικὰ**, Ἀριστοτέλης φησίν. Οὗ δὴ τῷ ἀνακτορικῷ ἀξιώματι ἔτω προσήκειν ἡγεῖντο, ὥσε καὶ τότε ἐν πολλαῖς τῶν ἑλληνίδων πόλεων καταργηθέντος, οἱ **τῶν Ἱερῶν Βασιλεῖς** διέμενον: οἷα παρ' Ἀθηναίοις ἰδίᾳ τετὶ συμβὰν Δημοσθένης

διδάσκει ἐν τῷ εἰς Νεοάραν. καὶ Πλάτων δὲ ἐν τῷ Πολιτικῷ „Τῷ γὰρ λαχόντι Βασιλεῖ, φασὶ, τῇδε τὰ σεμνότατα καὶ „μάλιστα πάτρια τῶν ἀρχαίων θυσιῶν ἀποδεδόσθαι. Τὸ δ' αὐτὸ διετάξαντο καὶ Ρωμαῖοι, ὡς ἰδεῖν ἐστὶ παρὰ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ, (ἐν Βιβλ. Δ'.) ὅτε τὲς Βασιλεῖς ἐξεληλακότες, ἵν' ἐκείνων περιῇτι σῳζόμενον ἴνδαλμα, ἀπεσημήναντο ἐκ τῶν γεραιτέρων ἕνα τινὰ, „τὸν μάλιστα δεξιώτατον: ὃς ἐδένὸς ἔμελλεν ἔξειν ἑτέρε, πλὴν „τῶν περὶ τὰ θεῖα σεβασμάτων προφασίαν, ἀπάσης „λειτεργίας πολεμικῆς ἀφειμένος, ἱερῶν καλέμενος Βα„σιλεύς Πάντως δήπε κατάγε τὸν ἑλλαδικὸν τετὶ τύπον, τὸν καὶ ὑπὸ Ρωμύλε ἐπὶ τῆς τῶν Βασιλέων συςάσεως τὸ πρόσθεν παρατηρέμενον. Τριπλοῦν γὰρ εἶναι τὸ Βασιλέως ἔργον ἠυδόκησε: τὸ μὲν πρῶτον, τὴν περὶ τὰς θυσίας, καὶ τὰ λοιπὰ τῶν ἱερῶν ὑπεροχὴν παρ' αὐτῷ κεῖσθαι, καὶ δι' αὐτῦ ἐπιτελεῖσθαι πᾶν τὸ ἀνῆκον πρὸς τὴν τῶν Θεῶν ἐξιλέωσιν· ἐπὶ δὲ τέτῳ τὴν τῶν νόμων ἔχειν καὶ τῶν πατρίων ἐθῶν φυλακήν τε καὶ διατήρησιν, καὶ παντὸς δὲ δικαιώματος, ὅπερ ἤτοι ἡ Φύσις ὑπαγορέυει, ἢ γοῦν αἱ συνθῆκαι τε καὶ αἱ Κύρβεις διαθεσπίζσιν, ἐπιμελεῖσθαι: καὶ ὅπως ἂν περὶ τῶν βαρυτέρων ἐγκλημάτων αὐτὸς ἀπιφαίνοιτο, τὰ δὲ κᾳφότερα τῶν πλημμελεμένων, κρίνειν ἐπιτρέποι τοῖς γερσιαξαῖς, πρόνοιαν μεταξὺ ποιέμενος, τῦ μηδέν τι ἐπὶ τῶν κρίσεων ἁμαρτάνεθαι, καὶ τῦ τὴν γερσίαν συγκαλεῖν, καὶ τὸν δῆμον εἰς ἐκκλησίαν συνάγειν. Καὶ ὁ μὲν, πρῶτος τῶν ἄλλων τὴν ψῆφον ἐπάγοι, ὁ δ' ἂν καὶ τοῖς πλείοσιν εὐάρεσον ὂν παρεσκαίη, καὶ αὐτὸς ἐπικυροίη. Τελευταῖον δὲ ἐν πολέμῳ τὸ κράτος αὐτῷ τὸ ὑπέρτατον ἀπονέμει. (Ἀυτ. ἐν Β'. τῶν Ἀρχαιολογ.) Ταῦτα δὲ ταῦτα καὶ τοῖς ἐν Ἑλλάδι Βασιλεῦσι πάλαι ἐπετέτραπτο.

ΚΕΦΑΛ. Γ.

Περὶ τῆς Βασιλικῆς Κυριότητος.

Τῆς Βασιλείᾳ ὑπεροχῆς καὶ ἀξίας, οἷον ἐπισφραγισήριόν τι καθωσίωτο τέμενος· Ἀγρῦ τις ἀπόμοιρα, ἣν ὁ δῆμος τιμῆς χάριν, καὶ ὡς γέρας, τῷ Κυριαρχῦντι, καθιέρᾳ ἐπιδωρέμενος, (Ἀριστείδης ἐν τῷ εἰς „ τὴν Ἀθηνᾶν λόγῳ: (Τοῖς Βασιλεῦσι, καὶ τοῖς ἡγεμόσι τεμένη „ καὶ χώρας ἐξαιρεῖσι. Διὸ καὶ γέρας τὸ τοιῦτον, ὡσεὶ Βραβεῖον πρόξενον τιμῆς, ὁ Ποιητὴς ὀνομάζει (Ὀδυσ: Λ'. ς. 533.) οὕτως ὁ Σαρπηδὼν εἰς μάχην τὸν Γλαῦκον προτρέπων, πρός γε τοῖς ἄλλοις, οἷς περ οἱ πρῶτοι παρὰ Λυκίοις Βασιλεύοντες ἐπίσημοι καθιεῶντο: ἡμεῖς ἔφη: (Ἰλ: Μ'. ς. 314.)

„ Καὶ τέμενος νεμόμεθα μέγα, ξάνθοιο παῤ ὄχθας,
„ Καλὸν Φυταλιῆς, καὶ ἀρούρης πυροφόροιο.

Ἀλλὰ καὶ Προῖτος Βελλεροφόντην, ὡς μετὰ τὰ πλεῖστα καὶ ἐπίσημα τῶν καταρθωμάτων ἀ διεπράξατο, καὶ ἐκ πατέρματος αὐτὸν ἔτι „ θειοτέρᾳ κατέμαθε γεγονῶτα, ἔδωκεν αὐτῷ, τιμῆς Βασιληΐδος „ ἥμισυ πάσης· οἱ δὲ Λύκιοι „ Τέμενος τάμον ἔξοχον ἄλλων (Ἰλ: Ζ'. ς. 193.) Παραπλησίως δὲ καὶ Ἀσκάνιος ἆθλον πολεμικῆς ἀρετῆς ὑπισχνεῖται τῷ Νίσῳ (Αἰνειάδ: Θ'. ς. 274.) μέρος.

. . . . . Campi quod Rex habet ipſe Latinus:

„ Πρὸς δ' ἀγρῶν τι μέρος, τῶν νῦνγε Λατῖνος ἐπάρχει.)

Ἦθα Σέρβιος: mos fuerat, ut viris fortibus, ſeu Regibus, pro honore daretur aliqua agri particula, ut habuit Tarquinius Superbus in campo Martio, quod ſpatium ab Homero τὸ τέμενος dicitur. (Ἦν ἔθος ἀνδράσι δυνά- „ μεως, ἤτοι Βασιλεῦσι, τιμῆς χάριν δίδοθαί τινα ἀγρῦ

„ μερίδα· ὡς λαβὼν ἔχει Ταρκυίνιος ὁ Σέρβος ἐν τῷ „ πεδίῳ τῷ Ἄρεας· ὃ δὴ χωρίον, ὑπὸ Ὁμήρε τέμενος „ λέγεται.) Τὸ οὖν ὡς γέρας, πρὸς τῆς Πολιτείας τῷ Λατίνῳ χορηγηθὲν, νοητέον ὧδε τὸ ὑπὸ Ἀσκανίε εἶναι ἐπαγγελλόμενον. Τῷ ὄντι γὰρ παρὰ Ρωμαίοις, ἀγρὸς ἦν ἴδιος τῶν Βασιλευόντων, ἐξ οὗ τῶν ἀποφερομένων προσόδων· τοῖς θεοῖς ἔθυον, καὶ τὰ οἴκοι σφίσιν ἐπαρκοῦντα τῷ βίῳ ἀπηνέγκοντο· τὸν δὲ δὴ τὸν ἀγρὸν Ρωμύλος ὅπλοις κτησάμενος, τῷ Νεμᾷ παρέδωκεν ἔχειν. Τέλλιος δὲ μετὰ ταῦτα, τοῖς πενομένοις καθ' ἄνδρα ἐπιδιένειμεν, ὡς παρὰ τῷ Ἀλικαρνασσεῖ Διονυσίῳ (ἐν τῷ Γ'. τῶν ἀρχαιολογ:) ἀναγέγραπται.

Τῇ τοίνυν τῆ τοιῆδε ἀγρῆ γεωργίᾳ προσεῖχον ἐπιμελῶς· „ Οὕτω „ καὶ γὰρ (Ἰλ: Σ'. ς. 550. κξ.) περὶ τὸ Βαθυλήϊον τέμενος „ ἐν ἀμητῷ διαπονεμένων τῶν ἐρίθων (Αὐτ: ς. 557.)

„ . . . . . ὁ Βασιλεὺς ἐν τοῖσι σιωπῇ,
„ Σκῆπτρον ἔχων ἑσήκει ἐπ' ὄγκε γηθόσυνος κῆρ.

Περὶ τέτε δ' ἔτι ἐκδεκτέον, καὶ τὸ (Ὀδυσ: Ω'. ς. 226.) ὑπὸ τῆ Ποιητῆ ῥηθὲν, ὅτι Λαέρτην τὸν Βασιλέα ὁ υἱὸς εὗρε,

„ Λισρέυοντα φυτὸν . . . . . .

Καὶ τὸ Τηλέμαχον τοσάκις περὶ πῶεα διατρίβειν, καὶ βόας, „ καὶ τ' ἄλλα ἄττα ἐκέκτητο τεμένη νέμοντα. (Ὀδυσ: Λ'. ς, 184.) Παραπλησίως δὲ καὶ ὁ Βασιλεὺς Αὐγίας παρὰ Θεοκρίτῳ ἔξήει:

„ Κτῆσιν ἐποψόμενος, ἣ οἱ νήριθμος ἐπ' ἀγρῶν.

Ἦν δ' ἄρα τοῖς Βασιλεῦσιν αὕτη οἱονεί τις πατρώϊος περιεσία, ἐ πόῤῥω τῆς πόλεως κειμένη, ὡς ἐκ τῆς τῆ Ἀλκινόε δῆλον: (Ὀδυσ: Η'. ς. 112. κξ:)

Ἀλλὰ καὶ φόροι ἐτελοῦντο τοῖς Βασιλεῦσιν, ὡς φανερὸν ἐκ τῶν (Ἰλ: Ι. ς. 155. κξ:) ἐν οἷς Ἀγαμέμνων τῷ Ἀχιλλεῖ καθυπιχνεῖται,

ἐπὶ τῇ ἰδίᾳ θυγατρὶ, ἣν ἂν ἄλοχον ἀγαγέσθαι θελήσειε „δώσειν αὐτῷ ἑπτὰ εὖ νεόμενα πτολίεθρα: ἐν οἷσπερ.

„. . . . . Ἄνδρες ναίουσι πολύῤῥηνες, πολυβῶται,
„Οἵκε ἔδωτίνησι, θεὸν ὣς τιμήσουσι.

„Καὶ οἱ ὑπὸ σκήπτρῳ λιπαρὰς τελέουσι θέμιστας. Ἐνθα „ὁ Σχολιαστὴς: Ὅσα δεῖ Βασιλέα λαμβάνειν παρὰ τῶν ὑπηκό„ων, εὐκόλως δώσουσι: τετέσι καὶ ὑποταγέντες αὐτῷ κατὰ „τὸ δίκαιον, λαμπρὰς τελέουσι φόρους. Οὕτω δὴ καὶ πάλαι, καὶ ὑπὸ τοῖς ἀρχαιοτάτοις τῶν Βασιλευόντων, ἔθ' ἅττα τὸ ὑπήκοον ἔδει ἐπιφορτίζεσθαι, ἃ πολέμῳ ἐφιεμένῳ τε καὶ ἐπείγοντος, προσέτι καὶ κατεβαρύνετο, ὡς ἐκ τῆς Ἰλιάδος συνάγεται, ἐξ ὧν „Ἕκτωρ φησὶ δώροισι κατατρύχειν λαὸς τὸς Τρωίας, ἐπὶ διατροφῇ τῶν κατὰ συμμαχίαν συστρατευομένων. (Ἰλ: Ρ'. ς. 225.)

Ἄλλως τε Μινύας ὁ τῶν Ὀρχομενίων Βασιλεὺς θησαυρὸν συλλέξας μᾶλλον περιῤῥύσιον, πρῶτος φέρεται γάζαν οἰκοδομῆσαι, ᾗ μαρτυρεῖ „Παυσανίας (ἐν τοῖς βιωτικοῖς.) „Πρόσοδοι δὲ ἐγίνοντο τῷ „Μινύῃ τηνικαῦτα μεγέθους, ὡς ὑπερβαλέσθαι τὲς πρὸ „αὐτῦ πλέτῳ. Θησαυρόν τε ἀνθρώπων ὧν ἴσμεν Μινύας „πρῶτος ἐς ὑποδοχὴν χρημάτων ᾠκοδομήσατο. Ἐνθεντοι ὁ τῦ Ὁμήρε Σχολιαστὴς (Ὀδυσ: Λ'. ς. 458.) τὴν Ὀρχομενὸν πόλιν „διαφημίζει: ἐν ᾗ κατ' ἐκεῖνο τῦ χρόνε καὶ οἱ κοινοὶ ἐτί„θεντο τῶν Πόλεων θησαυροί.

ΚΕΦΑΛ. Δ'.

Περὶ τῶν Βασιλικῶν παρασήμων.

Βασιλείας παράσημον ἀνέκαθεν ἦν μάλισα τὸ σκῆπτρον, ὃ Βασιλικὴν ῥάβδον, ἢ Βακτηρίαν, ἑρμηνέυει ὁ ἐτυμολογισὴς, παρὰ τὸ σκήπτεσθαι, ἤτοι σκηρίπτεσθαι, ὡς Ὅμηρος τρανῶς δηλοῖ· (Ὀδυσ: Ρ'. ς. 196.) αὐτῷ γὰρ ἐπηρείδοντο καὶ ἐπισηρίζοντο: ὡς ὅτε ὁ Ἀγαμέμνων ἔσχε: (Ἰλ Β'. ς. 109.) Τῷ ὅγ' ἐρεισάμενος.. Καθάπερεῖν καὶ παρ' Ὀυιδίῳ, (ἐν Α'. τῶν Μεταμορφώσ:)

Jupiter ſceptroque innixus eburno:

„ (Ζεὺς σκήπτρῳ δὲ ἐρεισάμενος ἐλεφαντίνῳ)

Ὅμηρος δὲ τὸ Αγαμέμνονος σκῆπτρον ὡς λίαν κυδαίνει, τὸ ὑπὸ Ἡφαίσε τεχνεργηθὲν, κἀντεῦθεν αὐτῷ ἐκ προγόνων παραδοθὲν· φησὶ δὲ, ἐκ δένδρε τὰ φύλα ἀποθεμένε ἀποτετμῆθαι· ὃν τρόπον καὶ Ὀυϊργίλιος (Αἰνειάδ: ΙΒ'. ς. 210.) τὸ τῶν Λατίνων Βασιλέων σκῆπτρὸν κατήρτισεν:

Olim arbos, nunc artificis manus aere decoro
Inclusit, patribus que dedit geſtare Latinis.

„ (Πρόσθε φυτὸν μὲν ἔην, τέκτων δ' ὁρίχαλκον ἐνάρσας
„ Ἐν παλάμῃς φορέμεν τὸ ἑὰ πατράσι δῶκε Λατίνοις.

Οὕτως Ἡσίοδος (ἐν τῇ Θεογονίᾳ) ἔφη, τὰς Μέσας οἱ δεδωναι σκῆπτρον: „ Δάφνης ἐριθηλέος ὄζε· θραύσανον κέδηλ: δαφναῖον. Καὶ Πίνδαρος δὲ (Ὀλυμπ: Ζ'.) „ σκᾶπτον, ἀναφέρει „ σκληρᾶς ἐλαίας τὸ δι' οὗ ἀνήρηται Δικύμνιος. Προσῆν

τῷ τοιῷδε ξύλῳ καὶ διακόσμημά τι ἐν χρυσοῖς ἥλοις, διόπερ ὑπὸ „ Ὁμήρε φράζεται Χρυσείοις ἥλοισι πεπαρμένον: (Ἰλ: Α'. ς. 246. καὶ Λ'. ς. 632.) ὑφ' ἓ καὶ Μίνωα χρυσῷ σκήπτρῳ ἀκόμεν διαπρέποντα. (Ὀδυσ: Λ'. ς. 568.)

„ Χρύσεον σκῆπτρον ἔχοντα, θεμιςεύοντα νεκύεσσιν.

Ὡσάυτως καὶ ὁ Τειρεσίας ἐν Ἅιδη ἦν (Ὀδυσ: Λ'. ς. 91.) „ Χρύσεον σκῆπτρον ἔχων. Καὶ ὁ Χρύσης δὲ, (Ἰλ: Α'. ς. 15. καὶ 374) παρέςη

„ Χρυσέῳ ἀνὰ σκήπτρῳ . . . . . .

Ὁμὲν ἓν Ἡσιῖνος (Ἱερ. Βιβλ: ΜΒ'.) διδάσκει, ὅτι τὰ σκῆπτρα τῶν ἀρχαιοτάτων Βασιλέων, δόρατα ἦν. Perea adhuc tempora Reges haſtas pro diademate (ſ. pro ſceptri inſigne, aut geſtamine) habebant quas Graece Σκῆπτρα dixere. Nam et ab origine rerum pro Diis immortalibus veteres haſtas coluere. (Κατ' ἐκάνες ἔτι τὲς χρόνες οἱ Βασιλῆς, „ δόρατα ἀντὶ σκήπτρων φέροντες ἦσαν, ἅπερ Ἕλληνες „ σκῆπτρα εἶπον· Καὶ γάρ ἀπὸ καταβολῆς πρώτης τῶν „ πραγμάτων, ἀντὶ θεῶν ἀθανάτων, οἱ παλαιὸι τὰ δό- „ ρατα ἐσεβάθησαν.) Τοιᾶδε δήπε λόγῳ, τὸ Ἀγαμέμνονος ἐκεῖνο προγονικὸν σκῆπτρον οἱ Χαιρωνεῖς ἔσεβον, ὡς ἰδεῖν ἐςὶ παρὰ τῷ „ Παυσανίᾳ (ἐν τοῖς Βοιωτικοῖς;) Τᾶτο (φάσκοντι) νῦν τὸ „ σκῆπτρον σέβεσι, δόρυ ὀνομάζοντες. Καίγε εἰς τᾶτο Τέρ- νεβος ἔλκει, τὸ ὑπὸ τᾶ Εὐριπίδε (ἐν τῇ Ἑκάβῃ) εἰρημένον περὶ „ ἐκείνε, Τὸ τὸν λαὸν εὐθύνειν δορί. Καίτοιγε τᾶ μὴ ἁπλῶς ἔτω λελέχθαι ἐκδέχεθαι σαφῶς ἐκδηλοῦν ἔοικεν ἡ διαςολὴ, ἣν ἐφ' ἑκατέρᾳ ἁπανταχᾶ Ὁμηρος ἐπισημειοῖ, ἰδίᾳ δὲ (Ὀδυσ: Β'. ἐν προοιμίοις.) ἐν οἷς Τηλέμαχος, (ς. 10.)

„Βῆ ῥ' ἴμεν εἰς ἀγορὴν, παλάμῃ δ' ἔχε χάλκεον ἔγχος.

Ἐν ᾧ δ' ἔπειτα ἄρξεται ἀγορεύειν λαμβάνει τὸ σκῆπτρον παρὰ τοῦ Κήρυκος. (Αὐτ: ς. 37.) Τὸ γοῦν σκῆπτρον ἐγγὺς ἦν ἴσως γινόμενον τῷ ἀκοντίῳ τὸ εἶδος, ἐξ ὧν τυχὸν μετέχε καὶ τοῦ ὀνόματος.

Καὶ τοίνυν ἐν χερσὶν οἱ Βασιλεῖς εἶχον τὸ σκῆπτρον, δημοτελές τι μέλλοντες διαπράξεσθαι. Οὕτω Νέστωρ (Ὀδ: Γ. ς. 406. κξ:) πρωΐας ἐξιὼν ἐκ θαλάμοιο:

„. . . . . Κατ' ἄρ ἕζετ' ἐπὶ ξεστοῖσι λίθοισι,
„Σκῆπτρον ἔχων. Πέρι δ' υἷες ἀολλέες ἠγερέθοντο,
„Θυγατέρες τε, νυοί τε, καὶ αἰδοίη παράκοιτις.

(Αὐτ: ς. 451.) Θύσων γάρ ἦν τῇ Παλλάδι. Καὶ Ἀγαμέμνων δὲ, τοὺς Ἀχαιοὺς εἰς ἐκκλησίαν συγκαλέσων (Ἰλ: Β' ς. 46.)

„Εἵλετο δὴ σκῆπτρον πατρώϊον, ἄφθιτον αἰεὶ

Ὀδυσσεὺς δὲ τοῦτο παρ' αὐτοῦ λαβὼν, ὡς ἂν ἐπίσημος εἴη τῇ Βασιλείῳ χρώμενος ἐξουσίᾳ τοῖς Δαναοῖς ἐπεδείκνυ ἀποχωροῦσι, καὶ ὡς ἐξομάτος τοῦ Ἀγαμέμνονος ἐν τῇ παρεμβολῇ πρέπτρέπετο μένειν. (Ἰλ: Β'. ς. 186.) Τῷ μέντοι σκήπτρῳ οἱ Βασιλεῖς μάλιστα ἐχρῶντο δικάζοντες, οἷον συμβόλῳ εὐθύτητός τε καὶ ἀληθείας· ὥστε καὶ ἀνατεινομένῳ, τοσαύτην αὐτῷ προσεῖναι, ὅσην καὶ τῷ ἱερῷ ὅρκῳ νομίζεσθαι δύναμιν, Ἀριστοτέλης (ἐν τῷ Γ'. τῶν Πολιτ: Κεφαλ: ΙΔ'.) „ἐπιμαρτυρόντος: Καὶ πρὸς τούτοις τὰς δίκας ἐκρινον· τοῦτο „δ' ἐποίουν οἱ μὲν ἐκ ὀμνύοντες, οἱ δ' ὀμνύοντες· ὁ δ' ὅρκος „ἦν τοῦ σκήπτρου ἐπανάτασις. Οὗ δεῖγμα σαφέστατον, τὸ ἐν Ἰλιάδ, Κ'. ς. 320.)

„Ἀλλ' ἄγε μοι τὸ σκῆπτρον ἀνάσχεο, ἠδὲ ὄμοσσον.

Ἐκ γοῦν τοῦδε τοῦ τύπου, καὶ τὸν Μίνωα ὁ Ποιητὴς παρίστησιν ἐν Ἅιδου δικασκὴν χρηματίζοντα: (Ὀδυσ. Λ'. ς. 568.)

„Χρύσεον σκῆπτρον ἔχοντα, θεμιςεύοντα νεκύεσσιν"

Ἐνθεντοι καὶ τὸ παρὰ τῷ Φιλοςράτῳ (εἰς Βίον Ἀπολλωνίε, Βιβλ. Α'.) „τὰ λεγόμενα ἠχὼ εἶχεν, ὥσπερ ἀπὸ σκήπτρου θεμιςευόμενα. Διὸ καὶ Πίνδαρος Θεμιςεῖον ἀποκαλεῖ, περὶ Γέρωνος λέγων τὸ Σικελῶν „βασιλέυοντος.„(Ὀλύμπ. Α') „Θεμιςεῖον ὃς ἀμφέπει σκᾶπ„τον. Οὕτω δὲ καὶ Οὐιργίλ. (Αἰνειάδ. Ζ'. ς. 246.)

Hoc Priami geſtamen erat, cum jura vocatis
More daret populis, ſceptrumque, ſacerque tiaras.

„(Τὸ Πρίαμος φέρεν, ἔυτε τίθει λαοῖσι θέμιτας,
„Ἀγορμένοις κατ' ἔθος σκῆπτρον θ', ἱερήν τε τιάρην.)

Καὶ τὸ διάδημα δ' ἔτι σὺν τέτοις συνεπισημαίνεθαι βέλεται Σέρβιος: τετέςι τὸ σπαργάνιον, ἢ τὴν ταινίαν, ἥπερ οἱ πάλαι βασιλεῖς ὑπῆρχον τὴν κεφαλὴν ἀναδέμενοι· ἐν ᾧ διαδήματι καὶ ὁ ςέφανος προσῆν μάλα περιφανὴς, ὃν τῷ σκήπτρῳ προσεπισυνῆψεν, Αἰήτῃ Ὀρφεὺς τῷ Κόλχων βασιλέυοντι.

„Ἀμφὶ δέ οἱ ςέφανον κεφαλῇ ἔχε θυσσανόεσσα
„Ἀκτῖσιν φλογέαις· σκῆπτρον δ' ἐν χερσὶν ἐνώμα.

Ἀλλ' Ὅμηρος ςέφανον τοῖς βασιλεῦσιν ἁ περιάπτει, ἀὶς Θεὰς τὰς ὐρανίωνας τέτον ἀνάγων, ἢ φησὶ Πλίνιος. Ἡ δὲ βασιλικὴ ἀμφίασις, ἁ πολὺ τῆς τῶν ἄλλων ἦν παραλλάσσουσα, ὡς ἰδεῖν ἐςὶν ἐν ἀρχῇ τῆς Β'. Ῥαψωδ: τῆς Ἰλιάδος, ἔνθα Ἀγαμέμνων, ἐκσείσας τὸν ὕπνον, „καὶ ὄρθιος ἑςὼς, μαλακὸν ἔνδυνε χιτῶνα, περιεβάλ„λετό τε μεγαφάρος . . . ποσσὶ δ' ὑπαὶ λιπαροῖ„σιν, ἐδήσατο καλὰ πέδιλα . . . Ἀμφὶ δ' ἄρ' „ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον . . . . σὺν δὲ „τῷ σκήπτρῳ ἔβη κατὰ νῆας Ἀχαιῶν. Ὁ δ' ἀυτὸς καὶ

ἄλλοτε εἰς δῆριν τὸς Ἀχαιὸς παρορμῶν ἐν χερσὶν ἔχων ἦν μέγα „πορφύρεον φᾶρος, ἕνεκα τῦ ἐυχερῶς ἑαυτὸν σημᾶναι τοῖς „Ἕλλησι, φησὶν ὁ Σχολιαστὴς: ἄλλως τε καὶ γὰρ ἐκ ἄδηλον, ὡς ἡ πορφύρα τῶν πάλαι Βασιλευόντων ὑπῆρχε κόσμημα, καὶ δὴ καὶ μάχης σημεῖον, ὃ μόνον τοῖς Ἕλλησιν „ἀλλὰ καὶ τοῖς Ῥωμαίοις.

ΚΕΦΑΛ. Ε.

Περὶ τῶν τοῖς Βασιλεῦσι καθυπεργόντων.

Καθάπερ ἅπαντα τὰ τῶν πάλαι Βασιλέων ἐκείνων λιτά τε ἦν, καὶ τῇ παρασκευῇ μέτρια, οὕτως ἠδὲ μετὰ πολλῶν ὀπεώνων, καὶ μεγαλοπρεπῶς τῆς δορυφορίας προήεσαν παραπεμπόμενοι. Ἦπε δὲ Τηλέμαχος, ᾧ τὸ Ἰθάκης ἐπανῆκε κράτος, δυσὶ κυσὶν ἐπὶ τῆς ἀγορᾶς ἐξίει συμπαραειβέτην. (Ὀδυσ: Β' ς. 11.)

„ Οὐκ οἷος· ἅμα τῷδε δύω κύνες ἀργοὶ ἕποντο.

Καὶ παρὰ τῷ Θεοκρίτῳ δὲ Αὐγίας εἰς τὸν ἀγρὸν ἀπέρχεται, Ἡρακλέες τε καὶ τῦ υἱῦ αὐτῷ συνεπομένων.

„ Σὺν δ' υἱός τε, βίητε πολύφρονος Ἡρακλῆος.

Ὡσάυτως Οὐιργίλιος (Αἰνειάδ: Η'. ς. 461.) ποιεῖ σὺν Αἰνείᾳ Εὔανδρον συνεξιόντα.

Nec non et gemini cuſtodes limine ab alto
Procedunt; greſſumque canes comitantur herilem.

„(Τῷ δὲ δύω κύνε ἐξ οἴκε ὠμάρτεον ἄρῳ
„ Βήμασι δεσποσύνοις . . . . . (Καὶ ς. 466. Αὐτ.)

Filius huic Pallas, olli comes ibat Achates

„(Τῷ μὲν Πάλλας γ' υἱὸς ὀπήδει, τῷ δὲ Ἀχάτης.)

Ἐν μὲν ἓν τῷ πολέμῳ συνῆφθεν αὐτοῖς ἀεὶ καὶ θεράποντες, ὡς δὲ ὅλης τῆς Ἰλιάδος ἐσὶν ἰδεῖν: Οἷον Πάτροκλος μὲν συνείπετο Ἀχιλλεῖ· Μηριόνης δὲ Ἰδομενεῖ· Λυκόφρων δὲ Αἴαντι, καὶ ἄλλοις ἄλλοι, ὃς δίκην ὁπλοφόρων αὐτοῖς γενέσθαι Ἡσύχιος οἴεται· Τοιοῦτος ἦν παρὰ Οὐεργιλίῳ Ἀκήτης. (Αἰνειὰδ: ΙΑ΄. ς. 31.) ἐς,

. . . . . Parrhasio Evandro
Armiger ante fuit . . . . . .
„(. . . . . Παῤῥασίῳ Εὐάνδρῳ
„ Ἦν πάρος ὁπλοχος . . . . . .)

Ἀλλ' ἐπὶ λειτεργίας δημοτελοῦς διαφερόντως οἱ Κήρυκες περιάδονται, ὡς τοῖς Βασιλεῦσιν ὑπεργοῦντες διὰ πάσης πράξεως. Διὸ καὶ ὑπὸ „τῶ Ἡσυχίᾳ προσείρηνται Διάκονοι, οἳ τὰς ὑπηρετικὰς ὑπετέλων πράξεις. Οἱ δὲ, καὶ τὸν λαὸν ἐξ ὀνόματος τοῦ Βασιλέως εἰς ἐκκλησίαν συνεκάλων. (Ἰλ: Β΄. ς. 50.)

„ Αὐτὰρ ὁ κηρύεσσι λιγυφθόγγοισι κέλευε
„ Κηρύσσειν ἀγορήνδε κομοωμένους Ἀχαιούς.

Καὶ ἄυθις (Ὀδυσ: Β΄. ς. 6.) ὡσάυτως δὲ καὶ σιγᾶν ἐτύγχανον ἐπιτάσσοντες οἱ αὐτοὶ, ὡς ἂν ἀκοσοὶ γένοιντο ἐπὶ τοῖς εἰρησομένοις οἱ δημηγορήσοντες: οἷς ἂν δηλονότι τὸ σκῆπτρον ἐπεγχειρίσειαν. (Ἰλ: Β΄. ς. 97.)

„ Κήρυκες βοόωντες ἐρήτυον, εἴποτ' ἀυτῆς
„ Σχοίατ', ἀκόσειαν δὲ διοτρεφέων Βασιλήων.

Καὶ ἀλλαχοῦ ἔτι: * * * *

„ . . . . . Ἐν δ' ἄρα κήρυξ
„ Χερσὶ σκῆπτρον ἔθηκε, σιωπῆσαί τ' ἐκέλευσεν.

Οὕτω καὶ Plautus Paenulo (ἐν τῷ Προλόγῳ ς. 11.)

Exurge praeco, fac populo audientiam.

„ (Ἄνεηθι ὦ κήρυξ, ποίει τῷ δήμῳ ἀκρόασιν.)

Καὶ Ἀπελλῆος (ἐν Γ. Mileſia) Jamque ſublimi ſuggeſtu magiſtratibus conſidentibus, jam praecone publico ſilenti-
„um clamante. Ἤδη δ' ἐφ' ὑψηλῆ ὀκρίβαντος, τῶν δικαςῶν
„συνεδριαζόντων· ἤδη τῆ δημοσίᾳ κήρυκος σιγᾶν ἐκβοῶντος.
„Ἐν δ' Ἑλλάδι λέγειν ἔθιζο: Σιγῆ πᾶς ἔξω λεὼς . . . . .
„Ἀκούετε λεὼς. . . . . Εὐφημεῖτε . . . . . καὶ τὰ
παραπλήσια, ἅπολλαχῆ ἁπαντᾷ.

Ἀπεςέλλοντο δὲ καὶ κήρυκες, πρός τό τι ἀναγγείλαι, ἢ τινὰ μεταπέμψαθαι: Οὕτως Ἀγαμέμνων ἀποςέλλει Ταλθύβιον, καὶ Εὐρυβάτην ἀπ' Ἀχιλλέως τὴν Βρισηΐδα μεταξοντας. (Γ'λ'. Α'. ς. 320. καὶ Ὀδυς. Θ'. ς. 47.) Κήρυξ ἀπέρχεται προσκαλεσόμενος Δημοδόκον:

„ Κήρυξ δὲ μετῴχετο θεῖον ἀοιδόν.

Καὶ τῆ Τηλεμάχῳ δὲ προσιόντος οἱ ἑταῖροι πρὸπεμψαν κήρυκα. (Ὀδυς. Π'. ς. 329.)

„ Ἀγγελίην ἐρέοντα περίφρονι Πηνελοπείῃ.

„ Οὕτω καὶ Πλάταρχος (εἰς Βίον Θησέως) Κήρυκα δ' ἐπέςειλε,
„(φησὶ) τῆς σωτηρίας ἄγγελον εἰς Ἄςυ. Ἵν' δ' ἐν πολέμῳ ἰδίως,
τὸ τῆς κηρυκείας τόδ' ἔργον μάλιςα ἐν χρήσει, τοῖς Κηρυκειοφόροις
ἐπικαθῆκον.

Ἀλλὰ καὶ συνοπαδοὶ τινὲς τοῖς ἄρχουσιν ὑπῆρχον, ἢ τοῖς πρὸς ἐκπλήρωσιν πράξεώς τινος ὑπὸ τῶν ἀρχόντων ἀποςελλομένοις: (οἷον τῷ Ὀδυσσεῖ * * * * *

„ . . . . . Κήρυξ ὀλιγον προγενέςερος ἀυτῷ εἵπετο.)

Καὶ Πρίαμος πρὸς Ἀχιλλέα ἀπελευσόμενος, ἕνα μόνον κελεύεται Κήρυκα συμπαραλαβεῖν: (Ἰλ. Ω. ς. 148.) Ὁ δ' Ἀγαμέμνων τοῖς πρεσβευσομένοις πρὸς Ἀχιλλέα Ὀδίον τε προσέθηκε καὶ Εὐρυβάτην. (Ἰλ. Ι. ς. 170.)

Καὶ Ὀδυσσεὺς δὲ, δύο τῶν ἑταίρων πρὸς Λαιστρυγόνας ἀποστείλας, προσέθετο καὶ Κήρυκα τρίτον (Ὀδυσ. Ι. ς. 89.)

„ Ἄνδρε δύω κρίνας, τρίτατον κήρυχ' ἅμ' ὀπάσσας.

Ἀλλ' ἦν τι ἔτι καὶ τοῖς Ἱεροῖς τῶν Κηρύκων ἔργον· αὐτὸς γὰρ ἦν ἔθος διὰ τῆς πόλεως τὰ θύματα περιάγειν, ἃ δημοτελῶς ἔμελλε θύεσθαι. (Ὀβυ . . . . . .

„ Κήρυκες δ' ἀνὰ ἄστυ θεῶν ἱερὴν ἑκατόμβην
„ Ἦγον. . . . . .

Τὸ δ' αὐτὸ ἐγένετο καὶ (Ἰλ. Γ. ς. 245.) ἐπὶ τῶν τελεμένων συνθεσιῶν· ἔνθα οἱ Κήρυκες οἶνον φέροντες

„ Μίσγον· ἀταὶρ βασιλεῦσιν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν.

Καὶ Ὀδυσ. Η. ς. 163.)

„ . . . . . Σὺ δὲ κηρύκεσσι κέλευσον
„ Οἶνον ἐπιρρῆσαι, ἵνα καὶ Διὶ τερπικεράυνῳ
„ Σπείσομεν . . . . . .

Τεκμήριον δέ τοι τὸ πρῶτον γενέσθαι τῶν Κηρύκων λειτούργημα διδάσκει Ἡρόδοτος, τὰ ἐπὶ τῶν Γερῶν δηλονότι σπονδῶν προΐσασθαι· ὅθεν ἐκ τῶν Κηρύκων προῆλθεν οἶκος ἐκεῖνος, ὅπερ Ἀθηναίοις ἐπιφανὴς τῷ γένει, ᾧ περ ἦν διαφερόντως ἀνήκεσα ἡ λειτουργία τὲ σφαγιάζειν τὰ θύματα, ὡς Κλείδαμος γράφει, ἐν Α. Βιβλ. (Πρωταγωνίας) (Protagonia)

„ Οἵδε γὰρ μαγείρων καὶ βωτύπων ἐπεῖχον τάξιν, οἷοι περ ὑπῆρχον οἱ (Popae) Πόπαι τε καὶ σφαγιασαὶ παρὰ τοῖς Ῥωμαίοις. Πάντως γὰρ παρ' Ὁμήρῳ ἦσαν ἐν ταῖς Ἡρωϊκαῖς τῶν ἑστιάσεων παρίσανται καθυπεργάντες. (Ἰλ. Σ. ς. 558.)

„Κήρυκες δ' ἀπάνευθεν ὑπὸ δρυὶ δαῖτα πένοντο.
„Βοῦν δ' ἱερεύσαντες μέγαν ἄμφεπον . . . . . .

Ὁμοίως Εὐμαίῳ ἀνακειμένῳ (Ὀδυσ. Ρ'. ς. 334. κτ.)

„ . . . . . Τῷ δ' ἄρα Κήρυξ
„Μοῖραν ἑλὼν ἐτίθει, πανέσσατο δ' ἐν σῖτον ἀείρας.

Καίτοιγε καὶ τὴν εἰς αὐτὰ ταῦτα τῶν βασιλέων αὐτῶν ἔπεσιν ἰδεῖν Αὐτοδιακονίαν· Οὕτω καὶ γὰρ Ἀγαμέμνων (Ἰλ. Γ'. ς. 292.

„Ἦ, καὶ ἀπὸ ςομάχων ἀρνῶν τάμε νηλέϊ χαλκῷ.

Θρασυμήδης δὲ ὁ τῦ Νέςορος, πέλεκυν (Ὀδυσ. Γ'. ς. 443.)

„Ὀξὺν ἔχων ἐν χειρὶ παρίςατο βοῦν ἐπιπόψων.

Ἀμέλειτοι τῦ πατρὸς διὰ γῆρας ἀπεχομένε: Φησὶν Ἀθήναιος (Βιβλ. ΙΔ':). Οὕτως ὁμοίως, καὶν ταῖς δημοτελέσι λιταῖς Πάτροκλός τε καὶ Ἀχιλεὺς (Ἰλ. Ι'. ς. 205.) ἐπιμελῶς εἶχον τῦ δεόντος πάντα τελεῖσθαι. Καὶ τῷ Μενελάῳ δὲ ὁ Μεγαπένθης ἐπὶ τῶν Κρατήρων ἦν. (Ὀδυσ. „Ὁ'. ς. 122) Ταύτῃ δὲ ἄρα (φησὶ Χρύσιππος) ἐπετήδευον τὴν „αὐτοδιακονίαν, καὶ ἐκαλλωπίζοντο τῇ ἐν τοιέτοις ἐυ„ςροφίᾳ. Ὅπερ οὖν Θετταλοῖς τὸ πάλαι ἔθιμον ἐς τὰ μάλιςα ὑπάρξαι, γράφει ὁ Ἀνώνυμος, οὗ σώζονται οἱ Δωρικοὶ λόγοι, οἱ περὶ „τῶν Ἡθῶν „Θεσσαλοῖσι καλὸν, τὸς ἵππος ἐκ τᾶς ἀγέλας „λαβόντι, αὐτὸς δαμάσαι, καὶ τὸς ὀρέας βῶς τε λαβόν„τι, αὐτὸς σφάξαι, καὶ ἐκδεῖραι, καὶ κατακόψαι.

ΚΕΦΑΛ. ς'.

Περὶ τῶν κατ' ἐκκλησίας Ἀγορᾶν. (ἤτοι βουλῶν.)

Ὑπῆρχον δὲ τοῖς πάλαι βασιλεῦσι συνόντες καὶ ἄνδρες ἡλικίᾳ τε προηγμένοι, καὶ φρονήσει διαφέροντες, ὧν διὰ συμβουλῆς, καὶ τὰ οἴκοι, καὶ τὰ ἐπὶ τῷ στρατῷ δημόσια ἀπετέλουν. Διδάσκει τόδε ἀμφιλαφῶς ἐξ Ὁμήρου ὁ Ἁλικαρνασσεὺς Διονύσιος, (ἐν βιβλ: Β'.) ἔτως: „τοῖς „γοῦν βασιλεῦσιν, ὅσοι τε πατρίους ἀρχὰς παρελάβοιεν, „καὶ ὅσους ἡ πληθὺς αὐτὴ κατασήσαιτο ἡγεμόνας, βουλευ„τήριον ἦν ἐκ τῶν κρατίστων, ὡς Ὅμηρός τε, καὶ οἱ „παλαιότατοι τῶν ποιητῶν μαρτυροῦσι, καὶ ἐχ' ὥσπερ ἐν „τοῖς καθ' ἡμᾶς χρόνοις αὐθάδεις καὶ μονογνώμονες ἦσαν „αἱ τῶν ἀρχαίων βασιλέων δυνασεῖαι. Καὶ κατὰ δὴ τὸν τοιόνδε τύπον, φησὶ, Ῥωμύλον κατασῆσαι τὴν Γερουσίαν, τὴν ἐκ τῶν „Πατέρων (οἱ συγγεγραμμένοι εἴρηνται) συγκροτουμένην. Ἣν Ὅμηρος ἀποκαλεῖ βουλὴν γερόντων: ὑφ' ἧς πρῶτον διεψηφίζετο, ἃ τῷ λαῷ ἐπὶ τῆς ἀγορᾶς ἔμελλε δημηγορεῖσθαι. Ὡς Ἀγαμέμνων (Ἰλ: Β'. ς'. 53.)

„Βουλὴν δὴ πρῶτον μεγαθύμων ἴξε γερόντων.

Καὶ ὃν ἑώρακεν ὄνειρον τοῖς Ἑλλήνων ἄρχουσιν ἐξαγγείλας, τὴν εἰς τὰ οἴκοι ἐπάνοδον ἔσπευδε πρὸς ἀπόπειραν τοῖς Ἕλλησι προβληθῆναι, καὶ συναινέσει τῶν ἀρίστων τῷ λαῷ δημοσιευθῆναι. ὅπερ οὖν καὶ ἀγορᾶς συγκροτηθείσης αὐτίκα ἐγένετο. Τοῦτ' γᾶν καὶ Ἀριστοτέλης (ἐν βιβλ: Γ'. τῶν Ἠθικ: Κεφαλ: Ε'.) παρετηρήσατο: Δῆλον δὲ τοῦ„το, φάσκων, καὶ ἐκ τῶν ἀρχαίων Πολιτειῶν, ἃς Ὅμηρος „ἐμιμεῖτο. οἱ γὰρ βασιλεῖς ἃ προείλοντο ἀνήγγελον τῷ „δήμῳ.

Ἐν μὲν οὖν ταῖς ἐκκλησίαις Θώκων προτεταγμένων ἐκαθέζοντο πάντες, ὀρθῆ ἱσαμένη ἐν τῷ μέσῳ τῆ δημηγορεῖν μέλλοντος. (Ἰλ: Β'. ς. 99.)

„ Σπευδὴ δ' ἔζετο λαὸς, ἐρήτυθεν δὲ καθέδρας
„ Παυσάμενοι κλαγγῆς, ἀνὰ δὲ πρείων Ἀγαμέμνων
„ Ἔσχε σκῆπτρον ἔχων . . . . . .

Οὕτως (Ἰλ: Τ'. ς. 77.) ἐπὶ τῆς ἐκκλησίας πρῶτοι ἐκάθισαν Διομήδης, καὶ Ὀδυσσεὺς· ἔπειτα δὲ καὶ Ἀγαμέμνων, καί περ ἔτος δημαγορήσας· ἀλλὰ

„ Αὐτόθεν ἐξ ἕδρης, ἀδ' ἐν μέσσοισιν ἀνασὰς,

Δι. ὅ, τιῆν τὸ κωλύσαν. Παραπλησίως καὶ τῶν Ἰθακησίων συναθροιθέντων, (Ὀδ: Β'. ς. 14.) Τηλέμαχος ἐπελθὼν „ ἔζετο ἐν
„ Πατρὸς θώκῳ, εἶτα δημηγορήσων (Ἀντ: ς. 36. 37.)
ἀνέση.
„ Οὐδ' ἄρ ἔτι δήν ἧσο, μενοίνησε δ' ἀγορεύειν.
„ Στῆ δὲ μέσῃ ἀγορῇ· σκῆπτρον δέ οἱ ἔμβαλε χειρὶ
„ Κήρυξ Πεισήνωρ. . . . . .

Καθάπερῶν πέπρακτο καὶ τῷ Μενελάῳ. (Ἰλ. Ψ'. ς. 567. κξ.)

Οἱ δ' ἀγορέυσαντες μετὰ τᾶτο πάλιν ἐκαθέζοντο, ἑτέρᾳ ἀνισαμένᾳ εἰπεῖν: ὡς (Ἰλ. Η'. ς. 354.) ἐν τῇ τῶν Τρώων ἀγορᾷ ὁ Ἀντήνωρ:

„ Ἦτοι ὅγ' ὣς εἰπὼν κατ' ἄρ ἔζετο, τοῖσι δ' ἀνέση
„ Δῖος Ἀλέξανδρος Ἑλένης πόσις ἠϋκόμοιο.

Ἐτελεῖτο δ' ἡ βελὴ αὕτη ἐν τῇ Τρόιας ἀκροπόλει, ἔνθα τὴν ἀγορὰν κεῖσθαι τῶν Τρώων, διαῤῥήδην εἴρηται. (Ὀδυσ. Θ'. ς. 503)

Καὶ ἐν ἄλλαις δὲ πόλεσι, τὸ βουλευτήριον ὁμοίως ἔκειτο ἐπὶ χωρίῳ τῷ ἐπιφανεστέρῳ, ὡς ἐκ τῶν ὑπομνημάτων τῆς παλαιτέρας Ἑλλάδος ἔστι μαθεῖν. Τὸ δέ τοι σχῆμα σαφῶς ὑπὸ τοῦ Φιλοστράτου (ἐν ϛ. Βίβλ. „τῶν εἰς τὸν βίον Ἀπολλωνίου.) περιγέγραπται. Τὸ δὲ χωρίον ἐν ᾧ „ἵδρυτο, φασὶ προσοικέναι ἀγορᾷ ἀρχαίᾳ οἵαι τῶν ἀγο„ρῶν ἐν πόλεσί ποτε οἰκηθείσαις λείπονται, σηλῶν παρε„χόμεναι τρύφη, καὶ τειχῶν ἴχνη, καὶ θάκες, καὶ σοὰς „Ἐμῶν τε ἀγάλματα, τὰ μὲν ὑπὸ χειρῶν διεφθορότα, „τὰ δὲ ὑπὸ χρόνου.

Ἐπεβάλλοντο δὲ ἀγορεύειν, οὐ περὶ μόνων τῶν τῇ πολιτικῇ κατασάσει προσηκόντων, ἀλλὰ καὶ περὶ πραγμάτων ἔτι ἰδιωτικωτέρων. Οὕτω Τηλέμαχος ἀγορεύων ἐποτνιᾶτο ἐπὶ τῇ τῶν μνηστήρων βίᾳ τε καὶ ὕβρει: (Ὀδυσ. Β΄. ἐν Προοιμ.) οἱ δὲ ὑπέπτησσον· μήτοι γε περὶ τῆς ἐπιχειρηθείσης κατ' αὐτοῦ αἱρέσεως λόγον ἐπὶ τῆς ἐκκλησίας τινὰ κινήσειεν. (Ὀδυσ. Υ΄. ϛ. 272.)

ΚΕΦΑΛ. Ζ΄.

Περὶ Δικαστῶν.

Ὅλως δὲ καὶ αἱ περὶ διαφόρων ἀμφισβητήσεων ἀντιδιεξέξεις διεκρίνοντο ἐπ' ἀγορᾶς δημοσίᾳ, Δικαστῶν ἐπὶ τούτῳ συνεδρευόντων, οἳ ἂν ἑκάστῳ ἀποδιδοῖεν τὸ δίκαιον. Οὕτω. (Ὀδυσ. Μ΄. ϛ. 439.)

„ . . . Ἦμος δ' ἐπὶ δόρπον ἀνὴρ ἀγορῆθεν ἀνέσῃ
„ Κρίνων νείκεα πολλὰ δικαζομένων ἀνδρῶν.

Καὶ (Ἰλιάδ. Π΄. ϛ. 387.) δικασταὶ λέγονται,

„Οἳ βῆ ἐν ἀγορῇ σκολιὰς κρίνωσι θέμιστας.

Καὶ διὰ τῦτο παρὰ ταῖς ναυσὶν (Ἰλ. Α΄ ς. 806.) τοῖς Ἀχαιοῖς
„ἦν ὁ τόπος . . . . . „Ἵνα σΦ' ἀγορήτε, θέμης τε.

Τὸ δὲ τῦ Δικαστηρίε χωρίον, ἰδίᾳ κυκλοτερὲς σεσημείωται. (Ἰλ. Σ΄. ς. 504.) Οἱ δὲ γέροντες οἱ συνεδρεύοντες:

„Εἵατ' ἐπὶ ξεσοῖσι λίθοισιν, ἱερῷ ἐνὶ κύκλῳ.

„Ἱερὸς δὲ προσείρηται ὁ κύκλος„ διὰ τὸ πολυχώρητον τῦ τοι„ύτε χήματος, Φησὶν Εὐσάθιος. Ὅθεν ϗ Σοφοκλῆς Κυκλόεν„τα θρόνον ἀγορᾶς εἶπεν Αὐτῦ δ' ἐπὶ θρόνοις λιθίνοις ἐκαθέζον„το οἱ δικάζοντες, οὓς ὁ Ποιητὴς γέροντας ὀνομάζει, καθότι ἢ τῷ „χρόνῳ ἐν συνέσει καὶ πολυπειρίᾳ πραγμάτων προέχεσιν, „ἢ καὶ ἁπλῶς ἄλλως ἔντιμοι, κἂν μὴ τῇ ἡλικίᾳ γέροντες „εἶεν. Ἐπίσημοι δὲ καὶ ἐν οἷς σκήπτροις ἔχον, ὥσπερ οἱ βασιλεῖς· ἔσι γὰρ τὸ σκῆπτρον ἐ μόνον βασιλείας, ἀλλὰ καὶ θέμιδος σύμβολον. Ἔνθεντοι (Ἰλ. Α΄. ς 235.)

„. . . . . Νῦν αὖτε μὲν υἷες Ἀχαιῶν
„Ἕν παλάμῃς Φορέεσι διασπόλοι, οἵτε θέμισας
„Πρὸς Διὸς εἰρύαται. . . . . .

Ἐκράτει δ' ἐς ἀεὶ τὸ ἔθος παρ' Ἀθηναίοις τῷ βακτροΦορεῖν τὲς δικάζοντας, ὡς ἰδεῖν ἐςὶ παρὰ τοῖς Ἀριςοφάνες ἑρμηνευταῖς, ϗ τοῖς ἄλλοις τῶν Γραμματικῶν, περὶ τύτε. Ἀλλὰ καὶ ἐΦ' ἡμῶν προσέτι ἐμΦιλοχορεῖν τετὶ τὸ ἔθος ἐν πολλοῖς ἔθνεσιν ἐςὶ πρόδηλον. Παρὰ δὲ δὴ τῶν Κηρύκων ἐν χερσὶν ἐτίθετο τοῖς Δικασαῖς τὰ τοιάδε σκῆπτρα, ἃ „καὶ οἱ κατέχοντες ἐν τῷ ἀγορέυειν θαμὰ διεσάλευον' ὡς τὰ σκῆπ„τρα τοῖς λόγοις συνδιαΦέροντες. Τάυτῃ τοι καὶ Ὀδυσσεὺς ἀπειρίας τε ϗ ἀνοίας ἠλέγχετο ὑπὸ Τρώων, ὡς ἐν ἀκινήτῳ τῷ σκήπτρῳ διαλεγόμενος. Καὶ γάρ τοι (Ἰλ. Γ΄ ς. 217. κξ.)

„Στάσκεν, ὑπαὶ δὲ ἴδεσκε κατὰ χθονὸς ὄμματα πήξας,
„Σκῆπτρον δ' ὅτ' ὀπίσω, ὅτε προπρηνὲς ἐνώμα·

„ Ἀλλ' ἀσεμφὲς ἔχεσπεν ἀΐδρει φωτὶ ἐοικὼς·
„ Φαίης κεν ζάκοτόν τινα ἔμμεναι, ἄφρονα θ' ἅντως.

Ἀλλ' ἐκεῖνο δὴ καὶ θαυμάζειν ἄξιον, ἅτε μοναδικὸν· ὅτι δισσά ποτε τάλαντα χρυσᾶ πρὸτέθη εἰς γέρας τε καὶ ἀντιμισθίαν χορηγηθησόμενα τοῖς πρὸς τὸ ἀκριβέστατον ὀρθὴν τὴν ψῆφον ἀποφανεμένοις. Ἀλλὰ γὰρ ἐνίοτε τὴν δίκην καὶ οἱ αὐτοὶ, οἷς περ τὸ νεῖκος ἦν διεπραγματέυοντο, τὸς μαρτυρόντας ἑκάτερα ἐνάγοντες ὑπὲρ τᾶ ἰδίᾳ αὐτῶν δικαιώματος.

Κἂν τότῳ δὲ λαμπρόν τε ἦν καὶ περιδοξον τὸ ἐπάγγελμα, καὶ αὐτοῖς ὁμοίως τοῖς βασιλεύσιν. Ἐπὶ καὶ αὐτοὶ Ἐπὶ τῆς ἀγορᾶς ἐφοίτων θαμίζοντες, καὶ τὰ δίκαια ἑκάστοις ἀγόρευον. Ἐν τῇ ἀγορᾷ δήπε παρεῖναι ἔρηται ὁ Ἄναξ τῶν Λακεδαιμονίων. (Ὀδυσ. Κ'. ς. 114.) Ὁμοίως δὲ καὶ ὁ Κροῖσος παρ' Ἡροδότῳ (ἐν τῇ Κλειοῖ.) Τοῖσι μὲν χρὴ „ὄμμασιν ἔς τε ἀγορὴν, καὶ ἐξ ἀγορῆς φοιτέοντα φαίνεσθαι. Ὁ δὲ θρόνος τῶν βασιλέων ποικίλοις κοσμήμασι περιφανοῖς ἔρωτο. Τοιοῦτος γὰρ ὑπὸ Πινδάρε (Πυθ. ᾠδ. Δ'.) ἐπιζημίζεται ὁ θρόνος.

„ Ὦ ποτὲ Κρηθείδας ἐγκατίζων ἱππόταις
„ Εὐθυνε λαοῖσι δίκας·

„Καὶ Ἡρόδοτος δὲ διέξεισιν (ἐν τῇ Κλειοῖ.) Ὅτι Μίδας ἐν „Δελφοῖς καθιέρωσε τὸν βασιλήϊον θρόνον, ἐς τὸν προκα„τίζων ἐδίκαζε. Ταῦτα δὲ καὶ Ἀθήναιος γράφει (ἐν Βίβλ. ΙΒ'.) περὶ τε τᾶ Περσῶν βασιλέως, καὶ περὶ Ἀλεξάνδρε τᾶ Μακεδόνος, καὶ περὶ Γέλωνος τᾶ Συρακοσίων Τυράννε, καὶ περὶ ἄλλων. Ἐς τοσοῦτον δὲ τοῖς παλαιοῖς ἡ τοιάδε μετχείρησις τοῖς βασιλεῦσι προσήκουσα ἐνομίζετο, ὡς καὶ τὰς βασιλίδας αὐτὰς εἰς τὸ λύειν τὰ ἐπεγειρόμενα νείκη ἐναχολεῖσθαι, ὡς περὶ τῆς τῶν Φαιάκων Ἀνάσσης Ὅμηρος (Ὀδυσ. „Η'. ς. 74.) ἐπεμαρτύρησεν. Ἀνδράσι νείκεα λύει. Ἀλλὰ γὰρ ἐκ τῆς κατὰ λόγον ἰσοτητος, καὶ ἐξ ἔθος τᾶ κρατοῦντος τὸ πλέον διε-

κρίνοντο αἱ τοιαίδε ἀμφισβητήσεις, ὅτι ὁ πολλοὶ, ἢ καὶ ἐδένες τοῖς παλαιοῖς ὑπῆρχον νόμοι. Διὸ καὶ παρ' Ὁμήρῳ, ἐδαμῆ φημίζεσθαι Νόμους παρασημειῆνται οἱ Κριτικοὶ: ἀλλ' ἢ Θέμιστας.

ΚΕΦΑΛ. Η'.

Περὶ Φόνων.

Συχνότατον τὸ ἔγκλημα τῆς ἀνδροκτασίας ἅπαντα παρ' Ὁμήρῳ, καὶ τότε ἡ ποινὴ, ἐξορία· οἱ γὰρ ἔνοχοι καθεζῶτες ἐτρέποντο εἰς φυγὴν ἀφ' ἧς ὤκεν. Μέδων μὲν ἦν ὁ τῦ Αἴαντος ὁμαίμων, (Ἰλ: Ο'. ς. 335.) ἔνασεν

„Ἐν Φυλάκῃ, γαίης ἄπο πατρίδος, ἄνδρα κατακτάς.

Παρὰ δὲ τῷ Αἴαντι αὐτῷ Λυκόφρων (Ἰλ Αἰτ: ς. 432.)

„Ναῖ, ἐπεὶ ἄνδρα κατέκτα Κυθήροισι ζαθέοισιν.

Ὅλως δὲ γενομένε τῦ Φόνε, εἰς εἶκον τινὸς τῶν μέγα δυναμένων εἰώθεσαν καταφεύγειν ἱκέται, ὡς ὁ Ποιητὴς φησὶν: (Ἰλ: Ω'. ς. 480.)

„Ὡς δ' ὅτ' ἄνδρ' ἄτη πυκινὴ λάβῃ ὅστ' ἐνὶ πάτρῃ
„Φῶτα κατακτείνας, ἄλλον ἐξέπετο δῆμον
„Ἀνδρὸς ἐς ἀφνειῦ. . . . . .

Οὕτως Ἐπειγεὺς, ἐπεὶ τὸν ἀνεψιὸν ἐξενάριζεν, (Ἰλ Π'. ς. 574.)- Προσφυγὼν.

„Ἐς Πηλῆ, ἱκέτευσε, καὶ ἐς Θέτιν ἀργυρόπεζαν.

Ο' δὲ Θεοκλύμενος ὑπὸ τὴν Τηλεμάχε ἑαυτὸν καθυπέβαλε πίσιν, φυγὰς διὰ τὸν τε Ε'μφύλε φόνον (Ο'δυ: Ο'. ς. 276.)

„Φεύγω, ἐπεὶ νύμοι αἷσα κατ' ἀνθρώπες ἀλάληθαι.

Τὴν ἐκ τῶν πρὸς γένες ἐκείνῳ ἐκδίκησιν ὑποπτήσσων:

„Μή με καταπτείνωσι, διωκέμεναι γὰρ ὀΐω.

Παραπλησίως δὲ καὶ Ο'δυσσεὺς ἀμηχανῶν ἐξὶ τίποτε δράσει, τὲς τοσέτες ἀνελῶν μνηςῆρας, ὁπότε καὶ ὁ ἀποκτείνας ἄνδρα ἕνα, (Ο'δυσ: Ψ'. ς. 119.)

„Ὤ μὴ πολλοὶ ἔωσιν ἀοσσητῆρες ὀπίσσω,

„Φεύγει, πήες τε προλιπὼν, καὶ πατρίδα γαῖαν.

Καὶ Ο'μηρος μὲν ἔφη: (Ο'δυσ: Ω'. ς. 433. κξ:) ὅτι ἀγορὰν περὶ τὲ πρακτέε συςήσαντες οἱ προσγενεῖς τῶν ἀποκτανθέντων, ἐν ὅπλοις ὥρμησαν κατὰ Ο'δυσσέως· ἀλλ' ἔπειτα Παλλάδος πεδὴ, οἱ μὲν τὰ ὅπλα κατέθεντο, ὁ δὲ ἐν εἰρήνῃ τε λοιπε διέμεινε Βασιλεύων. Ε'τερος δὲ Συγγραφεὺς τῶν λίαν ἀρχαίων ἱςόρησαν, ἐκπεσεῖν αὐτὸν ἀπελαθέντα Κεφαληνίας τε, καὶ Γ'θάκης, καὶ Ζακύνθε, ὡς Παρέδωκε Πλέταρχος. (ἐν τοῖς Ε'λληνι: Προβλήμ: ΙΔ'.) Πάντως δὲ περὶ Α'δράςε, υἱε τε Φρυγῶν Βασιλέυοντος ἀνιςόρηται, ὅτι ἐξ ἀγνοίας τὸν κασίγνητον τὸν ἑαυτε ἀποκτείνας, ὑπερόριος παρὰ τε πατρὸς ἀπηλάθη, καὶ περιεσίας ἁπάσης ἐςέρηται (παρ' Η'ροδ: ἐν τῇ Α'. Μέσῃ.) ὅθεν καὶ εἰς Κροῖσον κατέφυγεν, ὑφ' ὃ καὶ κατὰ τὸν ἀρχαῖον τύπον ἀφαγνισθεὶς, ἔτι καὶ τῆς παρ' αὐτῷ οἰκήσεως ὑποδεξαμένῳ ἠξίωται. Τὲτο δὲ ἐπὶ τῶν ἀκεσίων μάλισα φόνων ἐπικρατῆσαι „γράφει ὁ τε Ο'μήρε Σχολιαςὴς, (Γλ: Ο'. ς. 573.) Ε'θος ἦν „παρὰ τοῖς παλαιοῖς, τὸν ἀκέσιον φόνον ἐργαζόμενον „φεύγειν ἐκ τῆς πατρίδος, καὶ παραγίνεσθαι εἰς τέμενος „καθαρσίων δεόμενον. Παρεσημειοῦ δὲ τόδε τὸ ἔθος καὶ Παυσανίας (ἐν τοῖς Η'λειακοῖς τοῖς γε πρετέροις.) ἐπὶ τε Αἰτωλῶν „Ἄνακτος, ὃν περ φησὶν ἐκ Πελοποννήσε φυγεῖν, ὅτι αὐτὸν

„οἱ Ἀπιδος παῖδες, ἐφ' αἵματι ἀκεσίῳ δίκη ἕλον. Καὶ μετὰ βραχύ, ἐπὶ Οἰξύλε, ἀνδρὸς καὶ τότε ἡγεμονικοῦ, ὧ συνέβη Φυ-„γάδι ἐξ Αἰτωλίας εἶναι· δισκεύοντα γὰρ φασὶν αὐτὸν ἀμαρ-„τεῖν, καὶ ἐξαργάσασθαι φόνον ἀκέσιον. Οὕτω δέ τοι καὶ ἐν παιδιᾷ ἀσραγάλων Πάτροκλος ἀνεῖλε τὸν υἱὸν Ἀμφιδάμαντος: νήπιος ἔμ ἐθέλων: ἀνθ' ὅτε καὶ πρὸς Ἀχιλέα ἠνάγκασο καταφυγεῖν (Ἰλ: Ψ'. ς. 86.) ὡς τόδε σεσημείωκεν ὁ Νομικὸς Κλάυδιος ὁ Σατορνῖνος (ἐν τοῖς Διγέσοις περὶ τῶν Ποινῶν.) Apud Græcos, exilio voluntario fortuiti casus luebantur; ut apud praecipuum Poetarum scriptum est Iliados Ψ'. „(Παρ' Ἕλλησιν, ὑπερορία ἐθελοσίῳ τὰ τῶν τυχαίων ἀν-„δροκτασιῶν ἀπετίετο. ὡς Ὁμήρῳ γέγραπται τῷ κορυ-„φαίῳ τῶν Ποιητῶν. (Ἰλ. Ψ'.) Ἀλλὰ τῆς τοιᾶσδε ὑπερορίας τὴν προθεσμίαν, εἰς ἐνιαυτὸν ὡρίσθαι περέδωκεν ἕνα, ὁ τῆ Εὐριπίδε Σχο-„λιαστὴς (ἐν τῷ Ἱππολύτω.) Ἔθος γὰρ τοῖς ἐφ' αἵματι φεύ-„γουσιν ἐνιαυτὸν ποιεῖν ἐκτὸς τῆς Πατρίδος· Ἀρχαιοτάτη δὲ ἅσα ἡ τοιάδε ποινὴ τῆς Φονοκτονίας, ἀπὸ Καΐν πάντως τῆ πρώτε Φονεργῆ κατὰ θείαν δίκην ἐπὶ τὲς λοιπὲς ἔοικε τὴν ἀρχὴν εἰληφέναι.

Ἀλλὰ καὶ δι' ἀποίνων, ἡ τῆς Φονοκτονίας ἐποφειλομένη δίδοσθαι δίκη, παρὰ τῶν πρὸς γένες τῆ ἀποκτανθέντος ἐνίοτε ἐξηγόρασο. Ἐντεῦθεν καὶ γὰρ (Ἰλ Ι'. ς. 628.) ἀπελέγχει Αἴας τὸ Ἀχιλλέως ἄυθαδές τε καὶ σκληροκάρδιον, ὅτι τὶς ἄλλος, καὶ ὑπὲρ κασιγνήτε αὐτῷ ἀναιρεθέντος ἀποδεξάμενος τὴν ἱκανοποίησιν, οἶκοι μένειν τῷ ἀποκτείναντι ἐπιτρέψαι.

„Νηλὴς, καὶ μέν τις τε κασιγνήτοιο Φόνοιο
„Ποινὴν, ἢ ἕ παιδὸς ἐδέξατο τεθνειῶτος.
„Καί ῥ' ὁμὲν ἐν δήμῳ μένει αὐτῆ, πόλλ' ἀποτίσας,

„Τᾷ δέ τ' ἐρητύεται κραδίη καὶ θυμὸς ἀγήνωρ,
„Ποινὴν δεξαμένα . . . . . .

Οὕτω δ' ἐκδεκτέον, καὶ τὸ (Ἰλ. Σ'. ς. 498.)

„. . . . . Δύο δ' ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς
„Ἀνδρὸς ἀποφθιμένου· ὁ μὲν ἔυχετο πάντ' ἀποδῦναι
„Δήμῳ πιφαύσκων· ὁ δ' ἀναίνετο μηδὲν ἑλέσθαι·

„Ἔνθα Ἐυσάθιος φησὶν: Ἦν δὲ παλαιὸν ἔθος καὶ ποινὴν
„ἔσθ' ὅτε δίδοσθαι ὑπὲρ φάνε, καὶ μὴ ἀνάγκην εἶναι φεύγειν
„ἀεὶ τὴν πατρίδα τὸν πεφονευκότα. Ὁ δὲ Σχολιαστὴς καὶ
„ὑποφόνια ἑρμηνεύει ταῦτα πρὸς τῶν Ἀττικῶν εἰρῆσθαι, ἃ ἐδί-
„δοσαν τοῖς οἰκείοις τῶν ἀνῃρημένων οἱ ἀνελόντες. Πολλὰ
δὲ τῆς τοιᾶσδε ἐξαγοράσεως ἀπομνημονεύματα σώζεται παρά τε Δημο-
σθένει, καὶ τῶν Ἑλλήνων Ῥητόρων ἄλλοις. Ἀλλὰ καὶ νῦν ἐφ' ἡμῶν πολ-
λαχοῦ ἐπιχωριάζει τὸ ἔθος παρὰ τοῖς βορειοτέροις ἔθνεσιν· ὃ τοῖς Λογ-
γοβάρδοις ποτὲ ἐμφιλοχωρῆσαι, ἐν πολλαῖς τῶν περιόντων Νόμων ἀνα-
φαίνεται.

ΚΕΦΑΛ. Θ'.

Περὶ Κλοπῶν τε καὶ ἁρπαγῶν.

Συνεχεῖς λίαν ὑπῆρχον τὸ πάλαι αἱ κλοπαίτε καὶ ἁρπαγαὶ ἀν' Ἑλλαδα, ἐχ ὅπως κατὰ γῆν, ἀλλὰ καὶ ἐπὶ θαλάσσης· μαρτυρεῖ δὲ αἱ πολ-
λαὶ βοηλασίαι, εἴτε ἀνδραποδισμοὶ, καὶ αἱ ἀνάσατοι γινόμεναι πόλεις τε καὶ ἀγροί, ὧν ἅπασα ἡ Ὁμήρε Ποίησις πλέως. Ἔδρων δὲ τὰ τοι-
αῦτα ἄνδρες ἐχὶ τῶν ἀσήμων· καὶ γὰρ καὶ αὐτοῖς τοῖς Ἥρωσιν, ἔ-

„κουν μὲν εἰς αἶχος, ἀλλ' εἰς εὖχος καθίστατο τὸ πρᾶγμα, Οὐκ ἔχον-
„τός πω αἰχύνην τότε τῷ ἔργῳ, Φέροντος δέ τι καὶ δόξης
„μᾶλλον, ὡς Θεκυδίδης ἀρχόμενος τῆς αὐτῷ ἱστορίας φησὶν· ὃ προσεμ-
πεδοῖ καὶ ξ ἐκείνῳ, ὅτι καὶ ἐπ' αὐτῷ ἤδη, πολλοῖς ἦν σεμνόντε καὶ εὐ-
πρεπὲς τὸ τοιόνδε ἀσκεῖν. Καὶ ὅτι παρὰ τοῖς ἀρχαιοτάτοις τῶν Ποιη-
τῶν, οἱ ὁπωδήποτε καθορμιζόμενοι ἀνερωτῶντο, μήποτε τῶν λῃστευόν-
„των τυγχάνοντες εἶεν; ὡς ὅτε ὧν πυνθάνονται ἀπαξιόντων
„τὸ ἔργον, οἷς τ' ἐπιμελὲς ἦν εἰδέναι ἐκόνεδιζόντων. Δεῖγμα
δ' ἐμφανέστατον τὸ (Ὀδυσ. Γ. ς. 71.)

„Ὦ ξεῖνοι τίνες ἐστὲ; πόθεν πλεῖθ' ὑγρὰ κέλευθα;
„Ἦ τί κατὰ πρῆξιν, ἢ μαψιδίως ἀλάλησθε,
„Οἷάτε λῃστῆρες ὑπεὶρ ἅλα; τοί γ' ἀλόωνται.
„Ψυχὰς παρθέμενοι, κακὸν ἀλλοδαποῖσι φέροντες;

Ἐνθεντοι παρὰ τῷ Ὀρφεῖ, ὁ Ἰάσων τῷ βασιλεῖ Αἰήτῃ, καθ' ὑπόνοιαν ἐκπυνθανομένῳ, τίνες ἆρ' εἶεν οἱ Ἀργοναῦται; ἀπεκρίνατο:

„Οὔτι νύ λῃστῆρες ἰκάνομεν . . . . .

Ὅλως δὲ καὶ Φιλόστρατος (εἰς τὸν Ἀπολλων: βίον, ἐπιμαρτυρῶν
„ἐστὶ καὶ τοῖς ἄλλοις ἅπασι τόδε συμβαίνειν ὡσαύτως: οἱ γὰρ πα-
„λαιοὶ τὰς ἐρωτήσεις τῶν καταπλεόντων ἐποιοῦντο, εἰ
„λῃσταὶ εἰσί;

Τὸ τοίνυν λῃστρικὸν πάλαι, παρὰ τὸ ἐυδελεχὲς τῷ ἐθισμῷ ἐκ ἦν ἐν κακῇ· Καὶντεῦθεν ἴσως ὑπὸ Ὁμήρε (Ὀδυσ. Τ. ς: 395.) ἐπαινεῖται Αὐτόλυκος:

„. . . . . Ὃς ἀνθρώπους ἐκέκασο
„Κλεπτοσύνῃ θ' ὅρκῳ τε θεὸς δέ οἱ αὐτὸς ἔδωκεν
„Ἑρμείας. . . . . .

Ἑρμῆν γὰρ οἱ παλαιοὶ Ἕλληνες προεσάναι τε καὶ ἡγεμονεύειν τῶν κλοπέων ἐνόμιζον. Ἔνθεντοι καὶ Σάμιοι Ἑρμῇ τῷ Χαριδότῃ ἐπιθεάζοντες, κλέπτειν τε καὶ ληϊεύειν τῷ βουλομένῳ ἐπέτρεπον· ὅτι ἀπὸ χρησμοῦ τὴν Νῆσον καταλιπόντες, καὶ εἰς Μυκάλην μεταναστάντες, ἐξ ἁρπαγῆς ἐπ' ἐνιαυτοῖς δέκα διέζησαν, μαρτυρεῦντος Πλουτάρχου ἐν τοῖς **Προβλήμασιν.** Ἀλλὰ γὰρ ἡ τῆς κλεπτοσύνης μείζων ἦν δόξα, εἰ ἔτω περιεσκεμμένως τοῖς μετιοῦσι γίγνοιτο, ὡς μὴ τὸν κλέ„ψαντα φωραθῆναι: Ὅθεν Σείδας, τὸ παλαιὸν (φησὶν) ἐδιεβέ„βλητο ἡ κλοπή, εἰ μὴ φωραθεὶς ὁ κλέπτων ὑπῆρχε· καὶ τούτου γε δὴ Αὐτόλυκος ἐπαινεῖται, καὶ Σίσυφος, καὶ ἄλλοι τῶν Ἀρχαιοτέρων, ὡς ἐν τοῖς Λυκέργου θεσμοῖς παρὰ Λάκωσιν ὕστερον τὸ ἔθος τόδ' ἐπικλεϊσθῆναι.

Ἄλλως μέντοιγε, καίπερ αἱ κλοπαί τε καὶ ἁρπαγαὶ κατ' ἐκεῖνο τοῦ χρόνου, ἐν ἔθει τε ἦσαν καὶ ἐν ἐπαίνῳ, ἐ μὴν ἀλλ' ἦν ὅτε περὶ τούτων ἔδει καὶ λόγον ἀποδιδόναι. Τῶν γὰρ Μεσσηνίων τριακόσια πρόβατα τοῖς Ἰθακησίοις ἀφελομένων, Ὀδυσσεὺς βουλῇ τε καὶ συναινέσει τῶν γεραιτέρων εἰς ἀπαίτησιν ἐξῆλθε πρεσβεύσων, **μετὰ χρέος:** ὡς εἴπερ ἄρα ἐχὶ κατὰ γνώμην τῶν κεκτημένων ἐπ' ἐκείνοις μετενεχθεῖσα γένοιτο τῶν ἀφαιρεθέντων ἡ κυριότης, ἀλλ' ὡς δάνειον κιχρηθείη, τὸ ἐν καιρῷ ἀποδοθησόμενον. (Ὀδυσ: Φ'. ς. 19.) Εἰ δὲ μήγε, ἀλλὰ δὴ ἁρπαγῆς παραπλησίως τὸ σφίσιν ἱκανὸν ἀνταπενεγκόντες εἶεν. Καθάπερ δὴ Νέστωρ (Ἰλ: Λ'. ς. 687.) ἔφη Πυλίους ὑπὸ τῶν Ἐπειῶν ζημιωθέντας μεγάλην ἐκ τοῦ ἀγροῦ τοῦ ἐκείνων λείαν ἀπαγαγεῖν, ἣν „οἱ τῆς ἐκστρατείας ἡγησάμενοι διεμέρισαν, Πόλεσιν γὰρ Ἐπειοὶ „χρεῶς ὄφελον„ Τοιῷ δὲ δὴ νόμῳ, ὡς οἷς τὰ πλείω παρὰ τῶν ἀντιπολεμίων ἀφήρητο, καὶ τὸ πλεῖον μέρος λαχεῖν: καθάπερ καὶ Νηλεὺς ὁ Ἄναξ, ὑπὲρ τῶν ἁρπασθέντων αὐτῷ τεσσάρων ἵππων ἀθλοφορικῶν, ἀγέλην ἔχε βοῶν, καὶ προβάτων ποίμνην σὺν τοῖς νομεῦσιν. (Αὐτ: ς. 695.) Ἔνθεντοι καὶ ὁ τοῦ Ἀντινόου Πατὴρ ἤλασε διώξας τὰς λιτὰς Ταφίους, τὰς ἐν ἁρπαγαῖς κακῶς ἀκόντας: (Ὀδυσ: Π'. ς. 426. καὶ 427.) Εἰ καὶ αὐτὸς τὴν Ἰθακησίων ὑπε-

ση μῆνιν, ὡς Θεσπρωτοῖς τοῖς συμμάχοις ἐκείνων προλυμηνόμενος, καὶ μικρὸν ἐδέησε, τότε γε ἕνεκα, τὴν ἰδίαν αὐτῶ περιστίαν ἅπασαν ζημιωθῆναι. Πρῶτος δὲ Φέρεται Μίνως ὁ τῶν Κρητῶν Ἄναξ, ἀπὸ τῆς θαλάσσης τὰς λῃστὰς ἐξελάσας, ὡς Θουκυδίδης ἐν τῷ Α΄. τῆς Ἱστορίας παρέδωκεν.

ΚΕΦΑΛ. Ι΄.

Περὶ ὠνήσεών τε καὶ πράσεων.

Οὕτις ἦν κατ' ἀρχὰς ἐν Ἕλλησιν ἐμπορικὴ πραγματεία, ἑκάστε καθ' ἡμέραν ἑαυτῷ ἐκ τῶ ἰδίε ἀγρῶ τὰ πρὸς τὸ διαζῆν χρειώδη παρασκευάζοντος, ὡς ὁ Θουκυδίδης μαρτυρεῖ ἐν προοιμίοις τῆς αὐτῶ Ἱστορίας. Ὕστερον δὲ ὁ ἐμπορικὸς βιὸς συνέστη, καὶ τῶ κέρδε ἕνεκα ὁ διὰ τῆς θαλάσσης πλῶς ἠνεώχθη· ἐξ οὗ καὶ οἱ Ναῦται **Πρηκτῆρες** ἐρήνται: (Ὀδ: Θ΄. ς. 162.) καὶ **πλωτῆρες**, οἳ ἔπλεον ἐπὶ πρῆξιν καὶ χρήματα. (Ὀρ: εἰς βίον Ἀπόλ: ς. 397. καὶ 453.) Προηγήσαντο δ' Ἑλλήνων εἰς τῶτο Φοίνικες· οἵτινες, ὥσπερ ἄδει Διονύσιος, (ἐν τῷ περὶ Θεσ: τῆς γῆς:)

„΄. . . . **Πρῶτοι νήεσσιν ἐπειρήσαντο θαλάσσης.**
„ **Πρῶτοι δ' ἐμπορίης ἀλιδήνεος ἐμνήσαντο.**

Ὅθεν Κικέρων (ἐν Γ΄. τῶν περὶ πολιτ.) φησὶν: Eos primos mercatores mercibus ſuis avaritiam, magnificentiam et inexplebiles cupiditates primum in Graeciam intuliſſe. „(Πρώτες ἐκείνες ἐμπόρες, τοῖς αὐτῶν ἀγωγίμοις, τὴν φιλο-„χρηματίαν, ἢ τὴν πολυτέλειαν, καὶ τὰς ἀπλήςες ὀρέ-„ξεις τὸ πρῶτον εἰς τὴν Ἑλλάδα εἰσεννηοχέναι.) Διόπερ οἱ αὐτοὶ (Φοίνικες) Ὀδυσ. Ο΄. ς. 414.)

„Ἔνθα δὲ Φοίνικες ναυσίκλυτοι ἤλυθον ἄνδρες
„Τρῶητας, μυρί' ἄγοντες ἀθύρματα νηὶ μελαίνῃ.

Ἐξ οὗ καὶ ἐπὶ τῷ πειρατικῷ βίῳ τὸ πάλαι κατέσησαν διαβόητοι, ὡς μαρτυρεῖ Φιλόστρατος (ἐν Γ. Βίβλ. τῶν εἰς τὸν Ἀπολλωνίε Βίον.) Διεπραγματεύετο δὲ τὰ τῆς ἐμπορίας διὰ συναλλάγματος, ὡς δῆλον ἐκ τῆς Η'. Ῥαψῳδ. (ς. 472.) Ἔνθα ἐκ Λήμνε ἐπὶ τὸ τῶν Ἑλλήνων στρατόπεδον νῆες καθωρμίζοντο, οἶνε φόρτον ἄγεσαι, ὃν ἐκεῖνοι χαλκῷ, καὶ σιδήρῳ, καὶ δερμάτων, καὶ βοῶν, καὶ ἀνδραπόδων συνεξωνοῦντο.

„Ἔνθα δ' ἄρ οἰνίζοντο καρηκομόωντες Ἀχαιοὶ·
„Ἄλλοι μὲν χαλκῷ, ἄλλοι δὲ αὐθωνι σιδήρῳ,
„Ἄλλοι δὲ ξυνοῖς, ἄλλοι δὲ αὐτοῖσι βόεσσιν,
„Ἄλλοι δ' ἀνδραπόδεσσι . . . . . .

Τῷ δὲ δὴ χωρὶς τότε, καὶ ὁ Νομικὸς ἐπεμνήθη (ἐν τοῖς Διγές. περὶ τῶν Συμβολαίων, τῶν ἐν ὠναῖς καὶ πράσεσι: Καὶ Πλίνιος δὲ (ἐν Βίβλ. ΛΓ'. Κεφάλ: Α'.) Quantum, inquit, feliciore ævo cum res ipsae permutabantur inter se; sicut et Trojanis temporibus factitatum Homero credi convenit. Ita enim ut opinor, commercia victus gratia inventa. Alios coriis boum, alios ferri, captivisque rebus amplitasse tradit

„Ἐν χρόνοις ὅσον, φησὶν, ἐντυχεστέροις, ὅτε τὰ πράγ-
„ματα αὐτὰ πρὸς ἄλληλα διεξαμείβετο. Ὡς γενέσθαι ἐπὶ
„τῶν Τρωϊκῶν, πιστεύειν Ὁμήρῳ χρή. Οὕτω γὰρ, ὡς οἶμαι
„τὰ τῆς ἐμπορίας ἔυρηται τροφῆς χάριν. Τὰς μὲν γὰρ
„δέρμασι βοῶν, τὰς δὲ σιδήρῳ, τὰς δ' ἀνδραπόδοις, τὰς δ'
„ἄλλοις τοῖς ἐκ λείας λαφύροις, ἐξωνεμένας παρίσησιν.
Τῇ δὲ παραπλησίᾳ ἀντεπαμείψει κέχρητο, καὶ ὁ τῆ Θεοκρίτε Αἰπόλος, ὅτε τῷ Ναυτίλῳ αἶγα ἀπέδωκεν ὑπὲρ τῆ Κυπέλλε. (Ἐν Εἰδυλ. Α'.)

Καὶ οἱ Λάκωνες δὲ τὰ τῦ Πολυδώρε Ἀνάκτορα μετὰ τὴν ἐκείνε τελευτὴν ἐπὶ βασὶ παρὰ τῆς ἀλόχε αὐτῦ συνωνήσαντο. Ἐξ οὗ καὶ Βοώνητα ἐπεκλήθη, ὡς Παυσανίας διέξεισιν ἐν τοῖς Λακωνικοῖς. Τὸ δ' αἴτιον, ὅτι ἔπω νόμισμα χρύσεον, ἢ ἀργύρεον ἦν ἐν χρήσει: „Ἀργυρίε γὰρ ἐκ ἦν πώποτε, ἢ χρυσᾶ νόμισμα, φησὶ, „κατὰ τρόπον δὲ ἔτι ἀρχαῖον ἀντεδίδοσαν βᾶς καὶ ἀνδρά„ποδα, καὶ ἀργὸν τὸν ἄργυρον καὶ χρυσὸν. Τᾶτο δὲ τῷ τῶν Ἰνδῶν ὑποδείγματι προσεμπεδοῖ, οἱ κἀπὶ τῶν ἐπ' ἐκείνε προσέτι χρόνων, ὑπὲρ ὧν Ἕλληνες πρὸς αὐτὲς ἦγον, ἐκ τῶν παρ' αὐτοῖς ἐμπορευμάτων ἀνταπεδίδοσαν, νόμισμα τὸ σύνολον ἀγνοᾶντες, καί τοι χρυσᾶ καὶ ἀργύρε ἐυμοιρᾶντες δαψιλῶς. Οὕτω δέ τοι καὶ Λίβιος (ἐν Βιβλ. ΚΘ.) ἱσορεῖ, καὶ Μασύλες τὲς ἐν Ἀφρικῇ δήμες, ἐν πύεσι πραγματέυεσθαι συναλάσσοντας, ἐκ ἐν νομίσμασιν. Ἀλλὰ καὶ Λυκᾶργος τετὶ χώραν ἔχειν ἐν Σπαρτιάταις ἐβέλετο, δι' ὧν τᾶτοις ἐνομοθέτησε, κατὰ τὸν ἱσορικὸν Γᾶξῖνον: Emi fingula non pecunia, fed com„penfatione mercium juffit (κελεύσας μὴ νομίσματι, συ„ναλλάγματι δ' ἐμπορευμάτων ἕκαςα διαπιπράσκεσθαι.)

Καί τοιγε καὶ νομίσματος χρῆσιν τοῖς ἐμπορευομένοις γενέσθαι, ἐξ αὐτῦ Ὁμήρε συνάγεσθαι ἔοικεν, ἐν οἷς τῶν ἑκατομβοίων ὁ Ποιητὴς μέμνηται καὶ τῶν ἐννεαβόιων ἐπὶ τῆς τῶν ὅπλων ἀντεπαμείψεως Γλαύκε τε καὶ Διομήδες: (Γλ. Ζ. ς. 236.) Χρύσεα χαλκείων, ἑκατόμβοι ἐννεαβοίων· καὶ ἀλλαχᾶ: (ὡς ἐν Γλ. Β'. ς. 449. καὶ Γλ. Φ'. ς. 79.) φησὶ γὰρ ὁ Σχολιαςὴς, ὡς ὑπῆρχε νομίσματα, ἃ κατὰ τύπον ἀρχαῖον, ἔνθεν μὲν εἶχεν εἰκόνα βοὸς, ἔνθεν δὲ τὴν τᾶ Βασιλέυοντος. Καὶ Πολυδέυκης δὲ (ἐν Βίβλ. Θ. Κεφάλ. Ζ.) γεάφει, τοῖς Ἀθηναίοις ἀνέκαθεν νόμισμα χρηματίσαι καλέμενον βοῦς· „διὰ τὸ ἔχειν βᾶν ἐκτετυπωμένον. καὶ τᾶτο γοῦν ἐπὶ τοῖς ἀνωτέρω ἀνενεχθεῖσιν ἐξ Ὁμήρου πολλὲς ἡγεῖσθαι. Προσίθησι δ' ὅτι καὶ ἐπὶ

τοῖς τῦ Δράκοντος Νόμοις, βοῦς ἔρεπται δεκάβοιος· καὶ ἐν τῇ παρὰ Δηλίοις θεωρίᾳ, τὸν Κήρυκα εἰωθέναι κράζειν, ἐπει-
„δάν τινι δώρημα συνετελεῖτο: Ὅτι δοθήσονται αὐτῷ τοσῦτοι
„βόες, καὶ δίδοσθαι καθ' ἕκασον βῦν δύο δραχμὰς ἀττι-
„κάς ὡς εἰτεῦθεν τὸν βοῦν τιμᾶσθαι διδράχμε. Ἀλλὰ γὰρ ὁ Πλά-
ταρχος (εἰς Βίον Θησέως) λέγει: Πρῶτον τῦτον νόμισμα κόψαι ὑπὸ
βοὸς εἶδει, εἴτε διὰ τὸν ἐν Μαραθῶνι ταῦρον, εἴτ' οὖν εἰς μνήμην τῦ
Ἡγεμονεύσαντος Μίνωος, ἢ ὅτι ἐπὶ τὴν γεωργίαν βεληθεὶς ἀνακαλέ-
σας· ἐξ οὗ δὴ νομίσματος, ὁ τέλεμα ἑκατόμβοιον, ὁ δεκάβοιον,
παρῆκται. Ὅμηρος δὲ συνεχῶς καὶ χρυσᾶ ταλάντων μνημονέυει: (Ἰλ.
Ι'. ς. 122. καὶ Ὀδ. Ι'. ς. 202. καὶ Ὀδ. Ω'. ς. 273.) Ὅτι δὲ
ταῦτα ἐπισεσήμαντο τοῖς Ἕλλησιν, ἐκ ἄδηλον. Καί τοι τῷ βάρει μᾶλ-
λον, ἢ τῷ χήματι κεκόφθαι ἔοικε παρ' αὐτῷ· βαρεῦντα δ' ἔμπης ἐχ'
ἕτω μέγα τῷ βριθει, ὡς ἄν τις ἐκ τῶν ἄθλων τεκμήραιτο, τῶν ἐπὶ τῷ
κήδει τῦ Πατρόκλε, ἔνθα εἰς ἕκατον τῇ τάξει βραβεῖον προτέθη Δύο
χρυσοῖο τάλαντα. (Ἰλ. Ψ'. ς. 269.) Πρίαμος δὲ ὕστερον,
χρυσοῖο ξήσας ἔφερεν δέκα πάντα τάλαντα, (Ἰλ. Ω'.
ς. 232.) τῷ Ἀχιλεῖ πρὸς τοῖς ἄλλοις, ὡς λύτρα ὑπὲρ ἀναῤῥύσεως
τῦ νεκρῦ τῦ ἰδίε υἱῦ προσενέγκας. Ὅτι δὲ καὶ ἡττοβριθέστερόν τι τά-
λαντον ἐφέρετο, παρὰ τὸν Ὅμηρε Σχολιαστὴν, καὶ Σέρβιος παρασημει-
ῦται· (Αἰνειάδ. Βιβλ. Ε'. ς. 112.)

Ἀλλ' ὅπως ἂν τὸ περὶ τέτε καὶ ἔχοι, ἐκεῖνο δὴ ἐκτὸς ἐστὶν ἀμφι-
βολίας, ὅτι παρὰ τοῖς ἀρχαίοις ἔλαττον ἐπεπόλαζε χρημάτων πλῆ-
θος, ὅθεν ἐκείνων τὴν ἀχρηματίαν ἀπεκλαίετο Θεκυδίδης. Προσέτι
δὲ καὶ παρ' αὐτοῖς τοῖς ἐν δυναστείαις ἀνδράσιν, ὡς ὁ Ἡρόδοτος μαρ-
„τυρεῖ, (ἐν τῇ Οὐρανίᾳ.): Ἦσαν γὰρ τὸ πάλαι (φησὶ) καὶ αἱ τυ-
„ραννίδες τῶν ἀνθρώπων ἀδυνατέες χρήμασιν, ἢ μόνον ὁ
„δῆμος: Ὁ δὲ πᾶς πλῆτος ἐν κτήνεσιν ἦκειτο, καὶ μάλιστα βόεσιν:

ὦ δήπε λόγῳ καὶ ταῦτα χρήματα εἴρηται. (ἐν Ὕμνῳ τῷ εἰς Ἑρμ. ς. 400.) οὗ πλείσας τὰς ἐξ Ὁμήρε ἐπιμαρτυρήσεις ἀναφέρει ὁ Παυσανίας· (ἐν τοῖς Μεσσηνιακοῖς:) ἐσπεδάκεσαν δὲ ἄρα (Φάσκων) „οἱ τότε, πλῆτον τινὰ συλλέγεθαι τοιῆτον, ἵππων καὶ „βοῶν ἀγέλας.

ΚΕΦΑΛ. ΙΑ'.

Περὶ Δωρεῶν.

Τῶν δωρεῶν, ὡς οἱ περὶ τὰ Νομικὰ ἐνάσχολέμενοι διαξέλεσιν, αἱ μὲν ὑπὸ τῶν περιόντων ἐν ζῶσι παρέχονται, αἱ δ' ἀπολείπονται ὑπὸ θνησκόντων, ἑκατέρε δὲ τῆ εἴδες ἐκ ὀλίγα, ἐδ' ἀσαφῆ ἁπαντᾷ παρ' Ὁμήρῳ τὰ δείγματα. Πρὸς οὖν τὴν ὑπὸ ζώντων παρεχομένην δωρεὰν ἀνήκει, τὰ φιλοξενικὰ ἐκεῖνα τῶν ἐπιδομάτων, ἃ ξεινήια πρὸς τῆ Ποιητῆ ἁπανταχῆ καλῆται, παντοῖα μὲν αὐτὰ ὄντα, τὰ πλεῖσα δὲ ἐν σκεύεσι καὶ ἐαθήτεσιν ὑφισάμενα· οἷον Τηλεμάχῳ ἀπιόντι Ἑλένη κρατῆρα δίδωσιν ἀργύρεον τοῖς χείλεσι περίχρυσον, καὶ ἐαθῆτα νυμφικήν. (Ὀδυσ. Ο'. ς. 115. καὶ ς. 125.) Ὡσάυτως δὲ καὶ τῷ Ὀδυσσεῖ ἀ„περχομένῳ παρὰ Φαιάκων δέδονται τρίποδες, καὶ λέβητες, καὶ „χρυσὸς, ὑφαντά τε εἵματα καλά. (Ὀδ. Ν'. ς. 217.) Καὶ ὅπλα δὲ δωρεῖαθαι εἰώθεσαν, ὥσπερ Ἀμφιδάμας τῷ Μόλῳ ἐδωρήσατο τὴν κυνέην, (Ἰλ. Κ. ς. 269.) καὶ Κινύρης τῷ Ἀγαμέμνονι τὸν θώρακα, (Ἰλ. Λ. ς. 20.) καὶ Ἴφιτος τὸ πατρῷον τόξον Ὀδυσσεῖ, τῷ ἀμοιβαδὸν ἀντιδωρησαμένῳ (Ὀδυσ: Φ'. ς. 31. ἢ 34.) ξίφος ἢ δόρυ. Παραπλησίᾳ δὲ τῇ ἀντεπαμείψει, Οἰνεῖ τῷ ζωτῆρα χαρισαμένῳ, καὶ Βελ„λεροφότης ἀντεχαρίσατο δέπας ἀμφικύπελλον (Ἰλ. Ζ'. ς. 219. 220.) Τοῦ τοιότε ἔθες ὡς πλεῖσα σώζεται δείγματα, καὶ παρὰ τοῖς ἄλλοις τῶν συγγραφέων: οἷον, ὡς ὅτε τοῖς Ἀργοναύταις Ὀρφεὺς ἔφη,

„τὸν Χείρωνα αὐτῷ δεδωκέναι, Νεβρὴν παρδαλέην ξεινήϊον. Κύ-„ζικον δὲ τὸν Ἄνακτα τοῖς Ἀργοναύταις αὐτοῖς, χλαίνας, ἠδὲ „τάπητας, ἐυνήτας τε χιτῶνας. Οὕτω καὶ Πολυδεύκης παρὰ τῷ Θεοκρίτῳ (ἐν Εἰδυλ. ΚΒ'.) διὰ δώρων προσκαλεῖται Ἄμυκον τὸν Ἄνακτα, ἐπὶ τὸν ἑαυτοῦ οἶκον:

„Ἔλθοις, καὶ ξενίων γε τυχὼν πάλιν οἴκαδ' ἱκάνοις.

Καὶ γε Γάσων ὁμοίως παρὰ Πινδάρῳ (ἐν Ὠδῇ Δ. Πυθ.) τοῖς ἀ-„δελφοῖς τε καὶ ξυγγενέσι ξείνι' ἁρμόζοντα τεύχων. Γράφει δὲ Πλάταρχος, καὶ τὰς Ἀμαζόνας τῷ Θησεῖ πρὸς αὐτὰς ἀφικομένῳ ξένια πεπομφέναι. Οὕτω καὶ Ξενοφὼν περὶ τῶν Λακεδαιμονίων (Ἑλληνικ. Ζ'.) „Ὅτι ἄλλως τε ἐτίμων αὐτὲς, καὶ βοῦν ξένια ἔπεμψαν.

Ταῖς δωρεαῖς ταῖς μεταξὺ τῶν ζώντων συγκαταλεκτέον, καὶ τὰς „ἐπὶ τοῖς γάμοις γιγνομένας. Ἔδνα δὲ Ὅμηρος ὀνομάζει, τὰ ὑπὸ „τῶν μνηστήρων ταῖς μνηστευομέναις διδόμενα, ἃ φησὶν Ἡσύ-χιος. Οὕτως Ὀδυσσεὺς πρὸς Ναυσικάαν διαλεγόμενος φάσκει. (Ὀδ. Ζ'. ς. 158.)

„ . . . . . Μακάρτατος ἔξοχον ἄλλων,
„Ὅς κε σ' ἐέδνοισι βρίσας οἴκαδ' ἀγάγηται.

Καὶ Πολυμήλην δ' Ἐχεκλεὺς, (Ἰλ. Π'. ς. 190.)

„Ἠγάγετο πρὸς δώματ', ἐπεὶ πόρε μυρία ἔδνα.

Ὃν δὴ τρόπον καὶ Ἕκτωρ ἀγαγέσθαι λέγεται Ἀνδρομάχην. (Ἰλιάδ. Χ'. ς. 472.)

„Ἐκ δόμω Ἠετίωνος, ἐπεὶ πόρε μυρία ἔδνα.

Καὶ Νηλεὺς Χλῶριν. (Ὀδυσ. Λ'. ς. 281.) Διὸ καὶ οἱ Πηνελόπης Μνηστῆρες, πρὸς ἀλλήλους ἐρίζοντες ὑπῆρχον, ἐν δώροις ἀντιφιλονεικοῦντες. (Ὀδ. Π'. ς. 392.)

„ . . . . Ὅς κεν πλεῖσα πόροι, καὶ μόρσιμος ἔλθοι.

Τᾷ δὲ πατρὶ ἔθος ἦν τὰ δῶρα παρέχειν, ὡς δῆλον ἐξ ὧν (Ὀδυσ. Θ'. ς. 318.) Ἥφαιστος ἀποδοθῆναι αὐτᾷ βέλεται παρὰ τῦ γεννήτορος τῆς μοιχευθείσης ἀλόχυ, ἃ ὑπὲρ αὐτῆς ἐκείνῳ ἐτύγχανε δεδωκώς.

„ Εἰσόπε μοι μάλα πάντα Πατὴρ ἀποδώσει ἔεδνα,
„ Ὅσσα οἱ ἐγγυάλιξα, κυνώπιδος εἵνεκα κούρης.

Οὕτω τοι καὶ Κτιμένην τὴν Ὀδυσσέως κασιγνήτην οἱ τεκόντες ἐκδεδώκασι πολλὰ δῶρα λαβόντες. (Ὀδυσ. Ο'. ς. 366.)

„ . . . . . Σάμην δ' ἔδοσαν, καὶ μυρί' ἔλοντο.

Καὶ ἦν ἄρα ὠνῆς τι εἶδος ἡ πράσεως τὰ τῶν Γάμων παρ' Ἕλλησιν, ὃ καθ' ἡμᾶς ἀριδήλως γίγνεται παρὰ Τέρκοις, οἷς τισιν ἐπ' ἀριθμητῷ τιμήματι αἱ θυγατέρες παρὰ τῶν τοκέων οἷον πιπράσκονται· τῷ ὄντι δὲ Θεκυδίδης, καὶ Ἀριστέλης δ' ἔτι. (Πολιτικ. Βιβλ. Β'. Κεφαλ. Η'.) ἐκ αἰδῆνται λέγοντες, τὰς γαμετὰς τὸ πάλαι ὠνίας ἀν' Ἑλλάδα προτίθεθαι. Τῆ τοιάτῃ γεμὴν ἔθες, καὶ παρὰ τοῖς ἀρχαιοτέροις Ῥωμαίων ἔθ' ὅ,τι ἴχνος ἐμφαίνεται.

Αἱ δὲ δὴ δωρεαὶ αὗται, μετάγε τὰ ταῖς γυναιξὶ προσήκοντα προκοσμήματα, ἐν πόεσιν ὑφίξαντο, καὶ μάλιξα ἐν βεσίν· ὅθεν αἱ Κόραι καὶ Ἀλφεσίβοιαι εἰρηνται: καὶ τάτε δεῖγμα πρόκειται ἐμφανὲς τὸ ἐπὶ Ἀλκιδάμαντος, τῆ τῇ μνησευθείσῃ αὐτῷ Θεανοῖ (Ἰλ: Λ'. ς. 244.)

„ Πρῶθ' ἑκατὸν βῶς δῶκεν, ἔπειτα δὲ χίλι' ὑπέσχη,
„ Αἶγάς ὁμῦ, καὶ ὄϊς, τά οἱ ἄσπετα ποιμαίνοιτο.

Ὡσάυτως καὶ παρὰ Θεοκρίτῳ (ἐν Εἰδυλ: ΚΖ'.) ἡ Παῖς παρὰ Δάφνιδος τῆ ἐκζητῆντος τὸν γάμον, πυνθάνεται:

„ Καὶ τίμοι ἔδνον ἄγοις γάμυ ἄξιον, ἦν ἐπινέυσω;

Ὁ' δὲ ἀποκρίνεται:

„ Πᾶσαν τὰν ἀγέλαν, πάντ' ἄλσεα, καὶ νομὸν ἔξεις.

Ἀλλὰ γὰρ καὶ τινες ἐξεδίδοντο θυγατέρες ἀνάεδνοι, ἐκ προνομίᾶ· τετέχνιν ἄνευ δωρεᾶς καὶ ἔδνων τῶν ἐπὶ τῷ γάμῳ: ὃν δὴ τρόπον Ἀγαμέμνων τῷ Ἀχιλλεῖ καθυπιχνεῖτο μίαν τῶν θυγατέρων δώσειν ἀνάεδνον: (Ἰλ: Ι'. ς. 146.) Καὶ Ὀθρύων δὲ διωμολογεῖτο Πριάμῳ Κασσάνδραν ἄγεσθ' ἀνάεδνον ἐπὶ συμφωνίᾳ τῇ Τροίαν διασώσασθαι. (Ἰλ: Ν'. ς. 366.) Καὶ γάρ τοι καὶ σύνηθες ἦν, εἴτις τι ἀγώνισμα, ὅπερ ἂν ἀναλάβοιτο, εὐκλεῶς κατορθώσειε, τοῦτον εἰς γάμον τῇ παιδὶ συνάπτεσθαι, ἧς ἐφίοιτο. Καθάπερ ἐν Πέλωψ ἐς Ἅλιν νικήσας ἅρματι:

„ Ἐπεὶ τρεῖς γε καὶ δέκ' ἄνδρας ὀλέσας
„ Ἐρῶντας (τὸν Ἱπποδαμείας) ἀναβάλλεται γάμον.

Καὶ τοῦτον ἐπὶ τῇ νίκει παρὰ Πισάτᾳ ἔχειν ἐπιβραβευθεὶς· ὡς παρὰ Πινδάρῳ (Ὀλυμπ: Α'.) ἐξὶν ἰδειν. Τὸν αὐτὸν τρόπον Οἰνόμαος Πηνελόπην τὴν θυγατέρα, εἰς δρόμον προκαλεσάμενος τὸς μνηστῆρας, τῷ νικήσοντι ἐπεγγυήσατο: ὁ δὲ, ἦν Ὀδυσσεὺς· τοῦθ' ὅπερ κατὰ ζῆλον τῶ Δαναῶ γενέσθαι, Παυσανίας διέξεισιν· (ἐν τοῖς Λακωνικ.) Δαναὸς γὰρ εὐρεῖν ἐκ ἔχων, οἷς ἂν τὰς ἑαυτῶ θυγατέρας ἐπισυζεύξειε, διὰ τὴν τῶν ὁμολέκτρων μιαιφονίαν, ἔδνων ἄνευ ἐπηγγείλατο αὐτὰς ἐπιδώσειν, τῷ κατὰ θέος εὐδοκιμήσοντι. Διὸ καὶ τὸ τοῦ δρόμου ἀγώνισμα πρῶθετο, ἐν ᾧ πολλῶν συνελθόντων, τοῖς προφερεστέροις πάσας ἐν τάξει ἐγκατεζήσατο.

Λείπεται δὴ ἡ δωρεὰ ἡ ἐν θανάτῳ, κατὰ τοιάνδε γινομένη συνθήκην, ὡς εἰ μὲν τελευτήσειεν ὁ τὴν δωρεὰν διδὲς, τὸ δωρηθὲν ἐν δικαίῳ κτήσει, παραμένοι τῷ εἰληφότι: εἰ δ' ἄλλως περιγένοιτο, ἀποδοθείη, ὡς διατεθὲν ἐξὶν ἰδεῖν μεταξὺ Τηλεμάχε τε καὶ Πεισιστ. (Ὀδ: Ρ'. ς. 78. καὶ ἑξ:) Ὃν ἄρα θεσμὸν ἐπαινεῖ καὶ Γεσινιανὸς (ἐν τοῖς institutis, ἤτοι τοῖς Νομοθετήμασι, τοῖς περὶ τῶν δωρημάτων.

Καὶ ὁ Νομικὸς Μαρτιανὸς ἐν τοῖς Διγέσοις: ἔνθα λόγος περὶ τῶν ἐπὶ θανάτῳ δωρεῶν.)

„ Πείρᾳ, ἔ γάρ τ' ἴδμεν ὅπως ἔσαν τάδε ἔργα·
„ Εἶκεν ἐμὲ μνησῆρες ἀγήνορες ἐν μεγάροισι
„ Λάθρῃ κτείναντες, πατρώϊα πάντα δάσνται,
„ Αὐτὸν ἔχοντά σε βέλομ' ἐπαυρέμεν, ἢ τινα τῶνδε.
„ Εἰ δὲ κ' ἐγὼ τέτοισι φόνον καὶ κῆρα φυτεύσω,
„ Δὴ τότε μοι χαίροντι φέρειν πρὸς δώματα χαίρων.

ΚΕΦΑΛ. ΙΒ'.

Περὶ Κληρονομιῶν.

Τὸ τῆς φύσεως δικαίωμα ἀπαιτεῖ, τῶν ἀγαθῶν ὧν ἀπολείπουσιν οἱ τεκόντες, ἀπολαύειν τὰ τέκνα. Πρὸς γὰρ ἐκεῖνα ὁ πόθος ἅπας, καὶ „ἡ πᾶσα σπουδὴ φέρεται τῶν τεκόντων. Ἐπεὶ τὰ ἡμέτερα πάντα „τοῖς ἡμετέροις τέκνοις κατ' εὐχὴν ἑτοιμάζομεν, φησὶ Τρυ„φόνιος (ἐν τῷ Ν. Βιβλ. περὶ τῆς τῶν ἀγαθ: ἐλευθερ.) Εἰς τίνας „γὰρ ἄν τις ἀναγκαιότερον ἔυξαιτο περιουσιάζειν, γυναι„κὸς, ἢ παιδὸς ἐκ ἐπιμεληθεὶς; λέγει Φάλκιδις, ἐν Ἐπιστολ. ΝΔ'. πρὸς Εὐρύθειαν τὴν γαμετήν. Δεινὸν γὰρ, ἄ τις παρ' ἑαυτῷ κτήσαιτο, εἰπερ ὀθνείοις παραλιμπάνη, ὡς Πίνδαρος (ἐν Ω'δῇ Ε'. Ὀλυμ.) ἀποφαίνεται·

„ Ἐπεὶ πλεῖστος ὁ λαχὼν ποιμένα ἔπαντὸν ἄλλότριον
„ Θνάσκοντι συγγερότατος.

Ἀνθ' ὅτε γε Ὀδυσσεὺς πρὸς τοῖς ἄλλοις, οἷς ἐπεύχεται τοῖς ἐν Φαίαξιν ἐνδόξοις, (Ὀδ. Η'. ς. 149.) καὶκεῖνο προσέθετο: τὸ, ὅσα κέκτηνται, τοῖς γειναμένοις ἐξ αὐτῶν εἰς κλῆρον λιπεῖν.

„ . . . . . Καὶ παισὶν ἐπιτρέψαιεν ἕκαστος
„ Κτήματ' ἐνὶ μεγάροισι . . . . . .

Καὶ τοίνυν ἡ τῶν πατρώων ἀγαθῶν διανέμησις, ἐτελεῖτο τοῖς τέκνοις, ἐκ τῶ ἴσα βαλλομένων κλήρων, ὡς ἐπὶ τοῖς Κάστορος ὁρῶμεν, τοῖς Ὑλακίδα υἱέσιν. (Ὀδ. Ξ. ς'. 208.)

„ . . . . . Τοὶ δὲ ζωὴν ἐδάσαντο
„ Παῖδες ὑπέρθυμοι, καὶ ἐπὶ κλήρες ἐβάλοντο.

Τῷ δ' Ὀδυσσεῖ, ἑαυτὸν ἕνα ἐν αὐτοῖς ἀριθμῦντι, βραχέα δέδοται, ὅτε ἐκ παλλακῆς γενομένῳ. Οἱ κλῆροι δὲ τοῖς παλαιοῖς τὰ πλεῖσα ἐκ ξύλω ὑπῆρχον· διὸ καὶ Ἡρωδιανὸς ὁ Γραμματικὸς τὸν κλῆρον παράγει παρὰ τὸ κάλον· ἐν δ' αὐτᾷ ἴδιον σύμβολον, ἤτοι σύνθημα ἐνέγραφον, ὡς ἐσὶ δῆλον ἐκ τῆς Η'. Ἰλιάδος, ς. 175.) Ἔνθα τὲς τῶν Ἑλλήνων ἀρίσες λαχεῖν ἔδει τὴν πρὸς τὸν Ἕκτορα μάχην:

„ . . . . . ᾗ κλῆρον ἐσημήναντο ἕκαστος·
„ Ἐν δ' ἔβαλον κυνέῃ Ἀγαμέμνονος Ἀτρείδαο. (Ἀυτ. ς. 176.

Εἶτα τὴν κυνέην μικρὸν ἀναπάλλοντες, ἐξῆγον:

„ . . . . Πάλλεν δὲ Γερήνιος ἱππότα Νέσως (Ἀυτ. ς. 181)

Ὅπερ οὖν καὶ ὑπὸ τῶν Ὀδυσσέως ἑταίρων ἐγένετο, τῶν τῇ Κίρκῃ προσελευσομένων: (Ὀδυσ. Κ'. ς. 206.) Καὶ οὕτω δὲ ᾗ Οὐϊργίλιος:

conjectamque Aenea fortem accepit galea: * *

Ἐπὶ δὲ τέτῳ ἄλλως καὶ Κάλπη ἐν χρήσει ἐγίνετο.

Εἰ δ' ἄρα τέκνων ἀμοιρῆντες ἐτύγχανον, ἡ διαδοχὴ μετέπιπτεν ἐπὶ τὲς πορρώτερω, ὡς δῆλον ἐκ τῆς Ἰλιάδ.) Ε'. ς. 158.) Ἔνθα Φάινωψ,

ἀναιρεθέντοιν αὐτῷ τῶν υἱέων, ἐδένα λέγεται ἐπιτεκέσθαι ὡς λιπέσθαι ἐπὶ κτεάτεσσι.

„ . . . . . Χήρωσαι δὲ διὰ κτῆσιν δατέοντο.

„Ο μὲν οὖν Εὐσάθιος ἱστορεῖ: καθεσταναι τι τάγμα ἐν ταῖς πό-„λεσι τὸ διοικεῖν τὰς ἀκληρονομήτους· ἦγουν τὰς χηρεύου-„σας διαδόχων. Ἀλλ' ἐδοκεῖ ταῖς τοιάσδε περιουσίαις, ἐπὶ τὰς τοι-„αύτας διοικητὰς μεταπίπτειν, καὶ μὴ ἐπὶ τὰς ὁπωσοῦν τῷ γένει τῶν „τελευτώντων προσήκοντας, ὁπότε μάλιστα ἀναδασμὸς ὧδε γίγνεται „μενέα· καὶ τοίνυν ἄμεινον οἶμαι τὸ ῥηθὲν ὑπὸ Ἡσυχίου: ὅτι χηρω-„σαὶ εἰσὶν οἱ μακρόθεν συγγενεῖς, οἱ μακρόθεν κατὰ γένος „προσήκοντες: καὶ καθὰ φησὶ Πολυδεύκης: οἱ τῷ ἑρήμῳ γένει „προσήκοντες: οἱ τῷ οἴκῳ δηλονότι τῷ χηρωθέντι τῶν ἰδίων κληρο-νόμων, διὰ τῆς ἐξ αἵματος κοινωνίας, συναπτόμενοι. Οὕτω δὲ καὶ Ἡσί-οδος ἐν τῇ Θεογονίᾳ (ς. 603.) Περὶ βίου λέγων ἀγάμου, ἐν ᾧ τις τὰ μὲν χρειώδη κεχορήγηται ἀποχρώντως, τοῦ δὲ γήρως ἐπιόντος ἀμοι-ρῶν ἐστιν ὅθεν ἂν ἔχοι ἀντίληψίν τινα καὶ περίθαλψιν:

„Ὅστις γάμον φεύγων, καὶ μέρμερα ἔργα γυναικῶν
„Μὴ γῆμαι ἐθέλῃ, ἀλοὸν δ' ἐπὶ γῆρας ἵκηται
„Χήτει γηροκόμοιο· ὁ δ' ἀβίοτος ἐπιδευὴς
„Ζώει, ἀποφθιμένου δὲ διὰ κτῆσιν δατέονται
„Χήρωσαι . . . . . .

Τὰ δ' ἔπη ταῦτα ὁ Σχολιαστὴς ἐκφράζων, φησί: τοῦ οἴκου „χηρεύοντος, καὶ ἐρήμου ὄντος τέκνων κληρονόμων τῆς „οὐσίας τῆς πατρικῆς, οἱ πόρρωθεν συγγενεῖς (ἴσχι) δη-„μόσιοί τινες ἅρπαγες καὶ ἀλλότριοι τοῦ γένους, διαμερί-„ζονται τὴν τοιαύτην οὐσίαν. Καίτοι γε τυχὸν, καὶ Δικαστήρι' ἄττα συνειστήκει ὑφ' ὧν τὰ τοιαῦτα ἀγαθὰ τοῖς τῷ γένει πελάζουσι

διανέμοιτο. Ἄλλως γ' ἐς, εὐδὲ καινὸν ἦν, εὐ' ἄηθες, τῷ τὴν ἀδέσποτόν τε καὶ ἀκληρονόμητον περιουσίαν, ἐπὶ τὸ δημόσιον: ἀνατρέπειν: τετέχθαι εἰς τὸ ταμεῖον τῷ Ἄρχοντος ἀνατίθεσθαι.

ΚΕΦΑΛ. ΙΓ.

Περὶ Γάμων.

Οἱ παρὰ τοῖς πάλαι Ἕλλησι γάμοι, μεταξὺ τῶν τυχόντων προσώπων συνίσαντο, πλὴν τῶν φυσάντων μεταξὺ καὶ τῶν φύντων· Τὴν γὰρ τοιάνδε συζυγίαν παρ' αὐτοῖς ἀθέμιτον κρίνεσθαι, καὶν μόνη ἡ Οἰδίπε τε καὶ Ἰοκάστης τραγικὴ ἱστορία ἐμφαίνει, ἧς ὁ Ποιητὴς ἅπτεται: (Ὀδυσ. Λ. ς. 270. κξ.) ἐν δὲ τοῖς ἄλλοις, βραχὺς, ἢ οὐδὲς ἦν ὁ λόγος τῆς κοινωνίας τῆς ἐκ τοῦ αἵματος. Οὕτω γὰρ (ἐν προοιμίοις τῆ Κ'. τῆς Ὀδυσσ: ς. 7.) τὰς ἐξ τοῦ Αἰόλου υἱέας, ταῖς ἰσαρίθμοις τῶν αὐτῶ θυγατράσιν, εἰς γάμον εἵρηται συνεζεῦχθαι. Καὶ ἡ Τυρὼ δὲ, (Ὀδυσσ: Λ'. ς. 234.) Κρηθεῖ γεγάμηται τῷ Ὀμάιμονι. Καὶ Ἰφιδάμας (Ἰλ: Λ'. ς. 226.) τὴν Τιτθίδα ἠγάγετο, τὴν Κισσέως τοῦ προμητρὸς αὐτῶ Πάππε· καθάπερ καὶ Διομήδης, καὶ Ἀλκίνοος Ἀρήτην, τὴν ἐξ ἀδελφοῦ ἀνεψιὰν: (Ὀδυσσ. Η'. ς. 66.) παραπλησίως Δηίφοβος ἀκοίτην ἔχεν Ἑλένην, τοῦ Κασιγνήτε προτελευτήσαντος. Ἕλενος δὲ Ἀνδρομάχην, τὴν πρόσθεν ἄλοχον Ἕκτορος.

Ἐν γάμοις τοῖς γε ὀρθῶς ἐκτελεσθησομένοις ἐπαινεῖται πρὸς Ὀμήρε ἡ Ἥβη. Οὕτω γὰρ Αἰόλε οἱ παῖδες λέγονται ἡβόωντες. Καὶ Κισσεὺς δὲ τῷ Ἰφιδάμαντι συνέζευξε τὴν θυγατέρα: (Ἰλ:: Λ'. ς. 225.)

... . Ἐπεὶ ῥ' Ἥβης ἐρικυδέος ἵκετο μέτρον.

Διδάσκει δ' Ευσάθιος, καίριον τὸν γάμον δηλῶσθαι, „ὅτε δὴ „φίλτατος ἂν εἴη τῇ νύμφῃ ὁ γαμέτης, καὶ ἡδὺς ἐν τοῖς „στρώμασιν· οὕπερ, κατὰ τὸν Ὅμηρον, χαριεσάτη ἡ ἥβη „καὶ ἡδεῖα· διόπερ ἡ Σαπφὼ ἄχαριν ἀπεκάλει τὴν παῖδα, τὴν μήπω εἰς γάμου συζυγίαν ἐν ὥρᾳ συγχάνεταν. Ὁ δέ τοι Δάφνις τέναντίον ὑπὸ Θεοκρίτου (ἐν Εἰδυλ: Η'.) χαρίεις εἴρηται. Οὕτω καὶ παρὰ Πινδάρῳ (Ὀλυμπ. Α'.) ὁ Πέλωψ, τοῦ πρώτου χνοῦ αὐτῷ ἐπανθοῦντος, περὶ γάμου ἐσκέψατο:

„Πρὸς εὐάνθεμον δ' ὅτε φυὰν,
„Λάχναι νίν μέλαν γένειον ἔρεφον,
„Ἑτοῖμον ἀνεφρόντισεν γάμον.

Ὁμοίως (Πυθ: Θ'.) πολλοὶ μνηστῆρες Λίβυσσαν μεταιτοῦντες τὴν παῖδα:

„. . . . . Χρυσοσεφάνοιο . . . Ἥβας
„Καρπὸν ἀνθήσαντ' ἀποδρέψαι ἔθελον.

Καὶ τοῦτο δὲ παραφυλάττεσθαι δεῖν οἱ Ρωμαίων διηγόρευον νόμοι, τοῦ μὴ πρὸ τῆς Ἥβης γαμικὰς συνίσασθαι συζυγίας. Η' δὲ προθεσμία τοῖς μὲν ἄῤῥεσιν ἐν τῷ τεσσαρεσκαιδεκάτῳ ὥρισται ἔτει, ταῖς δὲ θηλείαις ἐν τῷ δωδεκάτῳ: καί περ τόγε πλῆσες τῆς Ἥβης, ὑπὸ Μοδεσίνου (ἐν Βίβλ: Μ'. τῶν Διγέσων περὶ τῶν υἱοθεσιῶν) ἐπὶ ἔτεσ περιγέγραπται τοῦ ὀκτωκαιδεκάτου· ὅπερ οὖν καὶ παῤ Ἕλλησι δόξαν, Φιλόστρατος ἐκδιδάσκει: (ἐν Β'. Βιβλ. τῶν εἰς τὸν βίον Ἀπολλωνίου.) Οὕτω δέ τοι καὶ παρὰ Θεοκρίτῳ (ἐν Εἰδυλλ: ΙΕ'.) ὀκτωκαι„δεκέτης, ἢ ἐννέα ἐπὶ δέχ' ὁ γαμβρὸς ἀναγορέυεται ἑνιαυτοὺς ἄγων.

Συνίσατο δὲ τὰ τῶν γάμων κατὰ βάλτιν τῶν γεννητόρων. Οὕτως Ἀχιλεὺς παρητεῖτο τὴν Ἀγαμέμνονος θυγατέρα, ὅτι ὁ πατὴρ

Πηλεὺς εἰς γυναῖκα οἵκοι αὐτῷ ἐπάξεται ἄλλην (Γλ: Ι'. ς. 594.)

„ Πηλεὺς θήν μοι ἔπειτα γυναῖκα γαμέσσεται αὐτός.

Ἡ τε Βρισηὶς τὸν ἀναιρεθέντα αὐτῆς γαμέτην θρηνολογεῦσα: (Γλ: Γ'. ς. 291.) φησίν:

„ Ἄνδρα μὲν, ᾧ ἔδοσάν με πατὴρ, καὶ πότνια μήτηρ.

Ἡ δὲ Ναυσικάα ἔφη (Ὀδυσ: Ζ'. ς. 287. 288.) ἐπινεμεσᾶν ἐκείνῃ:

„ Ἣ τ' ἀέκητι Φίλων πατρὸς καὶ μητρὸς ἐόντων,
„ Ἀνδράσι μίσγηται . . . . . .

Ὁ δ' Ἀντίμαχος τέως Τηλεμάχῳ κελεύει ἐπιτρέψαι τῇ μητρὶ γαμηθῆναι: (Ὀδυσσ: Β'. ς. 114.)

„ Τῷ, ὅτεῳ τε πατὴρ κέλεται, καὶ ἀνδάνει αὐτῇ.

Καὶ ἡ Ἥρα δὲ παρὰ τῷ Μεσαίῳ:

„ Ἄμφαδὸν ἂ δυνάμεσθα γάμοις ὁσίοισι πέλεσθαι.
„ Οὐ γὰρ ἐμοῖς τοκέεσσιν ἐπευαδε . . . . .

Τὸ δ' αὐτὸ καὶ παρὰ τῷ Ξενοφῶντι, (ἐν Η'. τῆς Κυροπ:) ὁ „ Κῦρος φησι: Τό, τε γένος ἐπαινῶ καὶ τὴν παῖδα, καὶ (τὰ) „ δῶρα: βέλομαι δὲ σὺν τῇ τοῦ πατρὸς γνώμῃ καὶ τῆς „ μητρὸς ταῦτα σοι συναινέσαι. Οἱ δὲ Τερτυλλιανὸς πρὸς τὴν σύζυγον: nec in terris filii, fine conſenſu patrum rite & „ jure nubant. Οὐδ' ἐπὶ γῆς τὰ τέκνα, τῆς τῶν γονέων „ ἄνευ συγκαταινέσεως, ὀρθῶς τε καὶ κατὰ δίκαιον γαμεί- „ σθωσαν. Ἔνθεν τοι καὶ ὁ Αὐτοκρ: Ἰξινιανὸς ἐν τοῖς περὶ τῶν γάμων institutis (Διαταγαῖς) διεθέσπισε: Rationem civilem et naturalem hoc ſuadere in tantum, ut parentis juſſus „ praecedere debeat. Τόν τε πολιτικὸν λόγον, καὶ τὸν κατὰ

„φύσιν, τόδε πείθειν, ἐφ' ὅσον τὸ ὑπὸ τῦ τεκόντος κελε-
„υόμενον δεῖ προηγεῖθαι.

Ἀλλ' ὥσπερ ὑπὸ τῦ μνησεύοντος δῶρα ἐδίδοτο τῇ μνησευομένῃ, οὕτως ἀμοιβαδὸν καὶ αὕτη δωτίνας ἀπεφέρετο παρὰ τῶν γονέων **προῖκα**. Τοιᾶδε λόγῳ ἡ Ἀνδρομάχη πολύδωρος εἰρηται, (Ἰλιάδ: Ζ'. ς. 394.) ὅτι πολλὴν τῷ Ἕκτορι εἰσηνέγκατο προῖκα. Ἀλλὰ καὶ Ἑκάβη εἴρηκε, πολλὰ τὸν γεννήτορα δεδωκέναι: (Ἰλ: Χ'. ς. 51.)

„ **Πολλὰ γὰρ ὤπασε παιδὶ γέρων ὀνομάκλυτος Ἄλτης.**

Οὕτω καὶ Ἀλκίνοος ἐπιγαμβρεῦσαι οἱ αὐτῷ ἐφιμείρετο τον Ὀδυσσέα, καὶ εἶκον τέτῳ ὑφίσατο δώσειν καὶ κτήσεις. (Ὀδ: Η'. ς. 314.)

„ . . . . **Οἶκον δὲ ἐγὼ καὶ κτήματα δοίην.**

Ὑπιχνεῖτο δὲ καὶ Ἀγαμέμνων Ἀχιλλεῖ τὸ θυγάτριον, δαψιλέσατα προικιεῖν (Ἰλ: Ι'. ς. 147.)

„ . . . . . **Ἐγὼ δ' ἐπιμείλια δώσω**
„ **Πολλὰ μάλ', ὅσσ' ὄυπω τις ἑῇ ἐπέδωκε θυγατρί·**
„ **Ἑπτὰ δέ οἱ δώσω ἐυναομένα πτολίεθρα. κτ. κτ.**

Οἱ μὲν οὖν Σχολιασὴς **προῖκα** νοεῖ· καὶ τάγε **μείλια** ἑκτίθησιν τὰ οἷς μειλίσσονται τοὺς ἄνδρας: ἀλλ' Ἡσύχιος τὸ **ἐπίπροικον** ἑρμηνέυει: οἱονεὶ προῖκα ἐπείσακτον, καὶ ἐν μοίρᾳ ἐπιθήκης τῆς προικὸς ἐπάυξησιν, παρὰ τὴν προῖκα τὴν ἐκτελεσικὴν, (perfectitiam) ὡς Οὐλπιανὸς φράζει καὶ δοκεῖ τῦτο ἐναπαιτεῖν τὸ (ἐπὶ) τὸ ἐν συν-
„θέσει δύναμιν ἔχον προεπαυξήσεως. Διὸ αἱ πόλεις αὗται εἶεν
„τῆς προικὸς ἐπίβλημα ἢ προθήκη. Ἕλληνες καλῦσι **παράφερνα**: Ἡ δὲ φωνὴ καὶ ἐπὶ τὸ Ῥωμαϊκὸν δικαίωμα μετηνέχθη. (ἐν Βιβλ: Θ'. ς. 11. τῶν **Διγές**: περὶ τῦ ἐν προιξὶ δικαίυ.) οὗ τηλαυγὲς παράδειγμα κεῖται παρὰ Λιβίῳ. (ἐν Βιβλ. Ις'.) ἐν οἷς Σκι-

πίων Καρχηδόνα ἑλὼν, τὴν εὐγενείᾳ διαφέρουσαν παρθένον, τὴν Ἀλκμήνῃ τῷ ἄρχοντι προμνησευθεῖσαν, οὕτως ἀπέδωκεν, ὡς καὶ τὰ λύτρα τὰ ὑπὸ τῶν τοκέων αὐτῆς ληφθέντα ἐπὶ τῇ προικὶ προσθέσθαι. Super dotem, (inquit) quam accepturus a socero es, haec tibi a me dotalia dona accedunt; aurumque tollere; ac sibi habere jussit. (Ἐπὶ τῇ προικὶ (ἔφη) ἣν „παρὰ τοῦ κηδεστοῦ λήψῃ, ταῦτα σοι πρὸς ἐμοῦ δῶρα „προικιῶα προσέσται. Καί γε τὸν χρυσὸν ἆραι, καὶ ἑαυτῷ „ἔχειν ἐκέλευσε.)

Τὴν δὲ δὴ τοιάνδε προῖκα, τοῦ γάμου λυθέντος, τὰς γαμετὰς ἦν ἔθος ἀνακομίζεσθαι, ὡς δῆλον ἐξ ἐκείνε, ὃ πρός γε τοῖς ἄλλοις ἐδεδίει Τηλέμαχος· ὅτι τῆς μητρὸς ἀπολυθείσης, ἀναγκαθείη καὶ τὰ ἐπιδοθέντα αὐτῇ εἰς προῖκα Ἰκαρίῳ τῷ τούτης γεννήτορι ἀποδῦναι. (Ὀδ: Β'. ς. 132.)

. . . . . Κακὸν δέ με πολλ' ἀποτίναν·
„Ἰκαρίῳ, αἴκ' αὐτὸς ἑκὼν ἄπο μητέρα πέμψω.

Οἱ, καὶ τοῖς τῶν αὐτοκρατέντων νομοθετήμασι τηρεῖσθαι τεθέσπισαν παρὰ Ῥωμαίοις· (ἐν τῇ Ε'. Βιβλ: τοῦ Κώδικ: ἐν τίτλῳ: „Τοῦ γάμου ἤδη λυθέντος, ὅπως ἡ προῖξ ἀπαιτῆται.

ΚΕΦΑΛ: ΙΔ'.

Περὶ τῆς Τελετῆς τῶν Γάμων.

Τελετῇ τινὶ ἑορτάζων, τὴν Νύμφην ἦγεν ὁ Νυμφίος εἰς τὸν ἴδιον οἶκον. Οὕτως Αἴγισθος τὴν Κλυτεμνήστραν, (Ὀδ: Γ'. ς. 272.)

„. . . Ἐθέλων ἐθέλουσαν ἀνήγαγεν ὅνδε δόμονδε.

Καὶ τόγε τῇ Ναυσικάᾳ ῥηθὲν, (Ὀδυσ: Ζ'. ς: 149.) ταὐτὸ δείκνυσιν.

„Ὅς κέ σ' ἐέδνοισι βρίσας οἶκον δ' ἀγάγηται.

Ἔνθεντοι καὶ Ἡσίοδος ἐποίει ἐπὶ τῆς Ἡρακλέους ἀσπίδος, (ς. 273.)

„. . . . Τοὶ μὲν γὰρ Εὔυσσώτρω ἐπ' ἀπήνης
„Ἤγοντ' ἀνδρὶ γυναῖκα . . . . . .

Ἐπ' ἀπήνης καὶ γὰρ τὰ πλεῖστα ἐώθεσαν ἄγεσθαι, ὡς παρετήρησε καὶ Πολυδεύκης, (ἐν τῷ Γ'. Αιβλ: Κεφ: Γ'.)

Οἶκος δὲ τὰ πολλὰ νεόδμητος ἐπὶ τέτῳ ὑπὸ τῆ Νυμφίῳ κατεσκευάζετο: (Ὀδυσ: Ο'. ς. 241.)

„Ἐνθάδ' ἔγημε γυναῖκα, καὶ ὑψερεφὲς θέτο δῶμα.

Οὕτω καὶ (Ἰλιάδ: Β'. ς. 701.) περὶ τῆ Πρωτεσιλάε εἴρηται, ὅτι ἐν τῷ πολέμῳ πεσόντος, ὑπολέλειπται ὁ δόμος ἡμιτελὴς, ὡς γάμῳ συζυγέντος ἀρτίῳ, ἐπεὶ κατὰ τὸν Σχολιαςὴν: Ἔθος ἦν τοῖς γήμασι θάλαμον οἰκοδομεῖσθαι.

Καὶ παρὰ τῷ Θεοκρίτῳ δὲ διεπυνθάνετο ἡ νεόνυμφος: (ἐν Εἰδυλ: Λ'.)

Τέυχεις μοι θάλαμον; τεύχεις κὴ δῶμα κὴ ἀυλάς;

Προῆγον δ' ἐξ ἔθεν λαμπάδες καὶ δᾷδες ἀγομένης τῆς Νύμφης. (Ἰλ: Σ'. ς. 492.)

„Νύμφας δ' ἐνθαλάμων δαΐδων ὑπολαμπομενάων
„Ἤγίνεον ἀνὰ ἄςυ . . . . . .

Οὕτω καὶ Ἡσίοδος (ἐν τῇ Ἡρακλ: ἀσπίδ. ς. 275.)

„Τῆλε δ' ἀπαυθομένων δαΐδω σέλας ἐλύφαζε
„Χερσὶν ἐνὶ δμώων . . . . . .

Καὶ παρ' Εὐριπίδῃ δ' ὁμοίως ἡ μήτης ἀπολοφύρεται, ὅτι τῷ υἱεῖ λαμπάδα γαμήλιον οὐκ ἀνῆψεν:

„Ἐγὼ δὲ ἔτι σοι πυρὸς ἀνῆψα φῶς
„Νόμιμον ἐν γάμοις, ὡς πρέπει μητρὶ μακαρίᾳ.

Ωσάυτως καὶ Ἀγάυη παρὰ τῷ Νόννῳ (Διονυσ. ΜΣ'.)

„ Οὔπω τοῖς θαλάμοισιν ἐκέφισα νυμφοκόμον πῦρ

Καὶ ἆσμα δὲ προσήδετο ὁ Ὑμέναιος, καθὰ ἐν οἷς εἰρηται ὑπὸ Ὁμήρε τε καὶ Ἡσιόδου προστίθεται:

„ Πολὺς δ' Ὑμέναιος ὀρώρει. (ἔφασκε δὲ καὶ Ἀγάυη:)

„ Οὐ ζυγίων ἥκεσα τεῶν ὑμεναίων ἐρώτων.

Καὶ Πολυδεύκης δὲ ὀνομάζει: τὸ δὲ ἆσμα τὸ γαμήλιον „ Ὑμήν, καὶ Ὑμέναιος. Τὸ δ' ὄνομα σὺν τῷ πράγματι καὶπὶ Ῥωμαίους παρῆλθεν; οἷα πε καὶ ἄλλα πολλὰ τῶν γαμηλίων ἐθῶν· ὡς Τερέντιος ἔχει ἐν Ἀδελφοῖς λέγων:

Hymenaeum, turbas, lampadas, tibicines.

„ (Ὑμέναιον, θορύβες, λαμπάδας, αὐλῳδές.)

Προσῆδον δὲ μάλιστα αἱ τῇ Νύμφῃ ἑταῖραι νεάνιδες, ὡς Πίνδαρος σημειοῖ: (Πύθ. Ὠ'δ: Γ'.)

„ Οὐκ ἐμεὶ ἐλθεῖν τράπεζαν νυμφίαν;
„ Οὐδέ παμφώνων ἰαχὰν
„ Ὑμεναίων· ἄλικες
„ Οἷα παρθένοι φιλέοισιν ἑταῖραι
„ Ἑσπερίαις ὑποκ-
„ ρίζεσθ' ἀοιδαῖς.

Οὗ παράδειγμα προδηλότατον πρόκειται ἐν τῷ ἐπιθαλαμίῳ Ἑλένης παρὰ τῷ Θεοκρίτῳ.

Καὶ ὄρχησις δὲ ὑπὸ συμφωνίᾳ μουσικῶν ὀργάνων συγκροτεῖσθαι εἰώθει. (Ἰλ: Σ'. 5. 494.)

„ Κῆροι δ' ὀρχηςῆρες ἐδίνεον ἐν δ' ἄρα τοῖσιν,
„ Αὐλοὶ Φόρμιγγές τε βοὴν ἔχον . . . . .

Οὕτως ἐν τοῖς Μεγαπένθες γάμοις (Ὀδυσ: Δ'. ς. 18.)

„. . . . Δοιὼ δὲ κυβιςητῆρε κατ' αὐτὰς
„ Μολπῆς ἐξάρχοντες, ἐδίνευον κατὰ μέσσον.

Καὶ Ὀδυσσεὺς δὲ ὁπότε οἶκοι παρ' ἑαυτῷ γάμε τελετὴν ἠθέλησεν ὑποκρίναθαι, ἀοιδὸν ἐκέλευσε μεταπεμφθῆναι τὸν τῆ Ποθεμένε ἐπιμελησόμενον: (Ὀδυσ: Ψ'. ς. 145.)

„ Μολπῆς τε γλυκερῆς, καὶ ἀμύμονος ὀρχηθμοῖο.

Καὶ παρ' Ἡσιόδῳ δ' ὡσαύτως ἐν τῆ Ἡρακλ: Ἀσπίδι, (ς. 278 καὶ ς. 280.) περιγράφοντι τὰ τῶν γάμων:

„ Τοὶ μὲν ὑπαὶ λιγυρῶν συρίγγων ἴεσαν ἀοιδὴν,
„ Αἱ δ' ὑπὸ Φορμίγγων ἄναγον χορὸν ἱμερόεντα.

Ἐγίνετο δὲ τοιαῦτα, καὶ παιδαισίας μεγαλοπρεπῆς παρατιθεμένης: ἣν καὶ γάμον ὀνομάζειν Ὅμηρος χαίρει, ὡς ἢ οἱ Λατῖνοι Nup-„tias. (Πολυδέυκ.) Ὅμηρος μέντοι, ἐ τὸ ἔργον μόνον, ἀλλα „καὶ τὴν ἑστίασιν γάμον καλεῖ. (Ὀδυσ. Α'. ς. 226.)

„ Εἰλαπίν' ἠὲ γάμος, ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐςί.

Οὕτω Τηλέμαχος ἐς Σπάρτην κατάρας εὗρε Μενέλαον, (Ὀδ: Δ'. ς. 3. 4.)

„ . . . . Δαινῦντα γάμον πολλοῖσιν ἑτῆσιν
„ Υἱέος, ἠδὲ θυγατρὸς ἀμύμονος ᾧ ἐνὶ οἴκῳ.

Ἥτε Βρισηΐς θρηνοῦσα Πάτροκλον νέκυν, τὸν μετὰ τοῦ Ἀχιλλέως ὑμέναιον αὐτῆ, φησὶ, καθυποχέθαι: (Ἰλ: Τ'. ς. 299.)

„ . . . . Δαίσειν δὲ γάμον μετὰ Μυρμιδόνεσσιν.

Ἐπὶ οὖν γάμων τελεσθησομένων ἔδει καὶ ἐδῆτα ἀμείβειν, καὶ διὰ λετῆρος προκαθαρθῆναι· Οὕτω γὰρ καὶ Ὀδυσσεὺς κεκελεύκει: (Ὀδυσ: Ψ'. ς. 131.)

„ Πρῶτα μὲν ἄρ' λούσασθε, καὶ ἀμφιέσασθε χιτῶνας·
„ Δμωὰς τ' ἐν μεγάροισιν ἀνώγετε εἰμαθ' ἑλέσθαι.

Ἔνθεν τοι καὶ Ἀθήνη καθυπέβαλλε τῇ Ναυσικάᾳ, (Ὀδ: Ζ'. ς. 27.)

„ Σοὶ δὲ γάμος χεδόν ἐστιν, ἵνα χρὴ καλὰ μὲν αὐτὴν
„ Ἔννυσθαι, τὰ δὲ τοῖσι παραχεῖν, οἵπε σ' ἄγωνται.

Τὸ δ' ἔθος τόδε τοῖς ἀνατολικωτέροις ἔθνεσιν εἶναι πάτριον ἡ Εὐαγγελικὴ ἱστορία διδάσκει σαφῶς, καθ' ἣν ἀπελάυνεσαι τῆς ἐξιάσεως, ὁ μὴ χιτῶνα ἠμφιεσμένος τὸ Νυμφῶνος ἄξιον. Τοιγαροῦν καὶ σύνηθες ἦν ὑπὸ τῷ Νυμφίῳ τῇ Νύμφῃ τὰ Νυμφικὰ παρέχεσθαι ἄμφια, ὡς ἐκ τῆς ἐθῆτος δῆλον, ἧς Ἑλένη Τηλεμάχῳ δίδωσιν εἰς τοῦτο τῆς χρήσεως: (Ὀδυσ: Ο'. ς' 126. κτ.)

„ Μνῆμ' Ἑλένης χειρῶν, πολυηράτε, εἰς γάμου ὥρην
„ Σῇ ἀλόχῳ φορέειν . . . . . .

Τελευταῖον τῷ τρυφερῷ λέκτρου ἐν τῇ παστάδι ἑτοίμου ἔντος ὁ Νυμφίος ἔλυε τὴν ζώνην τῆς Νύμφης· τάυτη τοι Ποσειδὼν ἐν ᾧ τὴν Τυρῶ δάμνυσιν: (Ὀδυσ: Λ'. ς. 244.)

„ Λῦσε δὲ παρθενικὴν ζώνην, κατὰ δ' ὕπνον ἔχευε.

Καὶ τῷ ὕμνῳ τῷ εἰς τὴν Ἀφροδ. (ς. 165.) Ἀγχίσης:

„ Λῦσε δέ οἱ ζώνην, ἠδὲ εἵματα σιγαλόεντα.

Καὶ παρὰ τῷ Θεοκρίτῳ (ἐν Εἰδυλ: ΚΖ'.) ἡ παῖς πιεζουμένη ὑπὸ τῷ Δάφνιδος ἀνέκραγε:

„ Φεῦ Φεῦ! καὶ τὴν μίτραν ἀπέχισας· ἐς τί δ' ἔλυσας;

Ο' δὲ Μόχος ἐν Εὐρώπῃ τῇ ἀπαχθείσῃ (Εἰδυλ. Β')

„ Οὐδ' ἄρα παρθενικὴν μίτρην ἄχραντον ἐρύθας.

Οὕτω δέ τοι κἀκείνη παρ' Ο'υϊδίῳ (ἐν Ε'πις:)

Cui mea virginitas avibus libata ſiniſtris,
Caſtaque fallaci zona revincta manu.

„ (Τῷ μευ παρθενίη οἰωνοῖς σπεῖσο κακοῖσι,
„ Μίτρη δ' ἀγνήπερ, χερσὶ λέλυτο δόλῳ.)

ΚΕΦΑ'Λ. ΙΕ.

Περὶ Γάμων Δευτέρων.

Ε'ς τόσοῦτον ἁγία τε ἦν, καὶ τηρεῖσθαι ὁσία τοῖς πάλαι ἡ τῆς συζυγείας ἑυνῆς καθαρότης, ὥστε τὰς γυναῖκας ἐκ ἐυσεβὲς εἶναι ὑφορᾶσθαι ἀνδρὶ ἑτέρῳ ἐν δευτέροις γάμοις προσομιλεῖν. Δεῖγμα δ' ἐμφανέστατον τὸ ἐπὶ τῆς Πηνελόπης, ἥτις ὑπὸ πολλῶν ἐπειγομένη μνηστήρων, γεινναίως ἀντέση, τῶ τε ὁμοζύγε αἰδεμένη τὸ λέκτρον καὶ τὸ τῶ λαῶ δύσφημον, ὡς αὐτὴ φησιν: (Ο'δυσ: Π'. ς. 151.)

„ Εὐνὴν τ' αἰδομένη πόσιος, δήμοιό τε φῆμιν.

Τῶτο δὲ κατ' ἐυχὴν ὑπῆρχε τοῖς γαμέταις, οἳ καὶ μετὰ τελευτὴν, ὡς ἐπείθοντο οἱ ἀρχαῖοι, ἀκεραίες ἐφίεντο τὰς ἀλόχες ἑαυτοῖς ἔχειν: καθάπερ Ι'βσινιανὸς ἀπεφήνατο: Animam mariti defuncti ſecundis nuptiis contriſtari. „ (Τὴν τῶ τετελευτη-

„κότος ἀνδρὸς ψυχὴν ἐπὶ τοῖς δευτέροις γάμοις τῆς ἀλό-
„χε ἐπανιᾶσθαι. §. Qua vero authen. de Nupt.) Καὶντεῦθεν
τὰ παρὰ Οὐϊργιλίῳ ἐκεῖνα (Αἰνειάδ: Δ'. ς. 28.)

Ille meos primos, qui meſibi junxit, amores
Abſtulit; ille habeat ſecum, ſervetque ſepulchro.

„(Κεῖνος ἐμεῖο ἔρωτας ἔλεν, τῷ πρῶτα συνήφθην·
„Κεῖνος καί γ' ἐχέτω, τηρῶν αὐτὸς ἐνὶ τύμβῳ.)

Μάλιστα δὲ τόδ' ἐκράτει ἀπογόνων ὑπολειφθέντων, οἷς ἔπῆν ὑφο-
ρᾶσθαι μὴ πάνυ χαρίζεσθαι τὰς καὶ δευτέροις γάμοις προσομιλούσας.
(Ο'δ: Ο'. ς. 20.)

„Οἶδα γὰρ, οἷος θυμὸς ἐνὶ ςήθεσσι γυναικὸς·
„Κείνα βέλεται οἶνον ὀφέλλειν, ὅςνεν ὀπυίοι·
„Παίδων δὲ προτέρων, καὶ κηριδίοια φίλοια
„Οὐκέτι μέμνηται τεθνηότος, ὐδὲ μεταλλᾷ.

Ἀκρασίας δ' ἀεὶ καὶ λαγνείας ὑπόνοιαν παρεῖχον αἱ ἐπὶ γάμῳ
δευτέρῳ ὁρμώμεναι: ὅθεν Οὐαλέριος Μάξιμος ἔφη: Multa matri-
monia legitimae intemperantiae ſignum eſſe.

(Τὸς πολλὸς γάμος ἀκρασίας ἐννόμε εἶναι σημεῖον. Ο' δὲ Κυντι-
λιανὸς (ἐν Ῥητορεύσει Ρς'.) Nubendi quandam eſſe impudici-
tiam; τὸ γήμασθαι ἀσέλγειαν, ἢ ἀναίδειάν τινα εἶναι.

Ἀλλὰ γὰρ τὸ τὸς δευτέρως τῶν γάμων ὑπὸ τῷ Νόμῳ μηδαμῶς
κεκωλύσθαι, δῆλον ἐξ ἐκείνου, ὅτι οἱ τῆς Πηνελόπης πρὸς γένους ὄντες,
ἢ κατὰ φιλίαν οἰκειόμενοι, τὸν Ὀδυσσέα οἰόμενοι ἀπολέσθαι, ἀνδρὶ καὶ
αὖθις ἐποτρύνεσιν αὐτὴν συζευχθῆναι: (Ο'δυσ: Τ'. ς. 158.) Α'λλ'
ἐν τούτῳ, Α'χις φέρεται ἐν Ε'λλησι πρώτη ἡγήσασθαι, ἡ Περσέως
γυνὴ, ἥτις Περιήτῳ υἱῷ τῷ Αἰόλῳ ἄλοχος κηριδίη γενομένη, τελευτή-

σαντος ἀνδρὶ ἑτέρῳ εἰς γάμον συνῆπται τῷ Οἰβάλῳ, ὁπότε πρόθεν ἄγιόν τε καὶ σύνηθες ταῖς Θηλείαις ὑπῆρχε, τὸ θανόντος τὸ πρώτε, εἰς κανωνίαν γάμε συνελθεῖν ἀνδρὶ ἑτέρῳ ἀπέχεθαι: ὡς ἰδεῖν ἐστὶ παρὰ „Παυσανίᾳ (ἐν τοῖς Κορινθιακοῖς:) ἱστορεῦντι: Πρότερον δὲ κα„θεσήκει τοῖς γυναιξὶν ἐπὶ ἀνδρὶ ἀποθανόντι χηρεύειν.

Ἀλλ' ἐκεῖνο μοναδικόν πως ἀπαντᾷ, ὃ φησὶν Ὅμηρος, τὸν Ὀδυσσέα, πρὸς τὴν κατὰ Τροίας ἀπερχόμενον ἐκστρατείαν, τῇ ἀλόχῳ Πηνελόπῃ παρεγγυήσαθαι, ὡς ἀβέβαιον αὐτᾷ ὂν, εἴτ' ἐπανακάμψει, εἴτε καὶ ἀλλὰς ἐν Ἰλίῳ μενεῖ, τὸν μὲν οἶκον περισώζειν ἄχρι τῆς τοῦ υἱὲ Ἤβης· ἡβήσαντος δὲ, αὐτὴν γαμηθῆναι ὅτῳ ἂν βέλοιτο· (Ὀδυσ: Σ'. ς. 269.)

„Γήμαθ' ᾧ ἐθέληθα, τεὸν κατὰ δῶμα λιπῶσα.

Οἱ μὲν δὴν Οὐλπιανὸς ἀποκρίνεται: ἄχρις ἕ βέβαιον ἐστὶ τὸν ἄνδρα βιῶν ἐπὶ τῆς ἁλώσεως, μηδαμῶς ἐξεῖναι ταῖς γυναιξὶν εἰς συζυγίαν ἑτέρε γάμε μεταβαίνειν, εἰ μὴ αὐταὶ ἐθέλοιεν τὴν αἰτίαν παραχεῖν τῇ ἀποσασίᾳ. Εἰ δ' ἦν τὸ πράγμα κεῖτ' ἐν ἀδήλῳ: Πότερον ὁ ἀνὴρ ζῶν ὑπὸ τῶν πολεμίων κατίσχεται, ἢ ἔφθη θανὼν, Τότε δὴ, πενταετίας ἀπό γε τῆς ἁλώσεως παρελθούσης, ἐξὸν εἶναι τῇ γυναικὶ ἐπὶ γάμον ἕτερον μεταβῆναι. (ἐν τῷ ς'. Βίβλ. τῶν Διγέσων, περὶ διαζυγίε καὶ ἀποσασίε) Ὁ δὲ Γεσινιανὸς ἐν Νεαρᾷ ΡΙΗ'. Κεφαλ: ΙΑ'.) ἀπεφήνατο: Ὁποσονοῦν ἂν εἴη μακροχρόνιος ἡ τε ἀνδρὸς ἀπεσία, μηδενὶ δύναθαι τὴν ὁμόζυγα συζευχθῆναι ἑτέρῳ, εἰ μὴ βεβαίως μάθοι τετελευτηκέναι τὸν πρῶτον. Εἰς τόδε δ' ἀνήκει τὸ τε Πετρωνίε ἐκεῖνο: Si absente per aliquot annos marito potiri non liceat, „amare certe licebat? (Εἰ ἀπόντος δὲ ἐνιαυτῶν τινῶν „τε γαμέτε, ἐκ ἦν τῇ συζύγῳ ἐπαναλαβεῖν, ἐξῆν ἆρα „ἐρᾶν;) Διὰ δὴ τετο καὶ Πηνελόπη, καίτοι κελευθεῖσα, ἐκ εἵλετο ἀνδρὶ ἑτέρῳ ἑαυτὴν παραδῶναι· ἔθ' ὑπὸ τῶν μνηστήρων μηχαναῖς παντοίαις ἐναγομένη, τὴν αὐτῇ κατ' εὐχὴν τοῦ προτέρε συζύγε ἐπάνοδον, ἠξίωσεν ἓν δευτέρῳ θέθαι: διὸ καὶ ὑπὸ πάντων δὶ ἐπαίνου

ἄγεται τῶν συγγραφέων. Penelope poterat bis denos palva per annos — vivere, tam multis foemina digna frocis. (Προπέρτιος Βιβλ: Α'. Ἐλεγείᾳ ς'.)

„ (Δὶς δέκα Πηνελόπη ἐν ἔτεσσιν δῶμα σαῶσαι
„ Πολλῶν μνηστήρων, ἀξία ὅσ' ἄλοχος.)

Ἀλλὰ γὰρ ἐ παραλειπτέον, ὃ Παυσανίας (ἐν τοῖς Ἀρκαδικοῖς) „κοινῇ περιθρυλλέμενον παρὰ Μαντινεῦσι διέξεισι: τὴν Πηνελόπην δηλ: „ὑπὸ Ὀδυσσέως καταγνωσθεῖσαν, ὡς ἐπισπασθεῖσαν εἰσάγε„σαν ἐς τὸν οἶκον, καὶ ἀποπεμφθεῖσαν ὑπ' αὐτοῦ ὕστερον „ἐξωσθῆναι.

ΚΕΦΑΛ. ΙΣ'

Περὶ Μοιχέας.

Δεινὸν ἄγαν, καὶ κολάσεως ἄξιον ἐνομίσθησαν ποιεῖν οἱ ἀλλοτρίαν ἐυνὴν παραβιαζόμενοι. οὗπερ εἰς δεῖγμα προβάλλεται Αἴγισθος ὁ Κλυταιμνήστρων τὴν Ἀγαμέμνονος ἀκοίτην ἀπόντος, γάμῳ ἑαυτῷ συζεύξας ἀθέσμῳ, καὶ ἐπανιόντα ἔπεισα ἀνελών· ἀλλὰ καὶ ἔτος ἔκδικον ἔυρατο τὴν δεξιὰν τοῦ ἐκείνου υἱοῦ Ὀρέστου, ὃν, καὶ ὡς εὖ τὸ πρᾶγμα ἀπεργασάμενον, Ζεὸς ἐν βελῇ Θεῶν, καὶ Ἀθηνᾶ (Ὀδυσ: Α'. ς. 30. καὶ 40.) δι' ἐπαίνε ἔχον. Παραπλησίως καὶ Θυέστης ὁ τοῦ αὐτοῦ πατὴς Ἐυρώπην τὴν Ἀτρέως τοῦ Κασιγνήτε γαμετὴν διαφθείρας, ὅτως ἐκεῖνον σφοδρῶς παρώξυνεν, ὥσε εἰς ἄμυναν καὶ τὰς ἰδίας αὐτοῦ παῖδας ἐν ἑσιάσει εἰς ἔδεσμα αὐτῷ παραθέθαι. Ἀλλὰ καὶ Φοίνιξ, ὅτι τῆς μητρὸς ἐναγέσης τῇ παλλακίδι τοῦ πατρὸς προσεμίγη, τῶν Ἐρινύων, ἃς ἐπαρώμενος καθ' ἑαυτοῦ ἐπεκέκλετο, ἐκδίκων ἐπειράσατο. (Ἰλ: Ι'. ς:

454.) Ἄλλὰ δεῖγμα λαμπρότατον ἁπάντων τὸ Πάριδος, ὃς Ἑλένην τὴν Μενελάϑ ἀκοίτην ἀπαγαγὼν ἀπὸ Σπάρτης, σύμπαν καϑ' ἑαυτῦ ἐπήγειρε τὸ Ἑλληνικὸν ἐπὶ Τροίας, ὑφ' ὧν, αὐτός τε δὴ καὶ οἱ αὐτοῦ τὴν πανολεθρίαν ὑπέσησαν. Τῷ ὄντι δὲ καὶ Ἕκτωρ αὐτὸν ὁ ὁμαίμων, λιϑολευσηϑῆναι ὄντα ἀπεφήνατο ἄξιον ἐπὶ τῷ δεινῷ ἀνοσιουργήματι: (Ἰλ: Γ. ς. 57.)

„Λαῖνον ἔσσι χιτῶνα, κακῶν ἕνεχ' ὅσσα ἔοργας.

Αὐτὴ δ' ἦν ἡ ἐπὶ μοιχείᾳ ποινὴ παρὰ τοῖς πρὸς ἥλιον ἀνίσχονταις οἰκοῦσιν ἐϑνεσιν ἀρχαιοτάτη, ὡς δῆλον ἐκ τῦ Θεοσδότε Νόμε: (Δευτερον: Κεφ: ΚΒ'. ἑδαφ: 20. καὶ Γωαν: Κεφ: Η'. ς.) καὶ παρ' ἀιωδήποτε δὲ ἔϑνει δίκην ϑανάτε σύνηϑες ἦν ἐπιφέρεσϑαι τοῖς μοιχεύσιν. Οὗ δὴ καὶ ὁ γαμέτης ἐπ' αὐτοφώρῳ ἑλὼν, ἐπιβαλεῖν εἶχε τῷ ἀδικήσαντι· ὡς ἐκ τῦ Δημοσθένους κατὰ Νεαίρας, καὶ ἐκ τῶν Διγέσων, πρὸς τὸν Ἰέλιον Νόμον τὸν περὶ Μοιχ:)

Ἄλλως τε δὲ ἠ χρήμασιν ἐνίοτε παρ' Ἕλλησιν ἡ τῦ μεμοιχευκότος ποινὴ ἐξηγόρασο, ὅϑεν τὰ καϑ' Ὅμηρον προσειρημένα Μοιχάγρια, (Ὀδυσ: Θ'. ς. 332.) ἅπερ ἦν, κατὰ τὴν τῦ Σχολιαστῦ ἑρμηνείαν, τὰ ἀποτινόμενα ὑπὸ τῦ ἐν μοιχείᾳ ἐπαγρευϑέντος. Λόγος δ' ἐκεῖ τῷ Ποιητῇ περὶ τῆς λαϑραίας συνευνήσεως Ἄρεώς τε καὶ Ἀφροδίτης. Ἐκεῖνον γὰρ φωραϑέντα μετὰ τῆς γαμετῆς αὐτῦ, ἐν δεσμοῖς ὁ Ἥφαιστος καταχεῖν ἐϑέλει, ἐς ὃ τὸ χρέος αὐτῷ ἀποδώσει, ὑπὲρ ὃ Ποσειδὼν, ἐγγυητὴν ἑαυτὸν προβαλόμενος, ἀποτίνυσιν· Ἅπαιτεῖ δὲ ἅπαντα αὐτῷ ἀποδοϑῆναι τὰ ἔδνα, ἃ ὑπὲρ τῆς παιδὸς τῷ πατρὶ ἐγγυάλιξε. Καὶ παρὰ Ῥωμαίοις δὲ, τές τε γαμέτας εἰωϑέναι ἀποκερδαίνειν τὰς προῖκας τῶν μοιχευϑεισῶν ἀλόχων· καὶ τἐναντίον τὰς γαμετὰς τὰ πρὸ τῶν γάμων ἔδνα τῶν μεμοιχευκότων ὁμολέκτρων, πρόδηλον ἐκ τοῦ Ψεσπίσματος Θεοδοσίε τε καὶ Οὐαλεντιανῦ (ἐν Βιβλ: Η'. τῦ Κώδικ: τῦ περὶ τῶν ἀποσασίων τῶν ἅμα γενομένων.) Μᾶλλον δὲ,

ἐδ' ἐφεῖτο τῷ γαμέτῃ κατέχειν τὴν ἐπ' αὐτοφώρῳ ἁλοῦσαν μοιχευομένην· (Βιβλ. Β'. Κώδικ: πρὸς τὸν Ἰέλ: Νόμ: περὶ τῶν Μοιχ:) ᾧ δὴ νόμῳ σύμφωνος ἦ ὁ Ἀττικὸς, ὁ παρὰ τῷ Δημοσθένει ἐν τῷ περὶ „Νεαίρας.) Ἐπειδὰν δὲ ἕλῃ τὸν μοιχὸν, μὴ ἐξέστω τῷ ἑλόντι „συνοικεῖν τῇ γυναικί. ἐὰν δὲ συνοικῇ, ἄτιμος ἔστω.

ΚΕΦΑΛ. ΙΖ'.

Περὶ Παλλακῶν.

Παρὰ τὰς γαμετὰς τὰς νομίμους, ὑπῆρχον τοῖς πάλαι Ἕλλησι καὶ ἄλλαι γυναῖκες συνευναζόμεναι. Τοιάδε τῷ Ἀχιλλεῖ ἦν ἡ Βρισηΐς, ἣν ἑαυτῷ διατηρήσειν ἀποτείνεται. (Ἰλ Α'. ς. 31.)

„Ἶσον ἐποιχομένην καὶ ἐμὸν λέχος ἀντιόωσαν.

Ἐξ ἧς δὴ καὶ ἄλοχος αὐτὴ προσείρηται. (ἐν Ῥαψῳδ: Ι'. ς. 399.) Παρὰ δ' αὐτῷ τῷ Ἀχιλλεῖ, τῆς Βρισηΐδος ἀπούσης παρακατέλεκτο ὁμοίως, καὶ ἡ Λεσβιὰς καλλιπάρηος Διομήδη (Αὐτ: ς. 661.) καθάπερεῦν καὶ παρὰ τῷ Πατρόκλῳ, ἡ εὔζωνος Ἰφις. (Αὐτ: ς. 663.) Ἀλλὰ καὶ τῷ Νέστορι, καὶ τῷ Φοίνικι ἴδιαι γυναῖκες ὑπῆρχον αἱ συγκοινωνοῦσαι αὐτοῖς τῶν λέχεος. Αἱ δὲ ἦσαν, εἴτε ἐκ τῶν ἐν τῷ πολέμῳ αἰχμαλωτίδων, ἢ ἐωνημέναι τιμῆς, οἷαι αἱ Λεσβίδες ἐκεῖναι, αἱ ἐν ταῖς Ἀγαμέμνονος σκηναῖς εἶναι λεγόμεναι: (Ἰλ. Ι'. ς. 129. καὶ ς. 271.) Ὁμοίως δὲ ἡ Θεραπαινὶς, ἐξ ἧς Μενέλαος ἔχε τὸν Μεγαπένθην, ἐκτὸς Ἑλένης τίκτειν δεξιᾶς ἔσης (Ὀδυσ: Δ'. ς. 11.) Οὕτω δὲ καὶ ἡ ἐξ ἧς ἐπλάττετο Ὀδυσσεὺς γεγεννῆθαι. (Ὀδυσ: Ξ'. ς. 202.)

„ . . . . Ἐμὲ δ' ὠνητὴ τέκε μήτηρ
„ Παλλακὶς . . . . . .

Τετὶ δὲ τέτων τὸ ἕκατον γένος, Παλλακίδες ἀπεκαλέντο, (ἐξ Ἑβραίων ληφθέντος τῦ ὀνόματος.) ἅς περ ἐπὶ ταῖς ἐννόμοις ἐπήγοντο γυναιξί. Καί τοι γε παῤ Ἕλλησιν αἱ τοιαίδ' ἑταῖραι ἐ πάνυ ἡδέως ὑπῆρχον ἀποδεκταὶ, ὡς ἀπὸ τῆς μητρὸς τῦ Φοίνικος γεγονὸς ὁρῶμεν, τῆς τὸν υἱὸν παραπεισαμένης τὴν συγερὴν τῦ πατρὸς παλλακίδα διαπορνεῦσαι (Ἰλ: Ι'. ς. 450.) Διὸ καὶ τῇ Θεραπαινίδι Εὐρυκλείᾳ Ὀδυσσεὺς ἐκ ἠθέλησε διευλαβέμενος τὴν ἀκοίτην. (Ὀδυσ: Α'. ς. 433.)

„ Εὐνῇ δ' ἔποτ' ἔμικτο, χόλον δ' ἀλέεινε γυναικός.

Διὰ γὰρ τῦτο καὶ Κλυταιμνήστρα περιοργὴς γενομένη τῷ Ἀγαμέμνονι, καὶ τῇ Κασσάνδρῃ χεῖρας μιαφόνες ἐπέβαλεν, ὅτι ταύτην ἐκεῖνος κοινωνὸν τοῦ λέχους ἐποίησε. Καὶ ἡ Μήδεια δὲ τῷ Ἰάσονι τὸν ὄλεθρον παρεσκεύασεν ὁμοίως ἀνελὼν αὐτῷ τὰ τέκνα, Κρέσσαν ἐπ' αὐτῇ ἐπαγομένῳ, ὡς παῤ Ἀθηναίου (ἐκ Βιβλ: ΙΓ'.) σεσημείωται. Παρά γε μὴν τοῖς βαρβάροις, ῥᾴον αἱ τοιαίδε παλλακίδες ἀνεκταὶ ἦσαν, ὡς ἔπεσιν ἰδεῖν ἐπὶ τῷ Πριάμῳ, ᾧ παρὰ τὴν Ἑκάβην, καὶ πλείσας προσῆσαν ἄλλας ἀκοίτας νόμιμοι. Οὕτω γὰρ αὐτὸς, (Ἰλ. Ω'. ς. 496. κξ:) περὶ ἑαυτῦ διέξεισιν, Υἱές οἱ γεγονέναι πεντήκοντα, ὧν ἐννεακαίδεκα ἐκ μιᾶς τεχθέντων αὐτῷ νηδύος, οἱ λοιποὶ ἐκ γυναικῶν ἄλλων προήλθοσαν· τέτων δ' οἱ μὲν ὑπὸ Ὁμήρε προσείρηνται γνήσιοι, οἱ δὲ νόθοι: ὡς διαξελόμενοι φέρονται: (Ἰλ. Λ'. ς. 102.)

„ Υἷε δύω Πριάμοιο, νόθον καὶ γνήσιον, ἄμφω
„ Εἶν ἑνὶ δίφρῳ ἐόντας . . . . .

Νόθες δὲ τὸς ἐκ παλλακίδος ὁ Σχολιαστὴς ὀνομάζει: καίτοιγε ἡ Πριάμε πολυγαμία, τοιάδε ἔοικεν εἶναι, ὡς αὐτῦ γυναῖκας πολλὰς ἐχηκότος, νομίμῳ γάμῳ αὐτῷ συνημμένας. Δυναστᾶν γὰρ μεγάλων ᾧ

θυγατέρες αὐτῷ συνέζευχθεν, ἔτι καὶ πρόϊκα προσενεγκάμενας: οἵαπερ Λαοθόη, Ἄλτε τῆ Λελέγων Ἄνακτος ἡ θυγάτηρ, ἐξ ἧς Λυκάων γεγέννητο: (Γλ: Χ'. ς. 46. κξ.) Ὅτι δὲ καὶ τοῖς Ἑλλήνων ἀρχαιοτάτης τόδ' ἔθιζο, δῆγμ' ἂν εἴη Αἰγεὺς ὁ Θησέως πατὴρ, ὃς κατ' Ἀθήναιον, πρῶτον μὲν τὴν Ὀπλῆτος θυγατέρα ἠγάγετο, ἔπειτα δὲ μίαν ἐκ τῶν θυγατέρων Χαλκόδοντος· ἅσπερ ἦν ἐπιδὲς τοῖς Φίλοις, πολλάς τε καὶ ἄλλας ὑπὲρ ἀριθμὸν ὤπυιεν. Ἐφεξῆς δὲ Αἴθρη τῆ τῆ Πιτθέως συνέζευκτο, καὶ τελευταῖον τῆ Μηδείᾳ. Ἀλλὰ καὶ Θησεὺς αὐτὸς πολλὰς ἔχε γυναῖκας, τὰς μὲν ἐξ ἁρπαγῆς, τὰς δ' ἐξ ἔρωτος· τὰς δὲ, καὶ γάμοις ἐννόμοις αὐτῷ συναφθείσας, ὡς γράφει Ἴσρος ἐν Βιβλ: ΙΔ'. τῶν Ἀττικῶν. Δῆλον δ' ὅτι καὶ Ἡρακλῆς τὰ ὅμοια ἔδρασεν, ὅθεν ἡ τεκνογονία ἡ τότε ἡ πολυάριθμος.

Ἀλλ' εἰ καὶ ἐχ' ὁμοταγεῖς παρὰ τοῖς ἀρχαίοις ἐνομίζοντο τοῖς γνησίοις υἱέσιν οἱ νόθοι, ἀπηκριβωμένως μέντοι ὑπὸ τῶν γεννησάντων ἀνετρέφοντο τοῖς γνησίοις ἐπίσης, ὡς ἀναφαίνεται ἐκ τῆ περὶ τὸν Ηηδαῖον παραδείγματος τὸν νόθον ὄντα Ἀντήνορι· (Γλ: Ε'. ς. 69.) καὶ ἐκ τῆ περὶ Τεῦκρον τὸν Τελαμῶνος: (Γλ: Θ'. ς. 284.) Οὐχ' ὅπως δὲ, ἀλλὰ καὶ μοίρας μετεῖχον καὶ οἱ μὴ γνήσιοι, ἐκ τῆς πατρῴας περιουσίας, ὡς Ὀδυσσεὺς ἑαυτῷ ἔφη ἐπισυμβῆναι. (Ὀδυσ: Ξ'. ς. 64.) Ἀλλ' ὁ Μεγαπένθης, ὡς καὶ ὁ Νικόστρατος, τῆς ἐν Σπάρτῃ βασιλείας, ἣν ἔχε Μενέλαος, ὑπὸ Ὀρέστ ἀπεκλείσθησαν, ἅτε δὴ ἐκ δάλης συλληφθέντες, ἥ φησὶ Παυσανίας (ἐν τοῖς Κορινθιακ:) Νεοπτόλεμος δὲ, ὃν Ἀχιλλεὺς ἐκ Δηϊδαμείας ὑπέκλεψε, τὴν πατρῴαν ἀρχὴν διεδέξατο, τυχὸν διὰ τὴν μητέρα, ὡς γέννημα ἔσαν Λυκομήδους τῆ Ἄνακτος.

ΚΕΦΑΛ. ΙΗ'.

Περὶ τῆς ἀγωγῆς τῶν τέκνων.

Ἐξαίρετος παρὰ τοῖς παλαιοῖς Ἕλλησιν, ἡ περὶ τὴν τῶν ἰδίων τέκνων οἴκοι ἀγωγὴν ἐπιμέλεια, παρ' Ὁμήρῳ ἀπανταχοῦ καταφαίνεται. (Ἰλ: Π'. ς. 191. 192.)

„ Τὸν δ' ὁ γέρων Φύλας, εὖ ἔτρεφεν, ἠδ' ἀτίταλλεν
„ Ἀμφαγαπαζόμενος, ὡσεὶ θ' ἑὸν υἱὸν ἐόντα.
* Καὶ ἀλλαχοῦ πω

„ Υἷέες ἐν μεγάροις ἠμὲν τράφεν, ἠδὲ γένοντο.
(Ἐν δὲ Ὀδυσ: Λ'. ς. 67.)

„ . . . . Καὶ πατρὸς ὁ σ' ἔτρεφε τυτθὸν ἐόντα.

Ἀλλ' ἡ τῆς μητρὸς κατ' ἐξοχὴν ἐπιμέλεια ἀξιέπαινος ἦν. (Ὀδυσ: Β'. ς. 131.)

„ Ἦ μ' ἔτεχ', ἦ μ' ἔθρεψε . . . . . .
Καὶ Ὀδυσ: Λ'. ς. 249.)

„ . . . . . Σὺ δὲ τὸς κομέειν, ἀτιταλλέμεναί πε.
Ὡς Ποτειδὼν ἠγγύα Τυρῶ ἐγκύμονι ἔσι.

Παρ' Ἡσιόδῳ δ' ἐν Ἔργοις (ς. 129.) ὁ παῖς

„ . . . . . Παρὰ μητέρι κεδνῇ
„ Ἐτρέφετ' ἀτάλλων . . . . . .

Καὶ Ἡρακλῆς δ' ὁμοίως παρὰ τῇ μητρὶ ἀνατέθραπτο: νέον Φυτὸν ὡς ἐν ἀλωᾷ: κατὰ Θεόκριτον, (ἐν Εἰδυλ: ΚΔ'.) Ἐκ δὲ τῆς τοιᾶσδε σπουδῆς ἡ γυνὴ παρὰ τῷ αὐτῷ (ἐν Εἰδυλ: ΚΖ'.) προσηγόρευται: τοκέων τροφός. Ἐπλήρου δὲ τοῦτο τὸ σοφισμα.

ἔῆκον ἔργον ἀ μητέρες ἔτως ἐπιμελῶς, ἄσε καὶ τῷ ἰδίῳ αὐτῶν γάλακτι τὰ τέκνα σιτίζειν, οὐ δείγματα καὶν ταῖς περιφανεσέραις ἐμφαίνεται· οἷον ἐν τῇ Ἑκάβῃ τὸν μαζὸν προδεικνύσῃ τῷ Ἕκτορι (Ἰλ: Χ'. ς. 85.)

„ . . . . . Ἤιποτέ τοι λαθικηδέα μαζὸν ἔπεχον·

Καὶ Πηνελόπη δὲ λέλεκται Τηλέμαχον γαλακτοτροφῆσαι· (Ὀδ: Λ'. ς. 447.)

„ . . . . . Παῖς δέ οἱ ἦν ἐπὶ μαζῷ

„ Νήπιος . . . . . .

Ὡσάυτως δὲ καὶ Ἀλκμήνη Ἡρακλῆτε καὶ Ἰφικλον τὼ υἱέε, αὐτὴ καὶ λέαν καὶ θηλάζειν εἵρηται (παρὰ Θεοκρ: ἐν Εἰδυλ: ΚΔ'.)

„ Ἀμφοτέρως λέσασα, καὶ ἐμπλήσασα γάλαντος.

Καὶ ἡ Ἀριςοδήμε δὲ τοῦ Σπαρτιατῶν βασιλέως ὁμευνέτις, διδύμως λόυει καὶ συτίζει, ὡς ἐγράφη παρ Ἡροδότῳ (ἐν Ἐρατοῖ) διέξεισι δὲ Πλέταρχος τὸ αὐτὸ πεποιηκέναι καὶ τὴν Κάτωνος τε μείζο-„νος σύζυγον· αὐτὴ γὰρ ἔτρεφεν ἰδίῳ γάλακτι· ἡ δαψιλὴς ἐςὶ περὶ τὴν σύςασιν τε τοιεδ' ἔργε ὁ Χερρωνεὺς ἐν τῇ περὶ παίδων ἀγωγῆς αὐτε πραγματείᾳ. Καθάπερεν καὶ Φαβωρῖνος παρὰ τῷ Γελλίῳ. (ἐν τῷ ΙΒ'. Βιβλ. Κεφαλ. Α'.) Ἀλλὰ γὰρ οὐκ ἂν ἔξαρνος γενοίμην τε καὶ τιθηνέσας ἐπὶ τέτω τὰς παλαιὰς ἐνίοτε ἐπαγαγέσθαι, οἵαπερ ἡ Εὐρύκλεια ἐκείνῃ τῷ Ὀδυσεῖ ὑπῆρξε, πρὸς ἣν αὐτὸς (Ὀδυς: Τ'. ς. 482.)

„ . . . . . Σὺ δέ μ' ἔτρεφες αὐτὴ

„ Τῷ σῷ ἐπὶ μαζῷ . . . . . .

Οὕτω δὲ καὶ ἡ Ναυσικάας τιθήνη: (Ὀδ: Η'. ς. 8. 12.) διὰ μνήμης φέρεται· καὶ ἡ Ἀσυάνακτος δὲ τε παιδὸς Ἕκτορος: (Ἰλ: Ζ'. ς. 389. καὶ 465.) Ἀλλὰ τέτ' εἶχε γίνεσθαι καὶ δι' ἔνδειαν τε μητρὸς γάλακτος, ὅτα πολλὰ συμβαίνει. Ἀλλ' ὅπως ἦν καὶ γίγνοιτο, φανερὸν ἐςὶν,

ὅτι πολλὴν οἱ τοκῆς τὴν ἐπιμέλειαν ἐπεδείκνυντο περὶ τὴν ἀνατροφὴν τῶν ἰδίων τέκνων, περὶ ἧς νόμος καὶ Ἀθηναῖοι καὶ Ῥωμαῖοι διεθέσπισαν. Ἔνθεν τοι καὶ γονεῦσιν ἐντρύφημα ἦν, ὁσάκις τέτων ἐπὶ τοῖς γόνασι τὰ παιδία ἤθιεν, ὡς δῆλον ἐκ τῆς Ἰλιάδος (Χ'. ς. 500.) ἔνθα Ἀνδρομάχη τὸ Ἕκτορος ἀναιρεθέντος ἀπολοφύρεται ἐπὶ Ἀστυάνακτι:

„ . . . . Ὅς πρὶν μὲν ἐπὶ γόνασιν ἔδ πατρὸς
„ Μυελὸν οἷον ἔδεσκε, καὶ οἰῶν πίονα δημόν.

Οὕτω καὶ ἐπὶ γονάτων Αὐτολύκε τὸ πάππε, Ὀδυσσεὺς ἀπετέθη: (Ὀδυσ. Τ'. ς. 401.)

„ Τὸν ῥά οἱ Εὐρύκλεια φίλοις ἐπὶ γόνασι θῆκε
„ Παυομένῳ δόρποιο . . . . . .

Διὰ τέτο καὶ Ἀμύντωρ, πολλὰ τῷ υἱεῖ ἐπαρώμενος, προσέθετο καὶ τὸ μηδέποτε ἐπικαθιεῖν υἱὸν ἐπὶ τοῖς αὐτῦ γόνασιν. (Ἰλ: Ι'. ς. 455).

„ Μήποτε γόνασιν οἷσιν ἐφέσσεσθαι φίλον υἱὸν,
„ Ἐξ ἐμέθεν γεγαῶτα . . . . . .

Καὶκεῖθι ἦν τὰ παιδία παίζειν ἔχαιρε παππάζοντα. (Ἰλ. Ε'. ς. 408.)

„ Οὐδέτι μὶν παῖδες ποτὶ γόνασι παππάζεσι.

Πάππα δηλονότι συχνὰ ἐπαναφωνῦντες. Ἡ δὴ φονῇ καὶ Ναυσικάα τῷ πατρὶ προσεφθέγγετο: (Ὀδυσ. Ζ'. ς. 57.)

Πάππα φίλ' ἦ κ ἂν δή μοι ἐφοπλίσειας ἀπήνην;

Ἐπὶ οἴκων τῶν ἐπιφανεςέρων, ἔτι καὶ ἄνδρες ἀγωγοὶ τῶν παίδων προσελαμβάνοντο, ὡς τὰ καλὰ τῶν ἐπιτηδευμάτων αὐτὲς ἐκδιδάξοντες. τῷ γὲν Πηλεῖ εἰς τόδε ὑπέργησε πρὸς τὴν ἀγωγὴν τὸ Ἀχιλλέως ὁ Φοίνιξ. (Ἰλ: Ι'. ς. 484.) Ἔνθ' ὅδε διέξεισιν, ὅτι νήπιον ὄντα ἐπὶ τοῖς γόνασι τοῖς ἑαυτῦ ἐπεκάθιζε· καὶ τόγε ὄψον ὅπερ ἔμελε προσφέρεσθαι αὐτῷ προέτεμνε, καὶ οἶνον ἐπενέχεεν. Οὗπερ, ὡς ἐν νηπιότητι ἀλεγεινῇ

ἀπεμῶν, πολλάκις αὐτῷ ἐπὶ σήθεσι κατέδευε τὸν χιτῶνα· ἐπὶ δὲ δὴ τέτοις, ὅτι ἡ αὐτὸν ἐξεπαίδευσε ἢ ἀγορέυειν, ἢ πολεμεῖν (αὐτ: ς. 445.)

„Μύθων τε ῥητῆρ' ἔμεναι, πρηκτῆρα τε ἔργων.

Ὡς ἂν αὐτὸν ἀναδείξειεν: Oratorem verborum, actoremque rerum: ὡς ὁ Κικέρων μετέφρασεν, ἐν τῷ Α'. Βιβλ. τῶν περὶ Ῥήτορος.

Ο' δ' Α'χιλεὺς προσέτι, καὶ Χείρωνι τῷ Κενταύρῳ εἰς παιδείαν παρετέθη, κατ' Ο'ρφέα (ἐν τοῖς Α'ργον:) καὶ Πίνδ: (ἐν Ω'δ. Α'.) ἐξ ἧς τὰς τέχνας, ἄδειν τε, καὶ ἰατρεύειν, καὶ θηρεύειν, καὶ ἄλλας ἐξεπαιδεύθη. Καὶ γὲν, καὶ Παυσανίας (ἐν τοῖς Βοιωτιν:) ἱστορεῖ, ὡς Η'σίοδος συγγεγραφὼς εἴη, περὶ τῶν τῦ Χείρωνος Διδασκα„λιῶν, τῶν πρὸς Α'χιλέα· ἔνθα ἐν ἄλλοις πρόκειται: παραίνεσίς „τε Χείρωνος, ἐπὶ διδασκαλίᾳ τῦ Α'χιλέως. Καὶ Πλέταρχος δὲ (εἰς Βίον Θησέ:) φησὶν αὐτῷ παρὰ τῦ πατρὸς ἐπιτραθῆναι καθηγητὰς, τὲς τὰς ἐλευθερίες τέχνας, καὶ τὰς Η'ρωϊκὰς μαθήσεις αὐτὸν ἐκδιδάξοντας. Α'λλὰ καὶ Η'ρακλῆν ὑπὸ Α'τλαντος, τὴν τῶν φύσει ὄντων γνῶσιν ἐκπαιδευθῆναι. Παρά γε μὴν τῷ Θεοκρίτῳ (ἐν Ε'ιδυλ: ΚΔ'.) φέρεται, ὅτι Λῖνος μὲν αὐτὸν τὰ γράμματα ἐξεπαίδευσεν· Εὔρυτος δὲ τὴν τοξευτικὴν· τὴν δὲ Κιθαρῳδίαν ὁ Φιλαμμονίδης Εὔμολπος· πυγμὴν δὲ καὶ πάλην, Α'ρπάλυκος ὁ Φαναπαῖος· τὲς δὲ κατὰ τὴν ἁρματηλασίαν ἀγῶνας ὁ Α'μφιτρύων· τὲς πολεμικὲς δὲ, ὁ Κάστωρ. Παραπλησίως δὲ καὶ Α'λεξάνδρῳ τῷ Μακεδόνι πολλοὶ ὑπῆρξαν καθηγηταὶ καὶ Διδάσκαλοι, οἷς ἅπασιν ἐπετέτακτο Λεωνίδης, ὁ τῇ Ο'λυμπιάδι τῷ γένει προσήκων, ὁ ἢ διαιτητὴς αὐτῷ καὶ διευθύντωρ γενέσθαι λεγόμενος. Α'λ' ὁ Ρωμαῖος Κάτων, αὐτὸς τὸν ἑαυτῦ υἱὸν ἐν ἁπάσαις τέχναις ἐνασκῆσαι προείλετο, ἐ μόνον ἀκοντίζειν, ἐδ' ὁπλομαχεῖν, ἐδ' „ἱππεύειν διδάσκων, ἀλλὰ ἢ τῇ χειρὶ πὺξ παίειν, ἢ καῦ„μα δὲ καὶ ψύχος ἀνέχεσθαι, καὶ τὰ δινώδη ἢ τραχύνοντα „τὸ ποταμὸ νηχόμενον ἀποβιάζεσθαι· ὡς διέξεισι Πλέταρχος.

ΚΕΦΑΛ. ΙΘ.

Περὶ των καθηκόντων τοῖς τέκνοις πρὸς τὰς γεννήτορας.

Μεγίστην τοῖς τοκεῦσι τιμὴν ἀποδεδόσθαι παρὰ τῶν τέκνων, ἐν ἐκ ἐυαρίθμοις τόποις παρ' Ὁμήρῳ ἀριθμὸν ἴσαται. Προσκρέειν γὰρ ἐκείνοις δίευλαβέντο, ἐκ ἐυσεβὲς ἔναι εἰκότως τιθέμενοι, ἢ τὰς Ἐριννῦς ἐφίσασθαι ἀμυντείρας ὑπὲρ ἐκείνων πιστεύοντες, αἵτινες, κατὰ τὸν Σχο-„λιαστὴν εἶναι λέγονται: καταχθόνιοι δαίμονες, τιμωρητικοὶ „τῶν πατρικῶν ἀσεβημάτων. Συνᾴδει δὴ τῦτο ὁ Φοίνιξ, (Ἰλ: Ἰ. ς. 454.) καθ' οὗ, τῇ παλλακίδι τῦ τεκόντος προσμιγῆναι τολμήσαντος, ὁ πατὴρ:

„Πολλὰ κατηρᾶτο, συγερὰς δ' ἐπεκέκλετ' Ἐριννῦς.

Τῦτο δὴ χάριν, καὶ Τηλέμαχος Φυλάσσεται τῦ τὴν τεξαμένην ἐλᾶσαι διανοέμενος: (Ὀδυσ: Β. ς. 133. κξ.)

„. . . . . Αἶψ' αὐτὸς ἐκὼν ἀπὸ μητέρα πέμψω,
„Ἐκ δὴ τῦ πατρὸς κακὰ πείσομαι, ἄλλα δὲ δαίμων
„Δώσει· ἐπεὶ μήτης συγερὰς ἀρήσετ' Ἐριννῦς
„Οἴκῳ ἀπερχομένη . . . . . .

Τιμολέων δὲ, παρὰ Πλυτάρχῳ, ἐν ἀστιτίᾳ ἕτοιμος ἦν ἀποκαρ-„τερῆσαι, ὁρῶν τὴν μητέρα, φωνάς τε δεινὰς καὶ κατάρας ἐπ' „αὐτὸν ἀρᾶσθαι φρικώδεις. Οὐδ' ἄλλοτι δρασικώτερον ἑαυτῇ Οὐετερία ἡγήσατο, δι' ἧς Μάρκιον ἂν τὸν υἱὸν κινήσειεν, ἢ τὸν Φόβον τῆς μητρώας κατάρας αὐτῷ ἐμβαλῦσα: (παρὰ τῷ Ἁλικαρνασ: „Διονυσ: ἐν Βιβλ: Η'.) Βαρεῖαν ἀρὰν, καὶ δεινὰς Ἐριννύας „ἀντ' ἐμῆς καταλιπῦσα σόι τιμωρές. Πολύς ἐσιν ὁ Πλάτων

περὶ τότε διεξιὼν: (ἐν τῷ ΙΑ΄. Βιβλ: τῶν Νίμων.) Ἔνθα διὰ τῶν παραδειγμάτων, Οἰδίποδός τε, καὶ Ἀμύντορος, καὶ Θησέως, καὶ „ἄλλων ἀποδείκνυσιν: ὑπηκόους εἶναι γονεῦσι πρὸς τέκνα Θεὸς „εἴτε τέτων ἐξυβριζόντων καταρωμένοις, εἴτ᾽ ἀνάπαλιν „καὶ ὑπερευχομένοις: διάτοι τῦτο καὶ τιμὴν, τοῖς γονεῦσιν ἀπονεμητέαν εἶναι ἡγῆται, τὴν ἐγγὺς μετὰ τὴν πρὸς Θεὸς ἀξιόχρεων, ὃ καὶ Πυθαγόρας ἐντέταλκε.

„ Πρῶτα Θεὸς τίμα, μετέπειτα σεῖο γονῆας.

Πρὸ πάντων τοίνυν τοῖς παλαιοῖς Ἕλλησιν ἐπιμελὲς ἦν ἀφοσιῦν τὰ θρεπτήρια, ἅπερ Ὅμηρος ὀνομάζει: τὰ τῆς διαθρέψεως γέρα, ἃ τοῖς ἐνεγκαμένοις καὶ ἐκθρέψασιν ὀφείλεται ἀποδίδοθαι. Ὡς ἐπειδὰν περὶ τῦ Σιμοεντίε καὶ τῦ Ἱπποθόε, ἀώρῳ προαρπαγέντων θανάτῳ φησὶν: (Ἰλ: Δ΄. ς. 477. καὶ Γλ: Ρ΄. ς. 301.)

„ . . . . . Οὐδὲ τοκεῦσι
„ Θρέπτρα φίλοις ἀπέδωκε, μινυνθάδιος δέ οἱ αἰών.

Καὶ Ἡσίοδος δὲ ὡσάυτως (ἐν Ἔργοις ς. 185.) τὰς τῦ ἐχάτε χρόνου ἀνοσιεργίας περιγράφων λέγει, μηδεμίαν αἰδῶ γεγηρακόσι τοῖς γονεῦσιν ἀποδοθήσεθαι, μηδ᾽ ἐξ ἀμοιβῆς ὑπὸ τῶν υἱέων τότες διατραφήσεθαι.

„ . . . . . Οὐδὲ μὲν οἵγε
„ Γηράντεσσι τοκεῦσιν ἀπο θρεπτήρια δοῖεν.

Τὲς δὲ τοιότες, ἐν τῷ τελευταίῳ πυρὶ κατεμπρηθησομένες προαγορέυει ἡ Σίβυλλα:

„ . . . . . Ὅσοι δὲ γονεῖς ἐπὶ γήρᾳ
„ Κάλλιπον, ὐδὲ τίσαντες ὅλως, ἃ θρέπτρα γονεῦσιν
„ Ἀντιπαραχόντες. . . . . .

Συνίησι δὲ σπεδῆ τὸ πράγμα Ἀριστοτέλης (Ἠθικ: Θ'. Κεφ: „Β.) Δόξειε δ' ἂν τροφῆς μὲν γονεῦσι μάλιστα ἐπαρκεῖν, ὡς „ὀφείλοντας καὶ τοῖς τὲ εἶναι (αἰτίοις) κάλλιον ἢ ἑαυτοῖς, „ἐς τοιαῦτ' ἐπαρκεῖν. Καὶ αὐτοὶ δ' οἱ νόμοι παρ' Ἀθηναίοις ἐθέσπισαν (ὡς Αἰσχίνης ἀναφέρει ἐν τῷ εἰς Τίμαρχον) οἵσπερ, τὸ κατὰ τὴν Οὐλπιανὲ ἀπόκρισιν ἐστὶν ὅμοιον (L. si quis a liberis D. de agno- „scendis lib. :) Ἀλλ' ὁ τῶν Αἰγυπτίων νόμος ἦν διαφέρων: παρ' οἷς, „ἦ διέξεισιν Ἡρόδοτος (ἐν τῇ Εὐτέρπῃ:) τρέφειν τὲς τοκέας, τοῖ- „σι μὲν παισὶν, ἐδεμία ἀνάγκη μὴ βελομένοισι· τῇσι δὲ „θυγατράσι πᾶσα ἀνάγκη, καὶ μὴ βελομένῃσι.

Ἦν δὲ δι' ἐπαίνε ἀγόμενον, καὶ τὸ τὴν ὕβριν ἀμύναθαι τὴν τῷ πα- τρὶ ἐπενεχθεῖσαν. Τηλέμαχος ἓν λέγων περὶ Ὀρέςε ἀμυναμένε τῷ γεννή- τορι, ὑπὸ Αἰγίσθε ἀναιρεθέντι (Ὀδυσ. Γ'. ς. 203.)

„Καὶ λίην κεῖνος μὲν ἐτίσατο, καὶ οἱ Ἀχαιὸὶ
„Οἵσεσι κλέος εὐρύ, καὶ ἐσσομένοισιν ἀοιδήν.

Δι' αἰτίαν δὲ τὴν αὐτὴν ἀνεῖλε καὶ τὴν μητέρα· ἐφ' ᾧ καὶ ἀφέσεως ἔτυχεν ἐν Ἀρείῳ πάγῳ, Παλλάδος ψήφῳ, ὡς παρὰ Δημοσθένει, ἐν Ἀριςοκρ.: Φαίνεται.

Ἀλλὰ καὶ ἀνάπαλιν τὸ ἀδίκημα τῶν γονέων ἐκδεδίκηται ἐν τοῖς υἱέσιν, ὡς ἐποίησεν Ἀγαμέμνων ἐπὶ τοῖς τὲ Ἀντιμάχε, τὲ τὴν Μενελάε τε καὶ Ὀδυσ- σέως ἀναίρεσιν προδοτικῶς ἐπιτρευσαμένε (Γλ': Λ'. ς. 142.)

„Νῦν μὲν δὴ τὲ πατρὸς ἀεικέα τίσετε λώβην.

Πολλὰ τοιάδε ἰσορέμενα φέρεται, καὶ ἰδίως ἐπ' ἐγκλημάτων, ἃ τετόλμηται κατὰ τῶν δυναςείαν περιβεβλημένων· ἀλλ' ἔοικέ τινα ἀδικίαν τῇ τοιάυτῃ ἐκ- δικήσει ὑπεῖναι· ἦ γὰρ ὀρθῶς ὁ Κικέρων: Acerbum eſt parentum ſce- „lera filiorum poenis lui, ut ad liberos, qui nihil metue- „runt, poena perveniat. (πικρὸν ἦπε ταῖς τῶν γονέων „κακεργίαις ταῖς τῶν υἱῶν κολάσεσιν ἀποτίνυσθαι, ὡς

„ἐπὶ τὰ τέκνα τὰ μηδαμῶς ἐνεχόμενα τὴν ποινὴν ἐφικνεῖσθαι.) Εἰ μὲν συνεξήμαρτον, ἢ συγκολαζέσθωσαν, ὁ Φίλων φησὶν. Ἀμέλει καὶ γὰρ: unusquisqre ex ſuo admiſſo ſorti ſubjicitur, nec alieni criminis ſucceſſor conſtituitur: (uti retulit Calliſtratus L. crimen D. de poenis.„ (ἕκα-„στος τῷ λάχει τῆς ἰδίας αὐτῷ ὑπόκειται πράξεως, ἐδὲ „διάδοχος καθίσταται ἀλλοτρίου ἐγκλήματος.

ΚΕΦΑΛ. Κ'.

Περὶ Δυλάας.

Δῆλοι ὡς τὰ πολλὰ ὑπῆρχον τοῖς Ἕλλησιν οἱ ἐν τῷ πολέμῳ Ζωγρίᾳ, οὕσπερ οἱ νικῶντες ζωὸς διετήρων: διὸ καὶ δμῶες προσείρηντο, παρὰ τὸ δμηθῆναι. „ Ὧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται: ἢ Πέτρος φησὶν ὁ Ἀπόστολος, (ἐν ἐπιστολ. Β'. Κεφαλ. Β'.) τοιοῦτοι οἱ τοῦ Ὀδυσσέως δμῶες, περὶ ὧν ὁ Τηλέμαχος (Ὀδυσ. Α'. ϛ'. 398.)

„ Καὶ δμώων ὅς μοι λῇσατο δῖος Ὀδυσσεύς.

Οὕτω καὶ αἱ Λεσβίδες, ἃς Ἀγαμέμνων ἐν ταῖς σκηναῖς αὐτοῦ διετήρει, θεράπαιναι ἐτύγχανον δορυάλωτοι. (Ἰλ: ϛ. 129.) καθὸ καὶ Βρισηὶς ἡ τοῦ Ἀχιλλέως. Τοῦτο δὲ καὶ περὶ τῆ αὐτοῦ γαμετῆ δεδίως ἦν Ἕκτωρ, μήτις, αὐτοῦ θανόντος, τάυτην ἀπαγάγηται (Ἰλ: Ζ. ϛ. 455.)

„ . . . . . Ἐλεύθερον ἦμαρ ἀπῄρας.

„ Ὡς ἐν ἀνάγκῃ γενέσθαι πρὸς ἄλλης ἰσὸν ὑφαίνειν,

„ Καί κεν ὕδωρ φορέειν Μεσσηΐδος, ἢ Ὑπερείης.

Τῷ δ' ὄντι δεδελομένην ἑαυτὴν λέγει αὐτὴ παρὰ Οὐϊργιλίῳ (Αἰνειάδ: Γ'. ς. 326.)

Stirpis Achillieae faftus, juvenemque fuperbum
Servitio enixae tulimus . . . . . .

„ . . . . . (Φύτλης Ἀχιλῆος ἀλαζονίην τε
„ Ἀιζηὸν τ' ἔτλημεν ὕβριν πειθήνιοι) . . . . . .

„Οὕτω καὶ Ἡρόδοτος (ἐν Θαλίᾳ) ἱστορεῖ: Ἄτοσσαν, Δαρείου
„τὸν γαμέτην, ἐπὶ τῇ κατὰ τῆς Ἑλλάδος πολέμῳ παρορ-
„μᾷν, ἐφιεμένην Λακαίνας αὐτῇ γενέσθαι θεραπαίνας, καὶ
„Ἀργείας, καὶ Ἀττικὰς καὶ Κορινθίας. Καὶ ἐν τῇ Ἐρατοῖ
δὲ, τῆς Πυθίας ὄλεθρον Μιλησίοις ἐπαπειλέσης:

„ Σαὶ δ' ἄλοχοι πολλοῖσι πόδας νίψουσι κομήτας.

Τοὺς ἁλόντας δὲ πολλάκις εἰώθεσαν εἰς δουλείαν πιπράσκειν, ὃ
πολλοῖς Ἀχιλλεὺς φησὶ ῥέξαι: (Ἰλ: Φ. ς. 102.)

„ . . . . . Καὶ πολλὰς ζωὰς ἕλον, ἠδ' ἐπέρασσα.

Καὶ τοιαῦτα δὲ καὶ Πρίαμος περὶ τῶν αὐτῷ υἱῶν ἀγορεύει, οἷα
περὶ Λυκάωνος, ἐκ τῆς ἁλωῆς τῆς τῷ πατρὸς ἀπαρθέντα Ἀχιλλεὺς ἀπημ-
πώλησεν: (Ἰλ: Φ'. ς. 77. κξ.) Καὶ περὶ τῶν ἄλλων δὲ ἀπολο-
φύρεται Ἑκάβη: (Ἰλ. Ω'. ς'. 752.)

„ Ἄλλους μὲν γὰρ παῖδας ἐμοὺς, πόδας ὠκὺς Ἀχιλλεὺς
„ Πέρνασχ' ὄντιν' ἔλεσκε . . . . . .

Τὰ δ' αὐτὰ καὶ ὅλας πόλεις ἔπασχον ὑποδεδλέμεναι, ἤτοι ἐξαν-
δροποδιζόμεναι, ὡς φάναι καθ' Ἕλληνας. Οὕτως Ἀχαιοὶ κρατήσαν-
τες Μυκήνας ἐξηνδραπόδισαν, (παρὰ Διοδώρ: Σικελ. Βιβλ. ΙΑ') Ἀλε-
ξανδρος δὲ Θήβας· (παρα τῷ Ἀρριανῳ: Βιβλ. Α'.) Μέμμιος δὲ Κόρινθον, (παρὰ Πλουτάρχῳ, καὶ ἄλλ:)

Οὐχ' ὅπως δὲ οἱ ἀπὸ μάχης ἐνδίκως ἁλωκότες ὑπὸ τῶν πολεμίων διεπιπράσκοντο, ἀλλὰ καὶ ὑπὸ κλοπέων, καὶ ληϊστήρων, ἢ ἄλλων τῶν ὁπωσποτε περιγενέσθαι κατιχυόντων. Οὕτως ὑπὸ τῶν Ταφίων ληϊστῶν, ἡ γυνὴ ἐκείνη διαπέπρακται σὺν Εὐμαίῳ. (Ὀδυσ. Ο'. ς. 425. κξ.) ὃς δὴ καὶ αὐτὸς ὑπὸ τῶν Φοινίκων δι' ὠνῆς παρεδόθη Λαέρτῃ, τῷ ἑοῖσι κτεάτεσσι πριαμένῳ. Καὶ Ὀδυσσεὺς δὲ, ὅμοιόν τι αὐτῷ οἱ παρεσκευακέναι φησὶ Φοινικά τινα κακέργον, σὺν ᾧ εἰς Λιβύαν ἔπλει, καὶ Θεσπρωτὸς, ὅτε Ἀκάστῳ τῷ βασιλεῖ ἐπέμπετο: (Ὀδυσ: Ξ'. ς. 340.)

„ Αὐτίκα δήλιον ἦμαρ ἐμοὶ περιμηχανόωντο.

Τέως δέ τοι καὶ Λαομέδων ἐπαπειλεῖ Ἀπόλλωνί τε καὶ Ποσειδῶνι (Ἰλ. Φ'. ς. 452. κξ.)

„ Δήσειν καὶ περάαν νήσων ἐπὶ τηλεδαπάων.

Μετριώτερα οἱ Ῥωμαῖοι: παρ' αὐτοῖς γὰρ, οἱ ἀπὸ τῶν πολεμίων ἐπὶ μάχης δικαίας λαφυραγωγέμενοι, ἐχ οἱ ὑπὸ κλεπτῶν καὶ ληστῶν ἁλισκόμενοι, δῆλοι καθίσαντο: Ὡς Οὐλπιανὸς ἀποκρίνεται (L. ΚΔ'. D. de captiv. et postlim.)

Ὅσα δὲ περὶ δήλων ἀνήκει τῶν ἐκτὸς πολέμε, ἢ ληστείας πιπρασκομένων, τοῖς τοιούτοις ἀνέκαθεν μηδόλως τὲς Ἕλληνας χρῆσθαι, „ἱστορεῖ Τίμαιος ὁ Ταυρομενίτης, παρ' Ἀθηναίῳ: Οὐκ ἦν φασὶ πά„τριον τοῖς Ἕλλησιν ὑπὸ ἀργυρωνήτων τὸ παλαιὸν διακο„νεῖσθαι. Ἡρῶτοι Ἑλλήνων ἀπομνημονέυονται Χῖοι, δήλες βαρβάρες ἐπὶ ῥητοῖς χρήμασιν ἐμπορέυσασθαι, οὓς διὰ τᾶτο καὶ τὴν Θεῶν μῆνιν καθ' ἑαυτῶν ἐπισπάσασθαι: ἐπεὶ καὶ ὑπ' αὐτῶν τῶν δήλων κατεταπεινώθησαν, τῇ δεσποτικῇ καταδυναστεύσει προσοχθισάντων.

Ἐν τοῖς τοιούτοις διαφερόντως ὑπῆρχον οἱ Κᾶρες, ἀνθ' ὅτε καὶ διὰ τῆς παροιμίας, ὡς δηλοπρεπεῖς ἐπεσημαίνοντο: εἰς ὃ καὶ οἱ Ἑρμηνευταὶ, τὸ Ὁμηρικὸν ἐκεῖνο: ἐν Καρὸς οἴσῃ: ἀνάγουσιν. (Ἰλ: Ι'. ς. 378.) Συχνὰ δὲ ἤδη ἐξ ἀρχαίων χρόνων, εἰς τᾶτο συνετέλεν τῆς χρήσεως, οἵτε Ποντικοὶ, καὶ οἱ Λυδοὶ, καὶ οἱ Φρύγες, καὶ οἱ παραπλήσιοι, οἷς

ἐκ ἦν δυχερὲς τὲς οἰκείες τοῖς ἀλλοτρίοις ἀπεμπωλεῖν, ὡς διέξεισι Φιλόστρατος, (ἐν τῷ Η'. βιβλ. τῶν εἰς τὸν βίον Ἀπολλων.)

Μεγάλη δέ τις ἦν ἡ πρὸς τὲς δέλες τῶν δεσποτῶν κυριότης· Ὅθεν καὶ ἄναντες ὑπ' ἐκείνων προσηγορεύοντο, ὡς δῆλον ἴσησιν ὁ Τηλέμαχος: (Ὀδυσ: Α'. ς. 397.) λέγων:

„ Αὐτὰρ ἐγὼν οἶκοιο ἄναξ ἔσομ' ἠμετέροιο,
„ Καὶ δμώων, ἔς μοι λήϊσατο δῖος Ὀδυσσεύς.

Φαίνεται δὲ καὶ Ἀνδρομάχη περὶ τῷ υἱεῖ δεδοικυῖα, μὴ γένηται; (Ἰλ: Ω'. ς. 734.)

„ Ἀεθλεύων πρὸ ἄναπτος ἀμειλίχε . . . . .

Ὅτι γὰρ δὴ ἡ τοιάδε κυριότης παρεξετείνετο ἄχρι ζωῆς καὶ θανάτε, δῆλον ἐξ ὧν Ὀδυσσεὺς ὑβριθεὶς ὑπὸ Μελανθέως, ἠπείλησε τῷ Δεσπότῃ ἀναγγελεῖν Τηλεμάχῳ. (Ὀδυσ: Σ'. ς. 338.)

„ Ἦ τάχα Τηλεμάχῳ ἐρέω, νύον, οἷ' ἀγορεύεις
„ Κεῖσ' ἐλθὰν, ἵνα σ' αὖθι διαμελεϊζὶ τάμῃσιν.

Ὅπερ ἔπειτα καὶ γεγονέναι λέγεται ἀμφὶ Μελάνθιον, ἀνὰ πρόθυρόν τε καὶ αὐλὴν ἀχθέντα: (Ὀδ: Χ'. ς. 474. κξ.)

„ Τὸ ἀπὸ μὲν ῥῖνάς τε καὶ ὦτα, νηλεῖ χαλκῷ
„ Τάμνον· μήδεά τ' ἐξέρυσαν, κυσὶν ὠμὰ δάσασθαι.
„ Χεῖρας τ' ἠδὲ πόδας κόπτον, κεκοτηότι θυμῷ.

Ὅτι δ' ἄρα τοῖς δέλοις ἰδιαίτερον ἀπέκειτο ἡ τοιάδε διὰ τὸ ἀκροτηριασμὸ Ποινὴ, δῆλον ἐξ ὧν Λαομέδων τοῖν Θεοῖν δελείαν ἐναπειλήσας, ἔφη, κωλοβώσειν τὰ ὦτα (Ἰλ: Φ'. ς. 455.)

„ Στεῦτο δ' ὅγ' ἀμφοτέρων ἀποκοψέμεν ὦτα χαλκῷ.

Εἰς τόδ' ἀνήκει, ὅτι καὶ αἱ δηλίδες αἱ ἰσχυρογνάμονες καὶ ἀνοσιεργοὶ πείσματι ἀπεκρεμάννυντο ὑψόθεν, καὶ τὸν διὰ βρόχε ὑφίσαντο θάνατον, ὃν μὴ καθαρὸν εἶπε Τηλέμαχος: (Ο'δ: Χ'. ς. 462.)

„Ἔνθα παρασημήνοι Εὐσάθιος λέγων: καθαρὸς θάνατος ὁ διὰ „ξίφες, μιαρὸς δὲ, ὁ ἀγχονιαῖος. Informe lethum προσέρηκεν Οὐϊργίλιος.

Ἔσι δ' ὅτε οἱ δῆλοι τῆς τῶν Δεσποτῶν κυριότητος ἀπελευθερῶντο. τῶθ' ὅπερ Ο'δυσσεὺς τῷ βακόλῳ καθυπισχνεῖτο, καὶ τῷ Συβώτῃ, ἐπαδὰν αὐτῶν συμπραττομένων, τὲς μνηςῆρας δαμάσειεν. (Ο'δ'. Φ'. ς. 216.)

„ Ἄ'ξομαι ἀμφοτέροις ἀλόχες, ἠ κτήματ' ὀπάσσω,
„ Οἰκία τ' ἐγγὺς ἐμεῖο τετυγμένα· καί μοι ἔπειτα
„ Τηλεμάχου ἑτάρῳ τε, κασιγνήτῳ τε ἔσεσθον.

Καὶ Πλέταρχος (Ε'λληνικῶν προβλημ: ΙΔ'.) ἱςορεῖ: ὅτι Τηλέμαχος Εὔμαιόν τε, καὶ τὲς ἀμφ' αὐτὸν, ἀπελευθέρες ποιήσας ἐγκατέλεξε τοῖς πολίταις, ὅθεν τὸ Κολιαδῶν γένος, καὶ τὸ βακολιαδῶν ἐν Ἰθάκῃ διέμεινε κλεϊζόμενα.

Ἄ'λλα παρὰ τοὺς τοιέσδε δήλες, ὑπῆρχον παρὰ Γραικοῖς, καὶ οἱ ἐλεύθεροι μὲν ὄντες, ἐπὶ μισθῷ δὲ διακονεῖν αἱρέμενοι· οἳ παρ' Ο'μήρῳ θῆτες καλῶνται, ὡς οἱ Τηλεμάχῳ ἐκδημήσαντι παρηκολεθηκότες: (Ο'δυσ: Δ'. ς. 644.) Θῆτες τε δμῶες τε.

Οὕτω καὶ Ο'δ. Σ'. ς. 556.)

„ Ξεῖν', ἦ ἄρ' ἐθέλεις θητευέμεν, εἴ σ' ἀνελοίμην,
„ Ἄ'γρῃ ἐπ' ἐξατιῆς (μισθὸς δέ τοι ἄρκιος ἔσαι.)

Καὶ Ἀ'χιλλεὺς δ' ἂν προέλοιτο: (Ο'δυσ. Λ'. ς. 488.)

„ Βελόμην κ' ἐπάρχος ἐὼν ἀγρεύειν ἄλλῳ·
„ Ἀνδρὶ παρ' ἀκλήρῳ, ᾧ μή βίοτος πολὺς εἴη,
„ Ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.

Οὕτως ἐθήτευσαν Λαομέδοντι Ἀπόλλων τε καὶ Ποσειδών: Ὁ μὲν βουκολῶν, ὁ δὲ τὰ τείχη ἐποικοδομῶν. Ὅθεν καὶ θητεῖαι Θεῶν παρ' ἀνθρώποις, ἐπὶ τῆς καθ' Ἕλληνας θεολογίας καταλέγονται, ὑπὸ Διονυσίδι τῷ Ἁλικαρνασσέως (ἐν Βιβλ. Β'. τῆς ἀρχαιολογ.) ὡσάυτως δὲ καὶ Ἡρόδοτος (ἐν τῇ Οὐρανίᾳ διέξεισι: Τρεῖς ὁμαίμονας, ἀπὸ Τιμένους καταγομένους: Γάβανόν τε καὶ Εὐρόπην, καὶ Περδίκκαν, ἔξ Ἄργους εἰς Μακεδονίαν ἀποδρᾶναι· ἔνθα ἐθήτευον ἐπὶ μισθῷ παρὰ τῷ Βασιλεῖ. Καὶ τούτους, ἀρχὴν μὲν ἱπποφορβεῖν· εἶτα βουκολεῖν· τρίτον δὲ τὰ ἑλάσσω πώεα βόσκειν.

ΟΜΗΡΙΚΩΝ ΑΡΧΑΙΟΤΗΤΩΝ

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

ΚΕΦΑΛ. Α'.

Περὶ ἐδωδῆς τῶν πάλαι Ἑλλήνων.

Ἐπὶ τῷ ἀνωτέρω βιβλίου τὰ δημοτελέστερα διελθεῖσι, περὶ τῶν ἰδιαιτέρων ἐχομένως διαληπτέον: ἐν οἷς πρῶτον, τὸ περὶ σιτήσεώς τε καὶ ἀμφιάσεως. Ἡ μὲν ἓν σίτησις ὑπὸ Ἀριστοτέλους (ἐν τῷ Γ'. Βίβλ. τῶν Ἠθικ: Κεφ. Ι'.) εἰς ὑγράν τε καὶ ξηρὰν διανέμεται: ὡς βρῶσιν δηλονότι καὶ πόσιν: ὡς καὶ ὑπὸ Ὁμήρου συνεχῶς (Ἰλ: Α'. ς. 469. καὶ Ω'. ς. 628. ἢ Ὀδυσ: Α'. ς. 150. Καὶ ἐν Ὕμν: τῷ εἰς τὸν Ἀπόλλ: ς. 313.) ἐπαναλαμβάνεται, τὸ,

„Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο:

Ἐν μὲν ἓν τῇ βρώσει τὰ πρῶτα φέρει ὁ ἄρτος, ὁ καθ' Ὅμηρον σῖτος: οὕτως, ὥστε καὶ ἀντὶ παντὸς ἐδέσματος ἐκλαμβάνεσθαι, καθάπερ ἓν καὶ παρ' Ἑβραίοις לחם Συνίσατο δὲ ἐκ πυρῆς, ἢ κριθῆς· τὰ γὰρ δύο ταῦτα εἴδη τῆ σίτῃ παρ' Ὁμήρῳ συνήθως ἐν χρήσει τί-„θεται· Καὶ ἔτω δὴ καὶ Ἡρόδοτος (ἐν Εὐτέρπῃ) ἀπὸ πυρέων καὶ „κριθέων οἱ ἄλλοι ζώουσιν· Αἰγυπτίων δὲ, τῷ ποιευμένῳ „ἀπὸ τέτων τὴν ζωὴν, ὄνειδος μέγιστον ἐστὶν· ἀλλ' ἀπὸ ὀλυ-„ρέων ποιεῦνται σιτία, καὶ ζέας μετεξέτεροι καλέσσιν. Εἰώ-θεσαν δὲ τὰς ἄρτας φέρειν ἐν Κάνῃσιν· ἃ δὴ Κανᾶ τε καὶ Κάνεα Ὁμήρῳ καλεῦνται. (Ὀδυσ: Α'. ς. 147.)

„ Σῖτον δὲ δμωαὶ παρενήνεον ἐν κανέοισιν.

Οὕτω καὶ παρὰ Θεοκρίτῳ ἐν τῷ μικρῷ Ἡρακλεῖ:

„ . . . . . Ἐν κανέῳ μέγας ἄρτος

„ Δωρικός . . . . . .

Ὡσάυτως καὶ Οὐιργίλιος, (Αἰνειάδ: Α'. ς. 705.)

. . . . . Cereremque caniſtris

Expediunt . . . . . .

„ . . . . . (Κανέοισι δὲ σῖτον

„ Νώμων) . . . . . .

Δονάτος ἑρμηνεύων: „ Mos enim fertur apud veteres fuiſſe, ut panis non argenteis vaſculis inferretur, ſed „ caniſtris; hoc eſt ſpecubus factis ex vimine (Ἔθος γὰρ „ἦναι τοῖς παλαιοῖς λέγεται, ἐκ ἐν ἀργυρέοις σκεύεσι τὸν „ἄρτον εἰσφέρεσθαι, ἀλλ' ἐν κανέοις· ἤτοι ἐν κυψελίσιν οἰ- „ συΐναις.)

Ἐξῆς δὲ προσήγετο τὰ κρέα· ταῦτα δὲ ἦν τὸ πλέον βόεια, προβάτεια, αἴγεια, ὕεια· Τὰ τοιαῦτα καὶ γὰρ ἐπὶ τῶν Ἡρωϊκῶν χρόνων, ἐν χρήσει μόνον ὑπῆρχε· καὶ αὐτὰ δὲ ὀπτά. (Α'θην: ἐν βίβλ: „Α'.) Παρετίθεντο δὲ οἱ μεν ἄρτοι σὺν τοῖς κανοῖς, τὰ δὲ „δεῖπνα, κρέα μόνον ἦν ὀπτὰ· ζωμὸν δὲ ἐκ ἐποίει Ὅμηρος „θύων βῶς, ἐδ' ἦψε κρέα, ἐδ' ἐγκέφαλον· ὤπτα δὲ τὰς „κοιλίας. Οὕτω σφόδρα ἦν ἀρχαῖος, Ἀντιφάνης φησὶν· ἔνθεν- τοι Σερβῖος, ἐν τῇ Α'. τῶν Αἰνειάδων: Heroicis temporibus non „veſcebantur carne elixa „Ἐπὶ τοῖς Ἡρωϊκοῖς χρόνοις· „ἐκ ἐσιτεῖντο κρέατι ἐφθῷ. ὅθεν φησὶ καὶ Οὐάρωνα γεγραφέ- ναι, τοῖς Ρωμαίοις κατ' ἀρχὰς ἐν χρήσει γενέσθαι τὰ κρέα ὀπτά· δεύτερον ἐφθά· τρίτον ζωμώδη. Ἀλλὰ γὰρ καὶ τῶν ἐφθῶν ἔτι κρεάτων χρῆσίν τινα γενέσθαι ἐν τοῖς πάλαι χρόνοις, ἐξ Ὁμήρε (Γλ: Φ'.

ς. 362.) παρασημειῶται αὐτὸς Ἀθήναιος φάσκων: „Ὅτι δὲ καὶ „ἐφθοῖς ἐχρῶντο κρέασιν, ἐμφανίζει (Ὅμηρος δηλ:) ἐν „οἷς λέγει:

„ Ὡς δὲ λέβης ζεῖ ἔνδον ἐπειγόμενος πυρὶ πολλῷ
„ Κνίσσῃ μελδόμενος ἀπαλοτρεφέος σιάλοιο.

Καὶ εἰς τόδε δὴ φέρει ὁ κατὰ τὸ Ὀδυσσέως ἐκσφενδονισθεὶς βόειος „πῆς: πόδα γὰρ βόειον ἐδεὶς ὀπτᾷ.

Ἦν δὲ εἰς Θοίνην αὐτοῖς ἐπιτήδεια τῶν ζώων τὰ τῇ ἡλικίᾳ προήκοντα· καὶ διὰ τοῦτο, φησὶν Ἀθήναιος, παρ' Ὁμήρῳ τὸς ἰδίους υἱὸς ἐπεγκαλῶν Πρίαμος κακίζει, ὅτι ὑπῆρχον (Ἰλ: Ω'. ς. 262.)

„ Ἀρνῶν, ἠδ' ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρες.

Πρὸς γὰρ συντήρησιν τῶν ἐπιγεννηθησομένων τόδε ὠκονομεῖτο· διὸ καὶ παρ' Ἀθηναίοις ἀπηγόρευτο, (καθὰ Φιλόχορος γράφει,) ἄκαρ„τον ἄρνα ἐθίειν: Ἀπέκτε ἄρνὸς μηδένα γένεσθαι, ἐπιλει„πέσης ποτὲ τῆς τῶν ζώων τούτων γενέσεως. Σύμφωνος δὲ τῷ νόμῳ, ᾗ ὁ ὑπὸ Οὐάλεντος ἐν τῷ Ἀνατολικῷ κράτει διαθεσπισθεὶς: „μήτις μόχθε κρέασι σιτείσθω: τῆς ἐκ τῆς γεωργίας ὠφε„λείας προμηθεμένε, ὡς φησὶν Ἱερώνυμος: (ἐν Βιβλ. Β'. τῶν κατὰ Ἰωβιανὸ.)

Ἀλλὰ καὶ ἐκ τῶν ἀγριωτέρων θηρίων τὸς Ἥρως ἐνίοτε σεσιτῆσθαι πρόδηλον, ἐκ τῆς περὶ τὰ κυνηγέσια συνεχοῦς αὐτῶν σπουδῆς οὕτως (Ὀδυσ: Ι'. ς. 155.) τοῖς περὶ τὸν Ὀδυσσέα, αἱ Νύμφαι ὦρσαν

„ Αἶγας ὀρεσκῴους, ἵνα δειπνήσειαν ἑταῖροι.

Καὶ ἐλάφους δὲ ἦλιον, καὶ ἕτερα τοιαῦτα ζῶα. (Ὀδυσ: Κ'. ς. 180. κξ.) Καὶ πτηνὰ δ' ἐφίλαν εἰς Θοίνην ἀγρεύειν, ἢ πάρεσιν εἰκάζειν ἐκ τῆς Πελείας τῆς ἀπὸ τοῦ ἰσοῦ λεπτῇ μηρίνθῳ πρὸς ἐπίδειξιν ἐυτοξίας (Ἰλ: Ψ'. ς. 855.) ἀπηρτημένης. Τὸ δ' αὐτὸ καὶ περὶ τῆς τῶν ἰχθύων ἄγρας ὑπολητέον, ἐξ ἰῶν, περὶ τῶν Ὀδυσσέως ἑταίρων (Ὀδ: Μ'. ς. 330.) λέγεται, ὅτι.

„ . . . . Ἄγρην ἐφέπεσκον ἀλητεύοντες ἀνάγκῃ
„ Ἰχθῦς, ὄρνιθάς τε, φίλας ὅτι χεῖρας ἵκοιτο,
„ Γναμπτοῖς ἀγκίστροισι . . . . . .

Οὐ δὴ ἐκ πολλοῦ εἰθισθαι αὐτὸς ἐργάζεσθαι ὑπείληφεν Ἀθήναιος. Ἀλλὰ Πλάταρχος ἐν τοῖς αὐτοῦ συμποσιακοῖς προβλήμασιν οἴεται, ἐκ ἄλλως, ἢ ὑπὸ λιμοῦ κατεπείγοντος, πρὸς ἁλίαν ἐκείνους ἐπιτραφῆναι: ἐπεὶ τῆς ἰχθυοφαγίας κατ' ἐκεῖνο τοῦ χρόνου οἱ ἄνθρωποι ἐτύγχανον ἀπεχόμενοι, ὡς ἐπὶ λιχνείαν συντελούσης. Οὐδαμοῦ γὰρ τῷ ὄντι συνορῶμεν, ἰχθῦς ἐπὶ τῶν Ἡρωϊκῶν παρατεθειμένους, καί τοι παρὰ τὸν Ἑλλήσποντον παρεμβαλόντας, ὃν ἰχθυόεντα Ὅμηρος ἀποκαλεῖ: ὃ δὴ καὶ Πλάτων παρατετήρηκε. (Βιβλ. Γ'. τῶν περὶ πολιτ:) ἐπὶ στρα-
„τιᾶς ἐν ταῖς τῶν Ἡρώων ἑστιάσεσιν, ἔτε ἰχθῦσιν αὐτοὺς
„ἑστιᾷ· καὶ ταῦτα ἐπὶ θαλάττῃ ἐν Ἑλλησπόντῳ ὄντας·
„ἔτε ἐφθοῖς κρέασιν, ἀλλὰ μόνον ὀπτοῖς.

Τὴν τοῦ γάλακτος χρῆσιν Ὅμηρος ἰδίᾳ συνήθη παρέσησε τοῖς ἱπποπολγοῖς, ἐς καὶ γαλακτοφάγους τότε γε ἕνεκα ὀνομάζει· (Ἰλ. Ν'. ς. 6.) Καὶ τόν γε Πολύφημον μετὰ τὰ ἀνδρόμεα, ἃ κατεδήδοκε κρέα, ἐπιπίνοντα ἐποίησεν ἄκρητον γάλα (Ὀδυσ. Ἰ. ς. 297.) Ὅμοια γράφει καὶ Θεόκριτος (ἐν Εἰδυλ. ΙΑ'.) ὡσαύτως δὲ καὶ ἡ Κίρκη παρέθηκε τοῖς περὶ τὸν Ὀδυσσέα, (Ὀδ. Κ'. 234.)

„ . . . Τυρόν τε, καὶ ἄλφιτα, καὶ μέλι χλωρὸν· ἄτινα καὶ
„οἴνῳ πραμνείῳ ἐκύκα . . . . . Οὗν δήπε τρόπον, καὶ ὁ Νέσωρος κυκεὼν συνετέθη· περὶ ἧ (Ἰλ. Λ'. ς. 638.) Καὶ ὁπωρῶν δὲ, καὶ λαχάνων γενέσθαι τοῖς Ἥρωσι χρῆσιν, ἔυδηλον, ἐξ ὧν ὁ Νέσωρ ἐκέλευσε παρατεθῆναι. (Ἰλ. Λ'. ς. 629.)

„ Χάλκειον κάνεον· ἐπὶ δὲ πρόμυον ποτῷ ὄψον·
„ Ἡ δὲ μέλι χλωρὸν . . . . . .

Καὶ Ὀδυσσεὺς δ' ἔφασκεν ὁμοίως δοθῆναι οἱ παρὰ Λαέρτᾳ τῷ πατρὸς, παιδὶ ὄντι (Ὀδυσ. Ω'. ς. 339.) „Ὄγχνας τε καὶ μηλέας. Διὸ καὶν τῷ Ἀλκινόῳ ὀρχάτῳ τὰ πεφυτυμένα ἐπαινέται. (Ὀδ. Η'. ς. 115.)

„ Ὄγχναι, καὶ ἐοιαὶ, καὶ μηλέαι ἀγλαόκαρποι,
„ Συκαί τε γλυκεραὶ, καὶ ἐλαῖαι τηλεθόωσαι.

Καὶ τῷ Ταντάλῳ δ' εἰν Ἅιδῃ, (Ὀδ. Λ'. ς. 588.) Παρῆν θεάσασθαι τὰ παραπλήσια, ἐξ ὧν Ἀθήναιος (ἐν Βίβλ. Α'.) πρὸ τῶν Τρωϊκῶν ἔτι χρόνων τὴν τῶν ὀπωρῶν χρῆσιν γενέσθαι εἰσβάλλει. Ἡ δέ τοι χρῆσις τῶν μήλων ἐξόχως πολλή τις ἦν, ἐν αἷς τραπέζαις δευτέρας κα„λεῖσιν. Ὅθεν καὶ Σερέϊος: Δισσὰς (φησὶν) εἶχον τραπέζας τὴν μὲν „κρεῶν, τὴν δὲ μήλων: Duas habebant menſas; unam carnis, alteram pomorum. Ἀλλ' ἔκειν αὐτὰς Ὅμηρος τοῖς Ἥρωσι παρατίθησι: καί τοι γε, ἐξ ἀρχαιοτάτων χρόνων, τὸ κατ' αὐτὰς ἔθος ἐπικρατῆσαι Ἀθήναιος διατείνεται (ἐν Βιβλ. ΙΔ'.)

Τελευταῖον καὶ ἡ τῶν ἁλῶν χρῆσις, ἐφ' οἷασῆν σιτήσεως μεγάλη τις ἦν· διὸ καὶ τὸ ἅλας Ὅμηρος ἐκθειάζων, θεῖον ἀποκαλεῖ (Ἰλ. Ι'. ς. 214.) Καὶ ὁ Πλάτων δ' ἐν τῷ Τιμαίῳ θεοφιλὲς· παρεσημειώσατο δὲ τοῦτο καὶ Πλούταρχος (συμποσ. προβλ. Βιβλ. Ε'. Κεφ. Θ'.) καὶ τὸ ἔθος τῆς χρήσεως „διὰ πλειόνων ἐπαινῶν, προσίθησι: Κινδυνεύουσι γὰρ αἱ ἅλες τῶν „ἄλλων ὄψων, ὄψον εἶναι καὶ ἥδυσμα· ἐδέ γε ἧττον εἶναι „τῇ ὠφελείᾳ, φωτός τε, καὶ ὕδατος, καὶ γῆς. Διὸ καὶ τοῖς παλαιοτάτοις Ἕλλησιν ἀεὶ τὸ ἅλας συνεμέμικτο τῇ τραπέζῃ, ὃ καὶ ἐκ τῆς παροιμίας δῆλον: τῆς, ἅλα καὶ τράπεζαν μὴ παραβαίνειν ἐγκελευούσης. Ἐκ δὲ δὴ τούτου, καὶ τὰς πιεζομένας ἐνδείας εἴρηται: ἅλα λείχειν· ἤτοι (ὡς ὁ Πέρσιος φησὶ .... Digito terebrare ſalinum, Δακτύλῳ τρυπᾶν τὸ ἁλοδοχεῖον. Ἀλλ' ἔστι ση-

μειώσεως ἄξιον τὸ Ὁμήρῳ ῥηθὲν: (Ὀδυσ. Λ. ς. 122.)
„ . . . . . Οὐδέ θ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν:
οὓς ὁ Παυσανίας εἶναι βέλεται τὲς Ἠπειρώτας: τὲς ὡς ἀπαιδεύτες κατ' ἐκεῖνο τὸ χρόνε, καὶ εὔχεθαι ἀγνοέντας ἐπίσης, καὶ χρῆθαι ἅλατι.

ΚΕΦΑΛ. Β'.

Περὶ τῆς πόσεως.

Ποτὸν τὸ πάντων πρώτιζον ἐςὶ τὸ ὕδωρ, ὃ κοινὸν ἅπασι τῆς ζωῆς μετέχεσιν ἡ Φύσις ἐπήρκεσεν. Ἐν μὲν ἓν (Ἰλιάδ. Β'. ς. 825.) οἱ Τρῶες „εἴρηνται: πίνειν ὕδωρ μέλαν Αἰσήποιο. Καὶ Πίνδαρος περὶ τῶν „Θηβῶν τῆς πατρίδ αὐτῷ γῆς ἦν ἄρδων: (Ὀλυμπ. ς'.) τᾶς ἐρατει„νὸν ὕδωρ πίομαι· ὃς καὶν τῇ Α'. τῶν ᾠδῶν τὸ ὕδωρ ἐξίμνει, ἁπάντων λέγων εἶναι τὸ ἄριζον.

Προσελήφθη ἐξ ἐπινοίας ἀνθρωπίνης ὁ οἶνος, ἔπερ ἡ χρῆσις πλείζη ἐγένετο καθ' Ὅμηρον· ἀεὶ τῷ σίτῳ συζευγνῦντα τὸν οἶνον, τό γὰρ „μένος ἐςὶ καὶ ἀλκὴ, φησὶν Ὀδυσσεὺς, τὸ ἐξ ἀμφοῖν ἐπάναγκες ὂν τῷ βίῳ ἐπισυνιςῶν: (Ιλ'. Γ'. ς. 702. καὶ Τ'. ς. 161.) Οὐ μόνοι δ' οἱ ἄνδρες, ἀλλ' ἔτι καὶ αἰθήλειαι, καὶ νεάνιδες ἔσαι, οἴῳ ἐχρῶντο, ὡς δῆλον ἐκ τῆς Ναυσικάας, καὶ τῶν σὺν αὐτῇ παιδισκῶν (Ὀδυσ. Ζ'. ς. 77.) Οὐ κατ' ἔθος δηλονότι τόδε τὸ τῶν Ῥωμαίων, καὶ ἐθνῶν ἄλλων, παρ' οἷς ἐκ ἦν θέμις γυναιξὶν οἴνε γεύεθαι· ὡς Ἀθήναιος μαρτυρεῖ (ἐν Βιβλ. Γ'.) ὁ καὶ τὰς Ἑλληνίδας μέθης καταμεμφόμενος. Τὸ δ' ἔτι μᾶλλον, ὅτι καὶ τοῖς νηπίοις Ἕλληνες προπίνειν εἰώθεσαν, ὡς τῷ Ἀχιλλεῖ ὁ Φοίνιξ.

(Γλ' Γ'. ς. 485.) ὅπερ ἦν ἀπαρέσκον τῷ Πλάτωνι (ἐν τῷ Β'. τῶν Νομ.) „διαγορεύοντι: Παῖδας μέχρις ἐτῶν ὀκτὼ καὶ δέκα, οἶνον τὸ „παράπαν μὴ γεύεσθαι, μετὰ δὲ, γεύεσθαι μὲν, μὴ μεθύσ„κεσθαι δέ.

Ἐν ἀσκῷ ἀγείῳ ἔχειν τὸν οἶνον τὰ πολλὰ ἦν ἔθος τοῖς Ἕλλησιν. Γλ. (Γ'. ς. 241. καὶ Ὀδ. Ζ'. ς. 78.) ὃ καθ' ἡμᾶς ἔν τε Ἱσπανίᾳ καὶ ἐν ἄλλαις ἐκείνῃ ἀρχιτέρμοσι χώραις κρατεῖ. Ἄλλως τε γὰρ, καὶ Πίθοι παλαιοῖ οἴνου πλήρεις ἐν τῷ Ὀδυσσέως ταμείῳ ἐτηροῦντο: Ὀδυσ. Β'. ς. 340.)

„Ἐν δὲ πίθοι οἴνοιο παλαιοῦ ἡδυπότοιο
„Ἕσαν, ἄκρητον, θεῖον ποτόν.

Τοιοῦτος ἦν ὁ οἶνος τοῦ Νέστορος, ὁ ἐνδεκέτης ἐκεῖνος (Ὀδυσσ: Γ'. ς. 391.)

„Τοῖς δ' ὁ γέρων ἐλθοῦσιν ἀνα κρητῆρα κέρασσεν
„Οἴνου ἡδυπότοιο, τὸν ἑνδεκάτῳ ἐνιαυτῷ
„Ὤϊξε ταμίη, καὶ ἀπὸ κρήδεμνον ἔλυσε.

Πολλοῦ γὰρ Ἕλλησιν ἐτιμᾶτο τοῦ οἴνου ἡ παλαιότης, ὡς ἐκ τοῦ „Πινδάρου δῆλον ὑμνοῦντος: παλαιὸν μὲν οἶνον, ἄνθεα δ' ὕμνων „νεωτέρων. Καὶ Ἀθήναιος δὲ (ἐν Βιβλ. Α'.) τὸν παλαιὸν οἶνον ἐχόπως πρὸς ἡδονὴν, ἀλλὰ καὶ πρὸς ὑγίειαν ἐδὲν ἧσσον συντελεῖν ἀποφαίνεται· ἐξαιρέτως δ' ὁ μέλας οἶνος φημίζεται παρ' Ὁμήρῳ, ἀπανταχοῦ τὸν αἴθοπα οἶνον ἐπιλέγοντι. Δυναμικώτερος γὰρ ἐσὶ, „καὶ μένων ἐν ταῖς ἕξεσι τῶν πινόντων, πλεῖσον χρόνον, φησὶν Ἀθήναιος. Τοιοῦτος δὴ ὁ Μαρώνειος οἶνος, ὃν Ὅμηρος ὑπὲρ „τὰς ἄλλας ἐξαίρει: (Ὀδυσ: Ι'. ς. 205.—209.) Ἡδὺν, ἀκη„ράσιον, θεῖον ποτὸν„ ἐγκωμιάζων· οὗτινος ἓν δέπας, μέτροις εἴκοσιν ἀνεκεράννυτο ὕδατος. Τάτε δὴ τοῦ οἴνου καὶ Πλίνιος μέμνηται,

τιμιώτατον καὶ ἐπ' αὐτῷ γεγονέναι φάσκων. (Βιβλ. ΙΔ'. Κεφ. Δ'.) Ἀλλὰ καὶ τὸν Πράμνιον οἶνον ὁ Ποιητὴς ἐπαινεῖ: (Ἰλ. Λ'. ς. 638. καὶ Ὀδυσ. Κ'. ς. 235.) ὃν ὁ ῥηθεὶς Συγγραφεὺς, ἐν Σμύρνῃ φύεσθαι καθιστορεῖ, ἐγγὺς τοῦ εἰδωλείου τῆς μητρὸς τῶν Θεῶν, ὥστε καὶ καθ' ἃς αὐτὸς χρόνους ἐβίω, τὸν οἶνον διὰ τιμῆς φέρεσθαι.

Εἰώθεσαν ἓν τὸν οἶνον, τὰ πλεῖστα ὕδατι ἐναπεραννύειν ἐν τῷ κρατῆρι, ὡς ἰδεῖν ἐστὶν: (Ὀδυσ. Α'. ς. 110.)

„ Οἱ μὲν ἄρ' οἶνον ἔμισγον ἐνὶ κρητῆρσι καὶ ὕδωρ.

Ἐξ ὧν καὶ τὰ τοιαῦτα σκεύη ἔτως ὠνόμασαι ἀπὸ τῆς γινομένης κράσεως, ἣν δὴ παραγωγὴν τοῦ ὀνόματος Ὅμηρος μὲν συχνάκις αὐτὸς „ἀναφέρει, Ἀθήναιος δὲ (ἐν τῷ Ε'. Βιβλ.) ἐπιβεβαιοῖ. Οἱ δὲ κρα„τῆρες αὐτοῖς, ὥσπερ ἔχει καὶ τὄνομα, κεκραμένοι πα„ρέσησαν· ἐς δὴ κρατῆρας ἐπειδὴ τῷ οἴνῳ ἐπέσεφον, ἐπισεφέας οἴνοιο, ὁ Ποιητὴς ὀνομάζει. (Ἰλ. Θ'. ς. 232. καὶ Ὀδ. Α'. 149. καὶ ἀλλαχοῦ πολλ.:)

„ Κῆροι δὲ κρητῆρας ἐπεσσεύαντο ποτοῖο.

Οὕτω καὶ παρὰ τῷ Οὐϊργιλίῳ (Αἰνειάδ. Γ'. ς. 525.) Ἀγχίσης:

. . . . . Magnum cratera corona
Induit, implevitque mero . . . . . .

„ Εὐρὺν δ' Ἀγχίσης γενέτης κρητῆρα ςέψε
Πλῆσε τε οἴνῳ. . . . . .

Ἀμέλει τοι ἕτω μέχρι τοῦ χείλους τὸν κρατῆρα ἐπλήρουν, ὡς οἶ„νον ἐςέφθαι δοκεῖν τὸ σκεῦος, καθάπερ Ἀθήναιος (ἐν Βιβλ. Α'.) διερμη„νεύει. Ἐπισέφοντας δὲ ποτοῖο οἱ κρατῆρες, ἤτοι ὑπερχει„λεῖς οἱ κρατῆρες ποιοῦνται, ὥστε διὰ τοῦ ποτοῦ ἐπισεφα„νοῦσθαι οἷς προσίθησιν, ὅτι καὶ ἐπ' αἰσίῳ τινὶ συναντήματι, ἢ με„τά γε τὸ ἀπαισίως ἐπισυμβὰν, οἱ Ἥρωες τόδ' ἐποίουν.

„ Καὶ ταῦτα ἔπρασσον πρὸς οἰωνοῦ τιθέμενοι.

Ἀπὸ τῶν κρατήρων εἰς τὰ ποτήρια ὁ οἶνος ἐνεχεῖτο. Ὀδυσ. Γ'. ς. 9.)

„ . . . . Μέθυ δ' ἐκ κρητῆρος ἀφύσσων
„ Οἰνοχόος φορέῃσι, καὶ ἐγχείῃ δεπάεσσιν.

Ἦν δὲ τὰ ποτήρια ποικίλα καὶ ὕλῃ, καὶ σχήματι, περὶ ὧν Ἀθήναιος (ἐν τῷ ΙΑ'. Βιβλ:) ἀκριβῶς πραγματεύεται. Φησὶ δὲ καὶ τὰς παλαιὰς ἐν κέρασι πεποκέναι βοείοις. Ὅθεν καὶ ὁ Βάκχος κερατοφυὴς ἐξεικόνισαι· καὶ ὁ **Κρατὴρ** ὑπὸ πολλῶν, οὕτως εἰρῆθαι νομίζεται, οἷον **Κερατὴρ**· τότε δὲ δείγματα παρὰ τοῖς ἀρχαιοτάτοις τῶν Συγγραφέων φέρεται πλεῖστα. Μετὰ δέ, καὶ χρυσᾶν, καὶ ἀργυρᾶν, ἐπὶ τῇ τοιᾷδε χρήσει παρεσκεύαθαι δέπας, ὡς παρ' Ὁμήρῳ πολλαχῇ φαίνεται ἐν ταῖς τῶν Ἡρώων ἑστιάσεσιν. Ὀψιαίτερον δ' ἔν γε Ἑλλάδα εἰσενεχθῆναι Ἀναξιμένης φησὶν ὁ Λαμψακηνὸς (ἐν ταῖς πράταις ἐξιστορήσεσιν.) Ἔνθα Ἐριφυλος διέξεισιν, Ὁρμίσκον χρύσεον ἐπιθρυλληθῆναι, ὅτι πολλὴ τὸ τηνικαῦτα ἦν ἡ τῆ χρυσῆ ἀπορία παρ' Ἕλλησιν, ὅτε καὶ ἀργυρᾶν κύπελλον, κατ' ἐκεῖνο τῆ χρόνῳ, οἷόν τι καινὸν καὶ ἄηθες, ἐκ ἄνευ θαύματος ἐωρᾶτο. Ἀλλ' ἐξ οὗπερ οἱ Βοιωτοὶ τὰς Δελφὰς κατεπέχον, ἅπαντα τὰ τοιαῦτα ἐν ἀφθονίᾳ μετεξεγένετο, καὶ γὰρ οἱ πρότερον νομιζόμενοι πλουσιώτατοι ἐν δέπασι χαλκείοις ἐτύγχανον πίνοντες, ἐν **χαλκοθήκαις**, ὡς ἀπεκάλεν, ἀποταμιευομένοις. Εἰώθην δὲ τὰ ἴδια κύπελλα, ποικίλοις ἐμβλήμασιν ἐπισημαίνειν καὶ περικοσμεῖν· ἓν δεῖγμα ἐν τῷ τῆ Νέστορος κισσυβίῳ ἐκείνῳ πρόκειται. (Ἰλ: Λ'. ς. 632.) Οὕτως Ἡρόδοτος ὁ Ἡρακλεώτης γράφει, χρυσῆν φιάλην τῷ Ἀτρεῖ ὑπάρξαι, ἧς ἐν τῷ μέσῳ γέγραπτο εἰκόνιον ἀμνῆ. Γνωσὸν δὲ καὶ κεῖνο τὸ Δάφνιδος τῆ αἰπόλε Κισσύβιον, τὸ πολλοῖς εἰκόσι παρὰ τῷ Θεοκρίτῳ (ἐν Εἰδυλ: Α'.) κατηγλαϊσμένον· καὶ μὴν καὶ τὸ ἀργύρεον ποτήριον, τὸ ὑπὸ Ἀνακρέοντος περιγραφόμενον.

Τὰ μὲν ἓν τῶν Ἡρώων ποτήρια εὐρυχανδέστερα ἦν, ὡς τὸ τῆ Νέστορος, ὃ μόλις πε ἄν τις, καὶ νεώτερος ὤν, ἐβάστασε. Κεῖνο δὲ, ὃ

τρὶς ἀπαφύσσας ὁ θηριώδης Κύκλωψ παρέπεμψεν. Οἱ δ' ἐν προπόσεσιν ἐνεχόλαζον, ποτήρια μείζονα, καὶ ταῦτα ζωρότερα ἐζητοῦντο. Οὕτως Ἀχιλλεὺς τὸν διαπρεσβεύοντας ὑποδεξάμενος, (Ἰλ: Ι'. ς. 202.)

„ Μείζονα δὴ κρητῆρα, Μενοιτίου υἱὲ καθίσας,
„ Ζωρότερον δὲ κέρασσε· δέπας δ' ἔντυνον ἑκάστῳ.

Ὅπερ ἔν οἱ ὕστερον Ἕλληνες ἐκάλεν: τὴν μείζονα αὐτεῖν: „(δηλ: κύλικα) Ἄλεξις δὲ, κυάθους προπίνων εἴκοσιν, ἴσον „ἴσῳ, πάλιν τὴν μείζω ἤτει. Ἔνθα καὶ τὸ Κικέρωνος ἀνήκει ἐκεῖνο, in Verrem: fit ſermo inter eos et invitatio, ut Graeco more biberetur; poſcunt majoribus poculis. „Γίγνεται δ' ἐν αὐτοῖς λόγος, καὶ πρόσκλησις, τῷ κατὰ „Γραικὸς πιεῖν, ἀπαιτοῦσι δ' ἐν δεπάεσι μείζοσιν. Ἐχρῶντο δὲ προσέτι Ἕλληνες καὶ ἀκράτῳ, μηδὲν τὸ παράπαν ὕδατος ἐπιμιγνῦν„τες. Σώφιλος παρὰ Ἀθηναίῳ (ἐν Βιβλ: Ι'.) συνεχὴς ἄκρατος „ἐδίδοτο, ἴσον ἴσῳ, πάλιν τὴν μείζον ἤτησεν. Οὐδ' ἐλλείπουσιν οἱ τὸ ζωρότερον ἐκεῖνο τὸ Ἀχίλλειον, διερμηνέυοντες ἄκρατον: ὡς καὶ αὐτὸς ἐκδιδάσκει ὁ συγγραφεύς. Ἦπου δ' ὅτι, ἐν τοῖς παλαιοῖς Ἡρωσιν ἐκείνοις, ἐγένοντο οἱ ἀφειδέστερον περὶ τὸν οἶνον ἀπασχολέμενοι, τετὶ παρὰ Ὁμήρῳ πλειοχθὰ πάρεσιν ἰδεῖν, καί τοι τόγε μεθύσκεσθαι οἱ αὐτοὶ ἔχον εἰς ὄνειδος.

ΚΕΦΑΛ. Γ'.

Περὶ καιρῶν σιτήσεως.

Πολλαπλῆς ἦν καὶ ποικίλος ὁ τῆς τροφῆς λόγος τοῖς παλαιοῖς παρὰ Ὁμήρῳ Ἥρωσι· πλεῖν γὰρ ἢ ἅπαξ τῆς ἡμέρας σιτεῖσθαι εἰώθεσαν. Ὁ μὲν Ὅμηρος Ἀρίστου μνημονέυει, καὶ δείπνου, καὶ δόρπου, δι' ὧν

τοσάσδε διασημαίνει σιτήσεις: τὴν μὲν πρωΐας, τὴν δὲ μεσημβρίας, „τὴν δὲ ἑσπέρας, γινομένας. Καὶ ἄριστον μὲν ἐστὶ τὸ ὑπὸ τὴν ἕω „λαμβανόμενον· δεῖπνον δὲ τὸ μεσημβρινὸν, ὃ ἡμεῖς φαμὲν „ἄριστον· δόρπον δὲ τὸ ἑσπερινὸν, φησὶν Ἀθήναιος (Βιβλ. Α΄.) „Οὕτω δὲ διατεταχέναι ἔοικε καὶ Ἀνιχύλος, ἐν οἷς εἶπε: Σῖτον δ' εἰ- „δέναι διώρισα· Ἄριστα, Δεῖπνα, Δόρπα θ' αἱρεῖσθαι τρίτα. Ἐγένοντο δὴ καὶ οἱ τέταρτον ἔτι προσθέμενοι, τὸ λαμβανόμενον μετὰ μεσημβρίαν, ὅπερ ἐσπέρισμα Φιλήμων ὠνόμασε: merendam δὲ οἱ Λατῖνοι καλοῦσι, τῷ Ὁμηρικῷ ἐκείνῳ: (Ὀδ: Ρ΄. ς. 599.) προσερει- δόμενοι:

„ . . . . . Σὺ δ' ἔρχεο δειελίησας.

Ἀλλ' ὀρθότερον Ἀθήναιος (ἐν Βιβλ. Ε΄) Οὐ νοοῦντες (λέγων) „ὅτι λέγει, τὸν δειλινὸν διατρέψας χρόνον: ὥστε εἶναι τὸν νοῦν τοῦ ἔπους, ἔκθυ ὡς ἂν προδειπνήσῃς τὸ δειλινὸν σιτισθεὶς, ἀλλ' ὡς ἂν ἄχρι πρὸς δύσιν ἡλίου, ἡμῖν συνδιατρίψῃς.

Ὁ αὐτὸς δ' ἓν Συγγραφεὺς παρατηρῶν ἐστὶ, μηδένα παρ' Ὁμήρῳ „φαίνεσθαι τὸν τῆς αὐτῆς ἡμέρας, τρὶς ἐπισιτησάμενον: Ὅμως δὲ „εὑρεῖν δείξει παρὰ τῷ Ποιητῇ τρὶς τινὰ λαμβάνοντα „τροφάς. Ἐν καιροῖς μόνον ἄλλοις ὑπ' ἄλλων παρίσασθαι τόδε γενέσθαι. Ἐν δὲ πολέμῳ τὰ πολλὰ δεῖπνον ἦν μόνον ἢ δόρπον. τὸ μὲν, πρωΐ- αίτερον πρὸ τῆς μάχης· τὸ δὲ νυκτὸς ἐπικαταλαβέσης, ὡς πανημερίων ἐν ὅπλοις τῶν πολεμιζῶν ὄντων. Οὕτως (Ἰλ: Β΄. ς. 381. καὶ 385.) Ἀγαμέμνων τὸς Ἀχαιοὺς εἰς πόλεμον ἐποτρύνων:

„ Νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα,
„ Ὡς κε πανημέριοι συγερῷ κρινώμεθ' Ἀρηϊ.

Τῆς νυκτὸς δ' ἐπελθέσης τὰ τῆς συμβολῆς κατεπάυετο. Παραπλησίως δὲ καὶ Ἕκτωρ τοὺς ἰδίους κελεύει ἀπὸ τῆς μάχης σιτήσασθαι: (Ἰλ: Θ'. ς. 502.)

„ Ἀλλ' ἦτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ,
„ Δόρπα τ' ἐφοπλισόμεσθ'. . . . . .

Ἀλλὰ γὰρ λιτή τις ἦν, καὶ σμικρὰ παρ' Ἕλλησι πάλαι ἡ ἐφ' ἡμέρας σίτησις, ἐπ' ἄρτῳ ἐν ἀκράτῳ ἐμβαπτομένῳ τῶν πλειόνων ἐπαρ„κεμένων, ὡς ἐσὶ παρὰ Πλουτάρχῳ μαθεῖν (Συμποσιακ: Η'.) φασὶ „γὰρ ἐκείνους, ἐργατικὰς ἅμα καὶ σώφρονας ὄντας, ἔωθεν „ἐθίειν (ἄρτον) ἐν ἀκράτῳ, καὶ μηθὲν ἄλλο· διὰ τοῦτο μὲν „ἀκρατισμὸν καλεῖν, διὰ τὸ ἄκρατον. Ἕτεροι δὲ ἐλαίαις, ἢ μέλιτι, ἢ τοῖς τοιούτοις ἀπεχρῶντο εἰς ἄρισον, ἢ Γαληνὸς μαρτυρεῖ (ἐν Βιβλ. ς'.) περὶ τοῦ τὴν ὑγίειαν ἐνδιασώζειν, ὡς ἐντεῦθεν καὶ τὴν συνήθη παροιμίαν παρ' Ἕλλησι προενεχθῆναι: Δεῖπνον ἀφελὲς, ἄρισον ἄπυρον. Ὡσαύτως δὲ καὶ τοὺς Ῥωμαίους διαβιβᾶν διδάσκει Πλίνιος (ἐν Βιβλ: Γ'. τῶν ἐπιστολ:) Poſt cibum, quem interdiu levem et faci„lem, veterum more fumebat; (Μετά γε τὴν τροφὴν, „ἣν ἐφ' ἡμέρας κέφηντε καὶ ῥαδίαν, κατὰ τὸ τῶν ἀρχαίων „ἔθος, ἐλάμβανε.) Καὶ ὁ Κικέρων (ἐν τῷ Ε'. τῶν Τυσκυλ:) „Non placet bis indie faturum fieri (ἐκ ἀγαπητὸν δὶς „τῆς ἡμέρας ἐπικορέννυσθαι.) Ὁ δὲ Πλούταρχος (ἐν τῷ Η'. τῶν Συμποσιακ:) ἐπιβεβαιοῖ τοὺς πάλαι Ῥωμαίους καθ' ἑαυτοὺς ἀρισᾶν, δειπνῆν δὲ δαψιλῶς, δαιτυμόνας συμπαραλαβόντας. Καθ' „ἑαυτοὺς γὰρ ἠρίστων ἐπιεικῶς οἱ πάλαι Ῥωμαῖοι, συνδει„πνοῦντες τοῖς φίλοις. Ὅθεν καὶ Coena Λατινισὶ (Κοινὴ) εἴρηται, ἡ κατὰ τὸ δεῖπνον σίτησις, διὰ τὴν κοινωνίαν τῶν συνεσιω„μένων, ὡς Ἰσίδωρος (ἐν Βιβλ: Κ'. Κεφαλ: Β'.) ἑρμηνεύει. Καὶ τὸν

αὐτὸν δὲ τρόπον καὶ τὰς πολαιὰς τῶν Ἑλλήνων, τὸ ἑσπέρας μάλισα συμποσιάζειν ἐξ αὐτῆ Ὁμήρε καταδηλον· οὗ χάριν καὶ Δεῖπνα ὕσερον τὰ συμπόσια ἐρηται, οἷον εἰπεῖν διαπεπονημένα.

ΚΕΦΑΛ: Δ.

Περὶ Συμποσίων.

Ἐπὶ τοῖς συμποσίοις οἱ πάλαι Ἕλληνες, τῆς ἐυημερίας μέρος ἐτίθεντο, ἐχὶ τὸ ἐλάχισον, ὅπερ Ὅμηρος ἐμφαίνει μυριαχῆ, ἰδίᾳ δὲ ἐν τῇ Ι'. Ραψωδίᾳ τῆς Ὀδυσσείας· ἔνθα Ὀδυσσεὺς παρὰ τοῖς Φαίαξιν ἐυωχέμενος, ἀδέν τι κάλλιον φησὶν, ἐδ' ἥδιον αὐτῷ δοκεῖν, ἢ ἐπὶ δαιτὸς οἴνε τε καὶ ἐδεσμάτων πληθύσης συνεσιᾶθαι. (Λὐτ: ς. 5. καὶ 11.)

„ Οὐ γὰρ ἔγωγέ τε φημὶ τέλος χαριέσερον εἶναι —
„ Τῆτο τί μοι κάλλισον ἐνὶ φρεσὶν ἅδεται εἶναι.

Τρία δὲ γένη συμποσίων, τοῖς παλαιοῖς ὄντα συνήθη, ὑπὸ Ὁμήρε προτίθεται: (Ὀδυσ: Α'. ς. 225.) ἔνθαπερ Λθήνη εἰς τὸν Ὀδυσσέως οἶκον παραγενομένη, ἐν οἱ Μνηςῆρες ἐυωχέμενοι ἐπικατεῖχον, ἐκπυνθάνεται,

„ Τίς δαὶς; τίς δὲ ὅμιλος ὅδ' ἔπλετο; τίπτε δέ σε χρεώ;
„ Εἰλαπίν', ἠὲ γάμος; ἐπεὶ ἂν ἔρανος τάδε γ' ἐςίν.

Τῆτο δὴ, ὅπερ ἐπανείληπται καὶ Ὀδυσ: Λ'. ς. 414.) Ἔνθ, Λγαμέμνων διέξεισιν ἀποκταν θῆναι οἱ τὰς ἑταίρες, ὡς σύας ἀργιόδοντας:

„ Οἵ ῥά τ' ἐν ἀφνειῷ ἀνδρὸς μέγα δυναμένοιο,
„ Ἢ γάμῳ, ἢ ἐράνῳ, ἢ εἰλαπίνῃ τεθαλυίῃ.

Καὶ ἔρανος μὲν, κατὰ τὸν Σχολιαστὴν λέγεται, τὸ ἐκ συμβολῆς δεῖπνον: Coena, quae fiebat a ſymbolarum collatoribus (ὡς Πλαῦτος Λατινιστὶ παραφράζει·) ὅτε τῶν συμποσιαστῶν ἕκαστος κατ' ἄνδρα, συνεβάλλοντο ἐπὶ τῇ ἑστιάσει. Οὕτω γὰρ „Α'θήναιος (ἐν Βιβλ: Η'.) Ἔρανοί εἰσὶ, φησὶν, αἱ ἀπὸ τῶν „συμβαλλομένων εἰσαγωγαὶ, ἀπὸ τῆ συνερᾶν, καὶ συμφέ„ρειν ἕκαστον. Ἦν δέ τι λιτὸν καὶ μέτριον, τὸ τοιόνδε γένος τῆ „συμποσίᾳ, ὡς ἐκ τῆ ὑπ' Α'θήνης ῥηθέντος συμβαλεῖν ἔπεσιν, „ἧτις ἐκ τῆς παρασκευῆς τε καὶ δαψιλείας τῆς ἐπὶ τῇ τῶν μνησήρων „πανδαισίᾳ, εἰκάζειν εἶχε ταύτην μὴ εἶναι ἔρανον. Καὶ Α'ριστοτέλης δὲ (ἐν Δ'. Βιβλ: τῶν Η'θικ: Κεφ. ϛ'.) ἀνδρὸς προτιθεὶς παράδειγμα, „ἧττον μεγαλοπρεπῆς, φησὶν: Οἷον ἐρανιστὰς γαμικῶς ἑστιῶν, ἤτοι, ὡς ἐκ συνεισφορᾶς τῶν συνευωχημένων τὴν γαμικὴν πανδαισίαν ἐπιτελῶν· τοιγαρῦν τὰ λοιπὰ δύο γένη, πολυτελέστερα ἦν καὶ δαπανηρότερα, ἑνὸς καὶ μόνου ἐπαναλίσκοντος. Ταῦτα δ' ἐτελεῖτο, ἤτοι ἐπὶ γάμῳ, ἢ διά τι ἕτερον. Καὶκεῖνο μὲν ὁ Ποιητὴς ἀποκαλεῖ γάμον, τῦτο δὲ ἐλαπίνην. Εἰς ὅπερ ἀνακτέον, καὶ ὃ ἐλέγετο τάφος, ὥσπερ εἴρηται.

Ἑστιάσεων τὸ πάλαι διαφερόντως ἐπίσημος ἦν, ἧς ἡ ἀφορμὴ ἦν „ὡς ἐκ τῆς θρησκείας, καθὰ διδάσκει Α'θήναιος (ἐν Βιβλ. Ε'.) Πᾶσα δὲ „συμποσίου συναγωγὴ παρὰ τοῖς ἀρχαίοις, τὴν αἰτίαν „εἰς Θεὸν ἀνέφερε· καὶ στεφάνοις ἐχρῶντο τοῖς οἰκείοις τῶν „Θεῶν, καὶ ὕμνοις, καὶ ᾠδαῖς. Διὸ ἐδεῖν παρ' Ο'μήρῳ, ἐν ᾧ Θεοῖς ἱερὰ ϑ τελεῖται. Εἶτι δὲ σφαγιάζεται, ἀεί τι μέρος τηρεῖται, τῶν τῆ Ζώϑ, τοῖς Θεοῖς ἐπιθυμιατέον· ἐξ οὗ καὶ ἱερεῖον τὸ θῦμα εἴρηται, καὶ τὸ τὲς θύοντας ἱερεύειν: οἷαπερ συνήθως Ο'μήρός τε, καὶ τῶν συγγραφόντων οἱ λοιποὶ φράζουσιν. Ο'λως δὲ, καὶ ἐπὶ παντὸς ἄλλ' βρώματος παρατηρῆντα τὸν Ο'μηρον συνορῶμεν, τὸ τοῖς Θεοῖς πρὸ „πάντων προσάγεσθαι: τετέσι κατ' Α'θήναιον (Βιβλ. Δ'.) τὰς τῶν „βρωμάτων ἀπαρχὰς νέμειν Θεοῖς, Οὕτω καὶ Ο'δυσσεὺς ἐποίησεν, ἐγαασθειρχθεὶς συνάμα τοῖς ἑταίροις ἐν τῷ σπηλαίῳ τῆ Κύκλωπος. (Ο'δυσ. Ι'. ϛ. 231.)

„ Ἔνθα δὲ πῦρ κείαντες ἐθύσαμεν· ἠδὲ καὶ αὐτοὶ
„ Τυρῶν αἰνύμενοι φάγομεν. . . . . .

Παρετηρεῖτο δὲ αὐτὸ τοῦτο καὶ ἐπὶ τῆς πόσεως, ἣν ἐκ ἐχρῶντο, πρὶν ἢ Θεοῖς λείβωσι. Ταὐτὸ δὲ συνιδεῖν πάρεστι καὶν τῷ Πλάτωνος συμποσίῳ. Ἔνθα οἱ συμποσιασταὶ, σπονδαῖς τε καὶ τιμαῖς δημοτελέσι τὰς Θεὰς ἐσεβάζοντο. Τἐναντίον μέν τοιγε ὑπὸ τῶν ἀμφ' Ἐπίκουρον, ἀδὲ σπονδαὶ, ἐδ' ἀπαρχαί τινες προσήγοντο τοῖς Θεοῖς. ἀλλ' ὁ περὶ τῆς ἀσέμνε γυναικὸς „ἔφη Σιμωνίδης, ὅτι ἄθυτα ἱερὰ πολλάκις κατεθίει: τῶν „θεῶν ἠμέλεν· ἐν δὲ τῇ ἱερᾷ τελετῇ τοιάνδε τάξιν ἐτήρεν, ὡς ἀπὸ τῆς Ἑστίας ἄρχεσθαι, καθάπερ Ὅμηρος μαρτυρεῖ ἐν τοῖς ὕμνοις, τῷ εἰς τὴν Ἑστίαν, καὶ τῷ εἰς τὸν Ἑρμῆν δὲ (ς. 4.)

„ . . . . . Οὐ γὰρ ἄτερ σὲ
„ Εἰλαπίναι θνητοῖσιν, ἵν' ἀ πρώτῃ πυμάτῃ τε
„ Ἑστίῃ ἀρχόμενος σπένδει μελιηδέα οἶνον.

Πρὸς ὃ καὶ τὸ Ἀριστοφάνες τείνει, τὸ ἐν τοῖς Κηφῆσιν:

„ . . . . . ἀλλ' ἵνα
„ Ἀφ' Ἑστίας ἀρχόμενος ἐπιτρέψω τινά.

Τὸ δ' αἴτιον τῆς τοιᾶσδε τελετουργίας ἐκτίθησιν Ἀριστόκριτος: (ἐν τῷ Β'. Βιβλ.:) Ὅτι δὴ Ζεὺς τοὺς Τιτᾶνας τροπώσας, καὶ τὴν βασιλείαν ἐν εἰρήνῃ ἀναλαβὼν, τῇ Ἑστίᾳ ἐπέτρεψεν αἰτεῖν, ὅ, τι θέλοι· ἡ δὲ τὴν παρθενίαν ἑαυτῇ ἐξητήσατο, καὶ τὰς ἀπαρχὰς τῶν θύεσθαι μελ„λόντων ἁπαξαπάντων· Καὶ μετὰ ταῦτα (φησὶν) ἔτω νενόμισται „ἐν τοῖς ἱεροῖς, τὰς ἀπαρχὰς ἁπάντων τῶν θυομένων „πρώτῃ δεῦναι Ἑστίᾳ.

Τὸ τοίνυν ἐπιτελεῖν συμπόσιον, ἐξόχως ἄνδρες εἰώθεσαν οἱ ἐν ἀρχαῖς καθεζῶτες: καὶ τοῦτο Νέσωρ πρὸς Ἀγαμέμνονος, ἐξ ἔθους τε καὶ κατὰ τὸ δίκαιον ἀξιοῖ γενέσθαι (Ἰλ: Ι. ς. 69.)

„ Ἀτρείδη, σὺ μὲν ἄρχε· σὺ γὰρ βασιλεύτατος ἐσσὶ:
„ Δαίνυ δαῖτα γέρασιν· ἔοικέ τοι, ὅτι ἀεικές.

Οὕτως Ἀλκίνοος ὁ τῶν Φαιάκων Ἄναξ, (Ὀδ: Η΄. ς. 136. κξ) τὴν ἐσίασιν τοῖς ἀρίστοις παρασκευάζει. Καὶ Τηλέμαχος δὲ (Ὀδ: Λ΄. ς. 184.)

„ . . . . . Δαῖτας ἐΐσας
„ Δαίνυται, ἃς ἐπέοικε δικασπόλον ἄνδρ' ἀλεγύνειν.

Ἐν τιμῇ δ' ἐτίθετο ἡ πρόκλησις αὕτη μεγίστη, ὡς δῆλον, ἐκ τοῦ ὡς γέρας τῷ κατασκοπήσαθαι πεμφθέντι ἐκείνῳ ἐπαγγελλέσθαι: (Ἰλ: Κ΄. ς. 217.) ὅτι

„ Αἰεὶ δ' ἐν δαίτῃσι καὶ ἀλαπίνῃσι παρέσται.

Οἱ μὲν ἓν τῶν δαιτυμόνων ἀριθμὸς ἐχ ὥρισο· ἀλλ' Εὐσάθιος μέντοι παρέδωκε τὰ τῶν παλαιῶν συμπόσια, μὴ ἐκ πλειόνων ἢ δέκα συνεστηκέναι, δι' ὅπερ Ἀγαμέμνων εἰρήκει, τῶν Ἑλλήνων τὸ πλῆθος, πολλῷ τοῦ τῶν Τρώων ὑπερέχειν δεῖξαι βουλόμενος: (Ἰλ: Β΄. ς. 126.) ὡς εἴπερ ἄρα τῶν πολεμίων ἐν μέρει ἀριθμηθέντων:

„ Ἡμεῖς δ' ἐς δεκάδας διακοσμηθεῖμεν Ἀχαιοὶ,
„ Τρώων δ' ἄνδρα ἕπασον ἑλοίμεθα οἰνοχοεύειν,
„ Πολλαί τε δεκάδες δεύοιατο οἰνοχόοιο.

Τεττὶ δὲ καὶ ὑπὸ τῶν Πυθαγορείων παρατετηρῆθαι διέξεισιν Ἰάμβλιχος.

ΚΕΦΑΛ. Ε'.

Περὶ τῶν ἐν τοῖς συμποσίοις διατυπώσεων.

Εὐωχῆνται παρ' Ὁμήρῳ καθήμενοι, φησὶν Ἀθήναιος (ἐν Βιβλ. Α'.) Οὕτω καὶ γαρ (Ἰλιάδ. Κ'. ς. 578.) Ὀδυσσεύς τε καὶ Διομήδης, δείπνῳ ἐφιζανέτην. Καὶ Ἀχιλλεὺς, παραγενομένῳ Πριάμῳ, ἐπὶ τραπέζης καθήμενος ἐκ θρόνου ὦρτο. ἐπὶ γὰρ τότῳ ἕτοιμοι ἕδραι παρῆσαν, ἃς θρόνους τε καὶ κλισμοὺς, ὁ Ποιητὴς ὀνομάζει. (Ὀδυσ. Γ'. ς. 389.)

„ Ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε.

Κατὰ δὲ Ἀθήναιον (ἐν βιβλ. Θ.') θρόνος ἐστὶν ἐλευθέριος „ καθέδρα σὺν ὑποποδίῳ, ἣν Ὅμηρος θρῆνυν ἀποκαλεῖ, ὡς ἰδεῖν ἐστὶν, (Ἰλ: Ξ'. ς. 240.) ἔνθα Ἥρα καθυπισχνεῖται τῷ ὕπνῳ:

„ Δῶρα δέ τοι δώσω, καλὸν θρόνον ἄφθιτον αἰεὶ
„ Χρύσεον· Ἥφαιστος δέ κ' ἐμὸς πάϊς ἀμφιγυήεις
„ Τεύξει ἀσκήσας, ὑπὸ δὲ θρῆνυν ποσὶν ἧσει,
„ Τῷ κεν ἐπιχοίης λιπαρὲς πόδας εἰλαπινάζων.

Καὶ Ὀδυσ: δὲ Κ'. ς. 514. καὶ 366.) τὸν Ὀδυσσέα ἡ Κίρκη.

Εἶσεν ἐ ἀσαγαγῶσα ἐπὶ θρόνου ἀργυροήλου,
Καλοῦ, δαιδαλέου, ὑπὸ δὲ θρῆνυν ποσὶν ἧεν.

Οὕτω καὶ Τηλέμαχος (Α'. Ὀδυσ: ς. 130.) ἀφικομένην Ἀθήνην.

„ . . . . Ἐς θρόνον εἶσεν ἄγων, ὑπὸ λῖτα πετάσσας
„ Καλὸν, δαιδάλεον, ὑπὸ δὲ θρῆνυς ποσὶν ἧεν.
„ Παρ δ' αὐτὸς κλισμὸν θέτο ποικίλον . . . . ἑαυτῷ.

Ὃς περιττοτέρος κεκόσμηται ἀνακλίσει πρὸς ὃν ἀνακλίνομεν, φησὶν Ἀθήναιος. Τῷ δ' Ὀδυσσεῖ ἐυτελὴς μάλα δίφρος ἐτέθη, σὺν μικρᾷ τραπέζῃ. Οὕτω γάρ τοι (Ὀδ: Υ. ς. 257. κξ.)

„ Τηλέμαχός γ' Ὀδυσῆα καθίδρυε, κέρδεα νωμῶν,
„ Ἐντὸς ἐϋξαθέος μεγάρου παρὰ λάϊνον ἕδρην,
„ Δίφρον ἀεικέλιον παραθεὶς, ὀλίγην τε τράπεζαν.

Ὁ δὲ Μακεδὼν Ἀλέξανδρος, τετρακοσίοις ποτὲ ἔτεσιν ἡγεμόνας, „ἐκάθισεν ἐπὶ δίφρων ἀργυρῶν, καὶ κλιντήρων, ἀλεργοῖς „περιρρώσας ἱματίοις· ὡς ἀπομνημονεύσας Φαίνεταί Δῆρις. Πρώτη ἦν καὶ ἀρχαιοτάτη αὕτη ἡ τοῦ καθέζεσθαι τάξις, καὶ ἐκ μαρτυρίας τοῦ Φίλωνος· ὃς ἐν τῷ περὶ τοῦ Ἰωσὴφ βιβλίῳ τοιαῦτα γράφει: „Ἐξῆς δὲ προσάξαντες, κατὰ τὰς ἡλικίας καθί„ζεσθαι, μήπω τῶν ἀνθρώπων ἐν τοῖς συμποτι„κοῖς συνεσίαις κατακλήσει χρωμένων. Καὶ τὸς πρόπαλαι δὲ Ῥωμαίους, καθῆσθαι μὲν, μὴ ἀνακεῖσθαι δὲ σιτιζομένους, μαρτυρεῖ Σερβίος ἐν τῇ Η'. τῶν Αἰνειάδων. Καὶ Ἰσίδωρος, ἐν τῷ Κ'. Βιβλ. Κεφαλ. ΚΒ'.

Περὶ δὲ τῆς ἐν τῇ τοῦ καθῆσθαι τάξει διαφορᾶς, ἀσφαλῆ ἐκ ἔξιν, ἐδὲ βεβαίαν λαβεῖν παρ' Ὁμήρῳ ἔνδειξιν· εἰμὴ ὅτι, (Ἰλ: Ι'. ς. 218.) ἡνίκα τὸς πρὸς αὐτὸν διαπρεσβεύοντας Ἀχιλλεὺς εἰσία,

„ Αὐτὸς γ' ἀντίον ἷζεν Ὀδυσσῆος Θείοιο.

Καὶ τοῦ Πριάμου ἐν τῇ σκηνῇ αὐτῷ προσελθόντος, (Ἰλ: Ω'. ς. 473.)

„ . . . . Ἕταροι γ' ἀπάνευθε καθείατο. . . . . .

Ἄλλως γε μὴν εἰκὸς ἦπου, καὶ τιμήν τινα, μεταξὺ τῶν συνεδρευόντων Ἡρώων ἀποδοθῆναι, ἣν ὁ Ποιητὴς ἀποκαλεῖ ἕδρην (Ἰλ: Θ'. ς. 162.) διεκρίνοντο γὰρ οἱ τιμώμενοι:

„ Ἕδρη τε, κρέασιν τε, ἰδὲ πλείοις δεπάεσσι.

Προεδρίαν ἡρμήνευσεν Εὐσχάθιος. Ὁ δὲ Πλούταρχος (ἐν τῷ Α'. τῶν συμποσιακ: Κεφ: Γ') Παρὰ μὲν Ἕλλησι τιμιώτατον εἶναι φησὶ τόπον τὸν πρῶτον· παρὰ δὲ Πέρσαις τὸν μέσον· ἀλλὰ παρ' Ἰνδοῖς μηδὲν τοιοῦτον παρατηρεῖσθαι γράφει Φιλόστρατος, ἑκάστε ἥπερ ἔτυχεν ἀνακλινομένε.

Καθημένων τοίνυν τῶν δαιτυμόνων, θεραπαινὶς ὕδωρ ἐκ προχόε ὑπὲρ λέβητος ἐπέχεεν εἰς χειρῶν ἀπόνιψιν, ὡς ἐγένετο τῇ Ἀθηνᾷ (Ὀδυσ. Α'. ς. 136.)

„ Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
„ Καλῇ, χρυσείῃ ὑπὲρ ἀργυρέοιο λέβητος,
„ Νίψασθαι . . . . . .

Ὥσπερ καὶ (Ὀδυσ: Δ'. ς. 52.) τῷ Τηλεμάχῳ συμβέβηκε, παραπλησίως δὲ καὶ παρὰ Οὐϊργιλίῳ. (αἰνειάδ: Α'. ς. 705.)

. . . . . Dant famuli manibus lymphas;

„ Δμῶες χέρνιβα χεῦον. . . . . .

Καὶ Πλαῦτος δὲ (Perſa)

Date aquam manibus, apponite menſam.

„ χείρεσσ' ὕδωρ δὴ δότε, καὶ πάρθεσθε δὲ δαῖτα.)

Καὶ Κικέραν ἐν τῷ Β'. τῶν περὶ Ῥήτορος: Illud egregium Sextic: manus lava et coena. Εὔχαίρετον τὸ τῦ Σεξτίε: „(χεῖρας νῖψον, καὶ δεῖπνει.)

Ἔπειτα δὲ τράπεζα παρετίθετο ἑκάστῳ τῶν δαιτυμόνων, καθάπερ ἐπὶ τοῖς εἰρημένοις χωριοις συνῆπται:

„ . . . . Παρὰ δὲ ξεσὴν ἐτάνυσσε τραπεζαν.

Προμήκη δὲ γενέσθαι τὴν τράπεζαν δῆλον, ὃ καὶ τῷ Εὐσεβίῳ ἔδο-
„ξεν: Ε'μφαίνει μήπω κυκλοτερεῖς εἶναι τὰς τρα-
„πέζας, ἀλλὰ τετανυμένας εἰς μήκωσιν. Α'λλὰ
τὸ κατ' ἀρχὰς κυκλοτερεῖς τὰς τραπέζας κατεσκευάσθαι, τὸ χῆμα
τὸ τῆ παντὸς ὑπομιμεμένας, διατείνεται Μυρλεανὸς παρὰ τῷ Α'θη-
„ναίῳ. (ἐν Βιβλ: ΙΑ'.) Φάσκων: Διὸ τὴν τράπεζαν κυκ-
„λοτερῆ κατεσκευάσαντο, πεισθόμενοι τὸν κόσμον
„εἶναι κυκλοτερῆ. Ξύλιναι δ' αἱ τράπεζαι ὑπῆρχον, ὡς εἶναι
εὐμετακόμιστοι· καὶ πρὸς τὸ λειότατον ἐξειργασμέναι: ὅθεν καὶ τρά-
πεζα εἴρηται ξεστὴ εὔξοος. Οὐ μόνον δὲ ἀξίνης, καὶ τῶν παραπλη-
σίων τεκτονικῶν ὀργάνων, ἀποξεόμεναί τε καὶ λειαινόμεναι ὑπῆρχον αἱ
τράπεζαι, ἀλλὰ καὶ σπόγγοις ὕδατι ἐμβρόχοις παρατριβόμεναι συνε-
χῶς καὶ ἀποκαθαριζόμεναι: (Ο'δυσ: Λ'. ς 111)

„Οἱ δ' αὖτε σπόγγοισι πολυτρήτοισι τραπέζας
„Νίζον, καὶ προτίθεντο, ἰδὲ πρέα πολλὰ δατεῦντο.

Τᾶτο δὲ τὰς ἀμφιπόλας κελεύει δρᾶν ἡ Εὐρύκλεια προετοιμάσασα
τὸ δῶμα ἐπὶ τῇ τῶν μνηστήρων ἐλεύσει (Ο'δ: Υ'. ς. 149. κξ.)

„Α'γρεῖθ', αἱ μὲν δῶμα κορήσατε ποιπνύσασαι
„Ρ'άσσατέ τ' ἐν δὲ θρόνοισ' εὐποιήτοισι τάπητας
„Βάλλετε πορφυρέους· αἱ δὲ σπόγγοισι τραπέζας
„Πάσας ἀμφιμάσαθε . . . . . .

Οὕτως Α'ριστοφάνης (ἐν Ε'πικτήτ: Βιβλ. Ζ'. Κεφαλ. Κς'.)
„Α'ρον τὰς τραπέζας σπόγγισον. Καὶ Μαρτιάλιος:
Haec tibi forte datur tergendi ſpongia menſas.
„Κεκλήρωταί σοι σπόγγοισι τραπέζας ξύπτειν.)

Ἦν δ' ἄρα τόδ' ἀντὶ τᾶ ἐπιτραπεζίε ἰθονίε, οὗ τοῖς παλαιοῖς Ἕλλησιν ἔτις ἐτύγχανε χρῆσις.

Ἑκάστῳ τῶν δαιτυμόνων ἰδίᾳ, μερὶς ἐκ τᾶ κρέατος διενέμετο ἴση. Καὶ τῶν κρεῶν δὲ μοῖραι ἐνέμοντο, φησὶν Ἀθήναιος· ὅθεν δαῖτας Ὅμηρος ὀνομάζει εἴσας. (Ὀδυσ: Δ'. ς. 184.) ἀπὸ τῆς ἰσότητος, ὡς αὐτὸς ἡγεῖται, ὅπερ ἢ ἀπὸ τᾶ δατεῖσθαι (ἤτοι διαμερίζεσθαι (ἐν Βιβλ: Α'.) ὁ αὐτὸς εἰρῆσθαι εἰρήβαλεν. Ἔργον δ' ὁ δαιτρὸς εἶχε τόδε (Ὀδ: Α'. ς. 141. καὶ Δ'. ς. 57. καὶ Ρ'. ς. 331.) Ἀλλὰ γὰρ καὶ Δαιτυμὰν ὑπὸ Ὁμήρε εἰρῆσθαι, ὡς φησὶ Πλάταρχος ἐν τοῖς Συμποσιακοῖς, ὁ διανέμων τὰ κρέα. (Ὀδυσ: Ο'. ς. 140.)

„ Παρ' δὲ Βοηθοΐδης κρέα δαίετο, καὶ νέμε μοίρας.

Καὶ Ὀδυσ: δὲ Υ'. ς. 280.)

„ Μοίρας δασσάμενοι δαίνυντ' ἐρικυδέα δαῖτα
„ Παρ' δ' ἄρ' Ὀδυσσῆϊ μοίρὰν θέσαν, οἳ πονέοντο
„ Ἴσην, ὡς αὐτοί περ ἐλάγχανον. . . . .

Ἀλλὰ καὶ αὐτὸς δ' Ἀχιλλεὺς τὰ κρέα διεμέριζεν. (Ἰλ: Ω'. ς. 626.)

„ . . . . . Ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.

Καὶ Εὔμαιος δὲ, (Ὀδυσ: Ξ'. ς. 434.)

„ Καὶ τὰ μὲν ἕπταχα πάντα διεμοιρᾶτο δαίζων.

Καὶ μοίραν, μίαν μὲν Νύμφαις, ἑτέραν δὲ Μέσαις ἱέρωσε, τὰς δὲ λοιπὰς τοῖς ἐυωχεμένοις διένειμεν: ἀλλὰ τῷ Ὀδυσσεῖ τὸν ὕειον νῶτον παρέχεν. (Ὀδ: Ξ'. ς. 437.)

„ Νώτοισιν δ' Ὀδυσῆα διηνεκέεσσι γέραιρεν
„ Ἀργιόδοντος ὑός. . . . . .

Παραπλησίας δὲ τιμῆς, ὑπὸ Ἀγαμέμνονος τῷ Αἴαντι μετεδόθη, ἐκ τῆς μάχης ἐπανιόντι· (Ἰλ: Η'. ς. 321.)

„ Νώτοισιν δ' Αἴαντα διηνεκέεσσι γέραιρεν
„ Ἥρως Ἀτρείδης, εὐρυκρείων Ἀγαμέμνων.

Ὁ σαύτως καὶ παρὰ Οὐιργιλίῳ: (Αἰνειάδ: Η'. ς. 185.)

Veſcitur Aeneas ſimul et Trojana juventus
Perpetui tergo bovis. . . . . .

„ (Δῖος δ' Αἰνείας, καὶ Τρῶϊος ἀῤ νεολαία
„ Νῶτα βόεια πάσοντο ἄδην) . . . . . .

Ὅμοιον δέ τι καὶ παρὰ Γάλλοις παρατετηρῆθαι, ὑπὸ Διοδώρου τοῦ Σικελιώτου (ἐν Βιβλ. Ε'.) γέγραπται· ἀλλὰ καὶ ἐπεχαρίζετότις, ἐξ ἧς εἱλήχει μερίδος, ὅτῳ ἂν ἐθελήσειεν, ἢ φησὶν Ἀθήναιος· (Βιβλ. Α'.) „ Ἐδωρεῦντο δὲ καὶ ἀπὸ τῆς αὐτῶν μοίρας, οἷς „ ἐβέλοντο. Οὕτως Ὀδυσσεὺς δίδωσι τῷ ἀοιδῷ Δημοδόκῳ, μέρος ἀποτμήξας ἀπὸ τοῦ νώτου τοῦ παρατεθέντος αὐτῷ (Ὀδυσ: Θ'. ς. 475. κξ.)

Τὸν δ' οἶνον ἑκάστοις τῶν συνευωχουμένων ἐνέχεον παριστάμενοι παῖδες. (Ἰλ: Α'. ς. 476. καὶ Ι'. ς. 175. καὶ Ὀδυσ: Γ'. ς. 340. καὶ Φ'. ς. 272.)

„ Κοῦροι μὲν κρητῆρας ἐπεσσεύαντο ποτοῖο.
„ Νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν.

Οἱ δὲ παῖδες ἐτύγχανον τῶν εὖ γεγονότων, ὡς Ἀθήναιος ἐπισημαίνεται· (ἐν Βιβλ: Ε'.) Δῆλος ἐδὰς ἦν ὁ διακονήσων, „ ἀλλ' οἱ νέοι τῶν ἐλευθέρων ὠνοχόουν. Οἷος περ ὁ

τῦ Μενελάϑ υἱὸς, καί τοι γε ἢ νυμφίος ὢν, κατ' αὐτὴν τὴν τῶν γάμων ἡμέραν: (Ὀδυσ. Δ'.) Διένεμον δὲ καὶ τὰ ποτήρια ἐκ τῦ ἴσϑ· οὕτως ἀλλ' ἓν ὥστε τοῖς ἐν ὑπεροχῇ καθεσῶσι, τιμῆς χάριν, μείζονά τε ἢ πληρέστερα ἐπο-
„ρέγεσθαι: ὡς ὁ αὐτὸς Συγγραφεὺς παρετήρησεν, ἐξ ὧν οἱ κῆροι δια-
„κονέμενοι, τοῖς μὲν ἐντιμοτάτοις ἀεὶ πλῆρες παρεῖχον τὸ
„ποτήριον, τοῖς δ' ἄλλοις ἐξ ἴσϑ διένεμον. Τοιῷ δε λόγῳ χράμενος Ἀγαμέμνων ἐποτρύνει ἐπὶ τὴν μάχην Ἰδομενέα: τῶν γὰρ ἄλλων Ἀχαιῶν τὸ μέτρον πινόντων (δαιτρὸν πίνωσιν) αὐτῷ πλεῖον τὸ δέπας ἀεὶ ἔσηκεν· (Γλ: Δ'. ς. 263.) Οὕτω ἢ Διομήδης παροξυμᾶται πρὸς τὸν πόλεμον: (Γλ. Θ'. ς. 162.)

„ Ἔδρη τε, κρέασίν τε, ἰδὲ πλείοις δαπάεσσιν.

Ὅπερ ἓν καὶ περὶ Γλαύκε καὶ Σαρπηδόνος, ὁμοίως ῥηθὲν ἐπα-
ειλήπται. (Γλ: Μ'. ς. 310. κξ.)

Προσέτι δὲ καὶ εἰς τὸ πίνειν ἀλλήλες προσεκαλῦντο, τῇ δεξιᾷ χειρὶ τὸ δέπας προτείνοντες: ὃ δειδέχεσθαι λέγει Ὅμηρος: οὕτω γάρ τοι κατ' αὐτὸν ἢ οἱ Θεοὶ: (Γλ: Δ'. ς. 4)

„. . . . . Χρυσέοις δεπάεσσι
„Δειδέχατ' ἀλλήλες . . . . . .

„Τῦτο δ' ἐστὶν: ἐδεξιῦντο προπίνοντες ἑαυτοῖς ταῖς δε-
„ξιαῖς, ἢ φησὶν Ἀθήναιος ἐν Βιβλ. Ε'. Ὁμοίως δὲ καὶ Ὀδυσεὺς (Γλ: Ι'. ς. 224.)

„Πλησάμενος δ' οἴνοιο δέπας, δείδεκτ' Ἀχιλῆα.

ἤτοι ἐδεξιῦτο: ὃ ἐστὶ, προέπινεν αὐτῷ, τῇ δεξιᾷ δοὺς τὸ ποτήριον. Ἀθήναιος δ' ἐκτίθησι τὸ πρᾶγμα ἐν τῷ ΙΔ'. τῶν αὐτῦ
„βιβλίων, σαφέστερον. Πληρῦντες γὰρ προέπινον ἀλλήλοις
„μετὰ προσαγορεύσεως: ὃ καὶ ἐκδιδάσκει τῷ Ἀλεξάνδρε ὑπο-
„δείγματι: ὃς αἰτήσας ποτὲ ποτήριον δίχεν, καὶ πιὼν, πρὲ-

„πιε τῷ Πρωτέᾳ· ἔνθεντοι ἢ προπίνοντες, βραχύ τι ἀπογευσάμενοι, ἀμοιβαδὸν ἀλλήλοις τὸ δέπας ἐπώρεγον. Πρὸς ὃ δὴ φέρει τὸ τοῦ Πλαύτου ἐκεῖνο: (ἐν τῷ Κεκρυφαλίῳ) τετέχθαι ἐν τῷ Δράματι αὐτοῦ, ὃ Πλαῦτος ἔτως ἐπέγραψε: Τρωξ, ἢ Κὶς, ἢ Θρὶξ, Propino mi„liti magnum poculum, ille ebibit: „ Προπίνω τῷ στρατιώτῃ μέγα κύπελλον· ὃ δ' ἐξέπιεν. Καὶ Γαβενάλιος δὲ ἔφη (ἐν Σατύρῃ Β'. ς. 127.)

Quando propinat
Varro tibi, fumitque tuis contacta labellis
Pocula. . . . . .
„. . . . . (Εὖ σοι προπίνει
„Οὐάρρων, καὶ ψαυσὰ τεοῖσι χαλαρίοισι
„Δεδεχεται δέπα . . . . . .

Τὰ δ' ἄλλα οἱ τοιάδε πρόποσις ἐγίγνετο τὸ πλεῖσον δεξιόθεν καταρχομένη· ὅπερ ἐπιδέξια εἶπον· (Πολυδεύκ: Βιβλ: Β'.) Παρὰ „Εὐπόλιδι προπόσεως χῆμα, καλεῖται ἐπιδέξια· ὅταν δὲ „πίνωσι τὴν ἐπιδέξια: Δεῖγμα δὲ τέτε, ἢ ἴχνος μᾶλλον εἰπεῖν, πρόκειται, „(Γλ: Α'. ς. 597.) Ἔνθα τοῖς Θεοῖς συνευωχεμένοις, Ἥφαιστος . . .

„Θεοῖσιν ἐνδέξια πάσιν

„Οἰνοχόει . . . . Οὕτως ἓν Κριτίας ἐν ἐπιγράμματι, τῷ εἰς Ἀνακρέοντα:

„Παις διαπομπεύση προπόσεις τ' ἐς δεξιὸν ὦμον.

Ἐν δὲ τῷ συνευωχεῖσθαι ποικίλαι μεταξὺ περὶ διαφόραν ἐνδιεσπείροντο διαλέξεις· καὶ περὶ πραγμάτων ἐνίοτε σπεδῆς ἐχομένων· Οἷον: (Γλ: Ι'. ς. 223. κξ.) ἔνθα βελὴ πρὸτέθη περὶ τοῦ πολέμε. Τόδ' ἔθος ἰδίᾳ Πέρσαις διαφέρειν Ἡρόδοτος γράφει, ὡς διέξεισιν Ἀθήναιος·

ἐν Βιβλ: Δ'. Καὶ Ἀμμιανὸς δὲ ὁ Μαρκελλῖνος (ἐν Βιβλ: ΙΗ'.) Inter epulas de apparatu bellorum et ſeriis rebus, apud Perſas, Grajorum more veterum, conſultari tradit. „Ἐν ἑσιάσεσι, περὶ πολέμων παρασκευῆς, καὶ ἄλλων σπε-„δῆς δεομένων παρὰ Πέρσαις, κατ' ἔθος τῶν πάλαι „Ἑλήνων, βελὴν συγκροτεῖθαι καθιερεῖ. Προσεχώρεν δ' ἔν καὶ ἕτερ' ἄττ' ἀθυρμάτια: οἷον κύβοι τε, ἢ ἄσματα, ἢ ὄρχησις, καὶ τάγε τοιαῦτα, τὰ εἰς τέρψιν τε καὶ ψυχαγωγίαν φέροντα· περὶ ὧν ἐν ἰδίῳ τόπῳ.

Ἀποχρώντως δ' οἱ δαιτυμόνες ἐυωχηθέντες, ἀπολύεθαι ἠξίεν αὐ-„τέμενοι. Ἀθήναιος (ἐν Βιβλ. Ε'.) Διδάσκει δ' ἡμᾶς Ὅμηρος, ὅτι „δεῖ καὶ τὲς κεκλημένες ἐφ' ἑσίασιν παρακαλεῖν ἀπανίσα-„θαι τὲς κεκληκότας. Οὕτως ἡ Τηλεμάχῳ συνοδοιπορεῦσα Ἀθήνη αἰτεῖται παρὰ τῦ Νέσορος ἄδειαν τοῦ τῆς τραπέζης ἀπανασῆναι (Ὀδυσ. Γ'. ς. 352. κξ.)

„Ἀλλ' ἄγε, τάμνετε μὲν γλώσσας, κεράασθε δὲ οἶνον,
„Ὄφρα Ποσειδάωνι, καὶ ἄλλοις ἀθανάτοισι
„Σπείσαντες, κοίτοιο μεδώμεθα· τοῖο γὰρ ὥρη.

Βέλεται γὰρ τὰς γλώσσας ἀποτμηθῆναι, καὶ τοῖς Θεοῖς ἐπιθυμιαθῆναι: ὅπερ κατ' ἔθος ἐγίγνετο ὑπὸ τῶν ἐπὶ Ῥητορείᾳ σπεδαίως ἐχόντων, ληφθέντος τῦ τύπυ παρὰ τῶν Ἀττικῶν, ὡς ὁ Σχολιαςὴς παραδίδωσιν. Ἐνθεντοι καὶ εἰκότως τετὶ διαπραττόμενον ὧδε παρίσαται ὑπὸ Νέσορος τῦ ἐν Ἕλλησιν ἐυφραδεςάτυ. Ἀλλ' αἱ σπονδαὶ δηνεκῶς ὑπὸ τῶν ἀπανισαμένων συμποσιαςῶν ἐτελεῦντο, καὶ μάλισα τῷ Ἑρμῇ, ὥσπερ οἱ Φαίακες: (Ὀδυσ: Η'. ς. 138.)

Ὧ πυμάτῳ σπένδεσκον, ὅτε μνησαίατο κοίτυ.

„Μνείαν δὲ τῦ τοιύτυ ποιεῖται Ἀθήναιος (ἐν Βιβλ. Α') Ἐσπεν-„δον δὲ ἀπὸ τῶν δείπνων ἀναλύοντες, καὶ τὰς σπονδὰς

„ ἐποιοῦντο Ἑρμῆ, καὶ, ἐχ ὡς ὕστερον, Διὶ τελείῳ· δοκεῖ γὰς
„ Ἑρμῆς ὕπνε προστάτης εἶναι·

Εἰώθεσαν δὲ οἱ συνευωχούμενοι τῆς νυκτὸς προσεγγυζούσης ἀπα-
„ναχωρεῖν. (Ἀθήν. ἐν Βιβλ. Ε'.) Οἱ δειπνήσαντες ἀπελύοντο
„φωτὸς ὄντος. Ὅπερ ἐφ' ἑορτάσιμε μάλιστα ἡμέρας χώραν ἔχειν ἡ
Παλλὰς ἐκδιδάσκει: (Ὀδ. Γ'. ς. 335.)

„Ἤδη γὰρ Φάος ὄιχεθ' ὑπὸ ζόφον, ὐδὲ ἔοικε
„Δηθὰ Θεῶν ἐν δαιτὶ θαασσέμεν, ἀλλὰ νέεσθαι.

Α'λλ' ἔτι καὶ κατὰ θεσμόν τινα ἐπιβεβαιοῖ Α'θήναιος ἔν τινι τῶν
„θυσιῶν τῦτο διηγορεύθαι: Καὶ νῦν δὴ νόμος ἐκ θυσιῶν τινων,
„πρὸ ἡλίε δύνοντος ἀπιέναι. Τὸ δ' αὐτὸ καὶ περὶ Δομιτιανῦ Σε-
τονίος γράφει. Convivabatur frequenter, ac large, pene
„raptim; certe non ultra ſolis occaſum. (Εὐωχεῖτο συχ-
„νάκις καὶ δαψιλῶς, μονονεχὶ ἁρπαλέως, ἀλλ' ἤπε ἔκεν ἐπέ-
„κεινα δύσεως ἡλίε.) Α'λλὰ γὰρ ἐνίοτε, καὶ τῆς νυκτὸς ἐπὶ πολὺ
μέρος προήγετο τὰ τῆς ἑσιάσεως· ὡς παρὰ Φαίαξιν: (Ὀδυσ: Η'. ς.
100. κξ) Ἔνθα Α'λκινόου ἑσιῶντος

„Χρύσειοι δ' ἄρα κοῦροι ἐϋδμήτων ἐπὶ βωμῶν
„Ἔσασαν, αἰθομένας δαῖδας μετὰ χερσὶν ἔχοντες,
„Φαίνοντες νύκτας κατὰ δώματα δαιτυμόνεσσι

καθάπερ ἐκλατινίσας Φράζει Λεκηθίος.

Si non aurea ſunt juvenum ſimulacra per aedes
Lampadas igniferas manibus retinentia dextris
Lumina nocturnis epulis ut ſuppeditetur.

Παραπλησίως (Ὀδυσ. Σ'. ς. 305. κξ.) τῶν μνηστήρων εὐωχουμέ
νων, αἱ θεραπαινίδες,

„ . . . . . Λαμπτῆρας τρεῖς ἔσασαν ἐν μεγάροισιν
„ Ὄφρα φαείνοιεν. . . . . .
„ Καὶ δαῖδας μετέμισγον· ἀμοιβηδὶς δ' ἀνέφαινον
„ Δμωαὶ Ὀδυσσῆος ταλασίφρονος. . . . . .

Καὶ παρὰ τῷ Οὐϊργιλίῳ δὲ (Αἰνειάδ. Α'. ς. 730.) Ἐν τῇ παρὰ τῆς Διδὸς ἑστιάσει:

. . . . . Dependent lychni laquearibus aureis
Incenfi, et nocłem flammis funalia vincunt.

„ (Λύχνοι τε κρεμάννυντο ὕπερθ' ὀρόφων ἀπὸ χρυσῶν·
„ Οἱ δέ τε λαμπτῆρες πυρσεύμασι νύχθ' ὑπερεῖχον.)

Τῶν δαιτυμόνων δ' ἀπανισαμένων, αἱ τράπεζαι ἀπήργοντο: (Ἀθην: Βιβλ. Α'.) Ἀναχωρησάντων δὲ, αἱ δμωαὶ, ἀπὸ μὲν σῖτον πάλιν ἦρον, καὶ τράπεζαν, καὶ δέπας. Διὸ περὶ τοῦ Ἀχιλλέως εἰσέτι ἐθίοντος εἴρηται: (Ἰλ: Ω'. ς. 475,)

„ . . . . . νέον δ' ἀπέληγεν ἐδωδῆς
„ Ἔδων καὶ πίνων· ἔτι καὶ παρέκειτο τράπεζα.

Καὶ ὁ Πλαῦτος δὲ (ἐν τῷ truculento.)

. . . . . Cedo foleas mihi
Properate; auferte menſam

„ . . . . . Ὄρεξον τὰς ἐμβάδας μοι,
„ Σπεύδετε: ἄρατε τὴν τράπεζαν.

Καὶ Οὐϊργίλ: (Αἰνειάδ: Α'. ς. 220.)

Poſtquam exempta fames epulis, menſaeque remotae

„ (Ἐπὲι δὲ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο: τράπεζαί τε ἀπῆρθεν:) Εἴ τινα λοιπὰ τῶν ἐδεσμάτων, ὑπὸ τῆς ταμιάχε ἀμφιπόλε ἀπεταμίευετο, ἵν' εἴτις νέον ξένος προσέλθοι, ἑτοίμως ἔχη τὶ δῶ, ἢ σεσημείωκε καὶ Ἀθήναιος: ὃ, ὅτως ὁσίως παρὰ τοῖς Ῥωμαίοις παρετηρεῖτο, ὡς μηδέποτε κενεωμένην αὐτοὺς „τὴν τράπεζαν αἴρειν: Αἰνιττόμενοι (γὰρ διὰ τέτε ἦσαν) „τὸ δεῖν τᾶ παρόντος ἀς τὸ μέλλον ἀπολιπεῖν, καὶ τῆς „ἄυριον ἐν τῇ σήμερον μνημονέυειν.

ΚΕΦΑΛ. ς.

Περὶ Ἐσθῆτος.

Ἀπὸ τῆς σιτήσεως ἐπὶ τὴν ἀμφίασιν μεταβῶμεν. Ἡ δὲ, ἤτοι ἐκτενεςέρα τε ἦν καὶ πλατυτέρα εἰς ἐπικάλυψιν τᾶ ὅλε σώματος, ἢ βραχυτέρα τε καὶ ἐλάσσων, εἰς σκέπην τινῶν μερῶν συντελᾶσα. Ἐν γοῦν τῷ προτέρῳ εἴδει χώραν ἔχει ὁ χιτὼν, καὶ ἡ χλαῖνα.

Χιτὼν μὲν ἦν, ἡ τὸ σῶμα περιβάλλεσα ἀμέσως ἐθῆς: τὸ „προσεχῶς κεχυμένον τῇ σαρκὶ ἱμάτιον. Ὅθεν αὐτὸ καὶ Ἀθήναιος (ἐν Βιβλ. ΙΓ.) ἐχέσαρκον εἶπεν: ἔνθα περὶ τῆς Φρύ„νης λέγων: ἐχέσαρκον γὰρ, ἔφη, χιτώνιον ἀμπείχετο. Τοιόνδε δ' εἶναι δῆλον, ἐξ ὧν Ὀδυσσεὺς (Ὀδ. Τ'. ς. 232.) Χιτωνοφορῶν, ἤθετο ὡς κρομμύε.

„Τὸν δὲ χιτῶν' ἐνόησα περὶ χροῒ σιγαλόεντα
„Οἷοντε κρομύοιο λοπὸν κατὰ ἰχαλέοιο.

„ Χιτῶνα ἐσώτερον: tunicam interiorem, εἶπεν Οὐαλέριος Μάξιμος: ὁ δὲ Οὐϊδιος ἁπλῶς tunicam (χιτῶνα· ἐν τῷ Γ'. τῶν περὶ Ἐρωτ.)

Pugnabat tunica ſe tamen illa tegi

(„ Ἡ δὲ χιτῶνι πάλαιεν ἑαυτὴν μέντοι κρύπτειν.)

Καὶ: Illic nec tunicam tibi ſit poſuiſſe pudori.

„ Οὐδὲ χιτῶνα ἐνεῖ ἔχω αἰδὼς ἀποθέσθαι.

Ἀμέλειται, διὰ τὸ τὸν χιτῶνα τὰ αἰδοῖα τῦ σώματος συγκαλύπτειν: ὡς ὑποδηλῶται καὶν τῷ Ἰλ. Β'. ς. 262. Ἔνθ' Οδυσσεὺς ἐπαπειλεῖ τῷ Θερσίτῃ, ἀφαιρήσειν

„ Χλαῖναν τ' ἠδὲ χιτῶνα, τάτ' αἰδῶ ἀμφικαλύπτει.

Εἰς τῦτο δ' ἀνήκει καὶ τὸ ὑπὸ τῦ Ἡροδότυ (ἐν Κλειοῖ) ῥηθὲν „Ἅμα δὲ κιθῶνι ἐκδυομένῳ, ἐκδύεσθαι καὶ τὴν αἰδῶ τὴν γυ„ναῖκα.

Προσεπετίθετο δὴ τῷ χιτῶνι ἡ Χλαῖνα, ἥτις ἦν Λατίνοις ἡ Laena (Λαῖνα) εἰ δεῖ πιστεῦσαι τῷ Γώβᾳ, παρὰ Πλυτάρχῳ. „Καὶ γὰρ, ὡς ἔφορεν οἱ Βασιλεῖς Λαίνας, Γώβας χλαίνας „φησὶν εἶναι· ὃ καὶ Σερβίῳ δοκεῖ, (ἐν τῷ Δ'. τῆς Αἰνειάδος: ς. 463.) Ἦν δ' ἡ χλαῖνα ἐσθὴς παχυτέρα, εἰς ἀπαλλαγὴν ψύχυς ἰδι„αίτερον συντελοῦσα. Χιτῶνος παχύτερον περίβλημα, φησὶν „Εὐσάθιος. Ὅθεν Ὅμηρος, Χλαίνας ἀνεμοσκεπέας. (Ἰλ. Π'. ς. 224.) καὶ ἀλεξανέμυς (Οδυσ: Ξ'. ς. 529.) ὀνομάζει: ἃ σαφὲς ἐστὶν (αὐτ. ς. 487.) ἐξ ὧν πρὸς τὸς Συβώτην Ὀδυσσεὺς ἐποίησεν ποτνιώμενος.

„Οὐκέτι ζωοῖσι μετέσσομαι. Ἀλλά με χεῖμα
„δάμναται· ἢ γὰρ ἔχω Χλαῖναν· παρὰ μ' ἤπαφε δαίμων
„οἰ οχίτων' ἔμεναι.

Ἐνθεντοι διπλῆν πολλάκις ὁ Ποιητὴς τὴν χλαῖναν ἀποκαλεῖ: ὡς (Ἰλ: Κ'. ς. 133.)

„Ἀμφὶ δ' ἄρα χλαῖναν περονήσατο Φοινικόεσσαν
„Διπλῆν· ἐνταδίην· ἔλη δ' ἐπενήνοθε λάχνη.

Καὶ Ὀδυσ: Τ'. ς. 225.)

„Χλαῖναν πορφυρέην ἔλην ἔχε δῖος Ὀδυσσεὺς,
„Διπλῆν· αὐταὶ οἱ περόνη χρυσοῖο τέτυκτο

Καί τοι γε καὶ ἁπλοΐδας χλαίνας: (Ἰλ Ω'. ς. 230.) καὶ Ὀδυσ: Ω'. ς. 275.) ἴσμεν φέρεσθαι, τὰς ἁπλῶς ἐκ μίτυ ἐξυφασμένας. Ὅθεν Πολυδεύκης (ἐν Βιβλ: Ζ'. Κεφ: ΙΓ.) „Εἰσὶ δὲ χλαῖναι, αἱ μὲν ἁπλοΐδες, αἱ δὲ διπλαῖ. Πολλάκις δ' ἔν καὶ τὴν Χλαῖναν ἀποθέμενοι, τὸν ἐσώτερον χιτῶνα ἔφερον μόνον, ὥσπερ Ὀδυσσεὺς ἐντενῶν τὸ τόξον: (Ὀδυσ: Φ'. ς. 118.)

„. . . . Ἀπ' ὤμοιϊν χλαῖναν θέτο Φοινικόεσσαν.

Καὶ αἱ Πηνελόπης μνηστῆρες εἰσιόντες τὸ δῶμα: (Ὀδυσ: Ρ. ς. 179.)

„Χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε θρόνους τε.

Ἦν δ' ἀντὶ χλαίνης καὶ τὸ Φάρος: ὅπερ ὁ μὲν Σχολιαστὴς Ἱμάτιον ἑρμηνεύει· οἱ δὲ Λατῖνοι Μεταφρασαὶ, Pallium (Πάλλιον) καλοῦσιν. Οὕτως Ἀγαμέμνων ἐξεγερθεὶς πρωΐας τῆς κλίνης, καὶ τὸν μαλακώτερον ἐνδὺς χιτῶνα: (Ἰλιάδ: Β'. ς. 43.)

„ . . . . Πέρι δ' ἄυ μέγα βάλλετο Φᾶρος.

Παραπλησίως δὲ καὶ Τηλέμαχος: (Ὀδυσ: Ο'. ς. 60.)

„ Σπερχόμενος ῥὰ χιτῶνα περὶ χροῒ σιγαλόεντα
„ Λῦνεν· ἠ μέγα Φᾶρος ἐπὶ σιβαροῖς βάλετ' ὤμοις.

Καὶ ἡ Καλυψὼ δὲ, (Ὀδυσ: Ε'. ς. 230.)

„ . . . Ἀργύφεον Φᾶρος μέγα ἔννυτο.

Καθάπερ ἦν καὶ ἡ Κίρκη: (Ὀδυσ: Κ'. ς. 545.)

Ἀλλὰ ταῖς Θηλείαις, πυκνότερον εἰς τόδε ἀνῆκον οἱ πέπλοι. „Ὁ δὲ πέπλος, ἔνδυμα γυναικεῖον, φησὶν Ἡσύχιος, τὸ „ἐκ λεπτῆς σήμονος ἐξεργασμένον, καὶ ἐπὶ τῆς λοιπῆς ἐσθῆ„τος ἐπιφερόμενον· ὅθεν αἱ Ἀχαιΐδες ἔυπεπλοι εἴρηνται (Ἰλ: Ε'. ς. 424. καὶ Ὀδυσ: Φ'. ς. 160.) αἱ δὲ Τρωϊάδες ἁπανταχοῦ Ἑλκεσίπεπλοι: ἅτε μακρὰ τῶν πέπλων τὰ σύρματα ἕλκουσαι: οὕτως (Ἰλ: Ζ'. ς. 289.) ἐν τῷ τῆς Ἑλένης θαλάμῳ ἀπόκειντο:

„ . . . Πέπλοι παμποίκιλοι, ἔργα γυναικῶν Σιδονίων.

Ἐξ ὧν ἡ Θεανὼ ἕια καθιεροῖ τῇ Ἀθήνῃ. Καὶ αὐτὴ δ' Ἀθηναίη (Ἰλ: Ε'. ς. 734.)

„ Πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸς ἐπ' ὄδει.

Ἡ δ' Ἀφροδίτη τὸ ἑαυτῆς διεπέτασε τῷ Αἰνείᾳ κατὰ τῶν Βελῶν, τῶν αὐτῷ ἐπαφιεμένων. Καὶ ὥσπερ ἐν τῷ εἰς αὐτὴν φέρεται ὕμνῳ (ς. 86.)

Αὐτὴ πέπλον ἕεσο φαεινότερον πυρὸς αὐγῆς.

Πολλάκις δὲ καὶ ἑανὸν ἁπλῶς εἴρηται τὸ πέπλον, ὡς ἐν Ἰλ: Ξ'. ς. 178.) περὶ τῆς Ἥρας πεποίηται.

„ Ἀμφὶ δ' ἄρ' ἀμβρόσιον ἑανὸν ἕσαθ' . . . . .

Ἀλλ' ἔνιοι τῶν πέπλων κατὰ τὸν Πολυδεύκην ποικίλως διαφόρως διεποικίλοντο.

Συνήπτετο δὲ καὶ τὰ ζῶστρα τοῖς πέπλοις: Οἷον ὅτε Ναυσικάα (Ὀδυσ: Ζ'. ς. 38.) ἔξεισιν εἰς τὸ πλύνασθαι:

„ Ζῶστρα τε, καὶ πέπλους, καὶ ἠήγεα σιγαλόεντα.

Συνετέλει δὲ τὰ ζῶστρα, εἰς τὸ περιτέλλειν τὰς χιτῶνας τυχὸν, ἢ τοιαῦτ' ἄττα ἀνειμένα περιβόλαια, τὰ διὰ ζώνης εἰωθότα συνάγεσθαι. Οὕτως ἡ Καλυψὼ, περίβαλομένη τὸ φᾶρος (Ὀδυσ: Ε'. ς. 231.)

„. . . . Πέρι δὲ ζώνην βάλετ' ἰξυῖ
„ Καλὴν, χρυσείην . . . . . .

Καὶ Ἥρα δὲ (Ἰλ: Ξ'. ς. 181.) ἀμφιεσαμένη

„ Ζώσατό γε ζώνην, ἑκατὸν θυσάνοις ἀραρυῖαν.

Αὕτη δ' ἦν ἡ Τυρῆς παρθενικὴ ζώνη, ἣν Ποσειδὼν ἔλυσεν· (Ὀδυσ: Λ'. ς. 244.) ἡ καὶ Μίτρα Παρθενικὴ παρὰ τῷ Μόχῳ (περὶ τῆς Εὐρώπης.) Ἀλλὰ καὶ ὑπὸ τῇ ζώνῃ φέρειν αἱ γυναῖκες ἐλέγοντο ἐγκυμονεῦσαι· ὡς ἡ Ἀφροδίτη, ἐν τῷ εἰς αὐτὴν ὕμνῳ (ς. 256.)

„ Παῖδα δ' ὑπὸ ζώνῃ ἐθέμην βροτῷ ἐυνηθεῖσα.

Καὶ παρ' Εὐριπίδῃ δὲ, ἐν Ἑλένῃ:

„ Τοῦτον ποτ' ἔτεκον, κἄφερον ζώνης ὕπο.

Ἀπετίθεντο δὲ τὴν ζώνην κύουσαι. (Πινδ. Ὀλυμ: ς.)

„ Αἱ δὲ φοινικόκροκον,
„ Ζώναν καταθήμαμένα
„ Καλπιδά τ' ἀργυρέαν „

„ Λόχμας ὑπὸ κυανέας
„ Τίκτε θεόφρονα κοῦρον.

Οὕτω δέ τοι καὶ Ἀπολλώνιος, ἐν Β'. τῶν Ἀργοναυτικῶν.

„ . . . . . Ὦ ἐπὶ μόνῳ
„ Μίτραν πρῶτον ἔλυσα, καὶ ὕστατον.

Οὕντινα δηλονότι, πρῶτον τὸν αὐτὸν, καὶ ἔσχατον ἔτεκον. Ἐντεῦθεν Παυσανίας (ἐν τοῖς Ἀττικοῖς) ἱστορεῖ, ὅτι Λητὼ τίκτουσα κατέθετο τὴν ζώνην ἐν χώρῳ, ὃς ὕστερον Ζωστὴρ εἴρηται.

Περιεζώννυντο δὲ καὶ οἱ ἄνδρες, καὶ μάλιστα ἐν πολέμῳ, ὡς ἰδεῖν ἐστὶν Ἀγαμέμνονα (Ἰλ: Λ'. ς. 15.) ζωσθῆναι κελεύοντα τοὺς Ἀργείους ἐξελευσομένους εἰς μάχην· ἢ ἅμα, εἰς ὁδὸν παρασκευαζόμενοι· ἅπερ Εὔμαιος (Ὀδυσ: Ξ'. ς. 72.)

„ . . . Ζωστῆρι θοῶς συνέεργε χιτῶνα.

Ὅπερ οὖν τοῖς ἀνατολικωτέροις ἔθνεσι σύνηθες εἶναι ἐκ τῶν ἱερῶν ἀπομνημάτων ἁπανταχοῦ δῆλον.

ΚΕΦΑΛ. Ζ'.

Περὶ περιβολαίων κεφαλῆς, καὶ ποδῶν, καὶ ἑτέρων τοῦ σώματος ἐπικοσμημάτων.

Κάλυμμα κεφαλῆς τῆς τῶν ἀρρένων, ὃ δὴ πίλιον καλοῦμεν, ἐδαμοῦ παρ' Ὁμήρῳ κεῖται ἀναφερόμενον· ὁ δ' οὖν αὐτὸς κόρυθι, ἢ κράνει εἴωθε περιβάλλειν, ἔ ἐν τῷ μέσῳ ἦν ὁ Πῖλος. (Ἰλ: Κ'. ς. 265.)

. . . . . Μέσση δ' ἐνὶ Πῖλος ἀρήρει:

Ἐν οἷς συνηθροῖθαι νοεῖμεν καὶ τὰ Impilia (ἐμπίλια) ἄτινα (Peltra) κοινῇ καλεῖμεν, οἵσπερ τὸ τῆς κόρυθος ἐνδότερον ὑποδύεται, ὡς μὴ τὴν κεφαλὴν θλίβειν. Ὅγε μὴν Ἡσίοδος (ἐν ἔργοις ς. 543.) ἐρίοις βέλεται τὴν κεφαλὴν τῷ γεωργῷ πιλεῖθαι, ὡς ἂν μὴ χειμῶνος ὑπὸ τῆ ὑιετῆ καταβρέχηται.

„ . . . . . Κεφαλῇφι δ' ὕπερθεν
„ Πῖλον ἔχειν ἀσκητὸν, ἵν' ἔατα μὴ καταδεύῃ.

Διὰ τῆτο καὶ ὁ τῆ Ὀδυσσέως γεννήτωρ ἐν τῷ ἀγρῷ διατρίβων (Ὀδυσ. Ω'. ς. 230.) Αἰγείην ἦν Φέρων κυνέην: οἷα δὴ καὶ Θετταλοῖς φορεῖν εἴθιτο. Ἐνθεντοι καὶ Σοφοκλῆς ἐν Οἰδίποδι: τὴν ἡλιοσεφῆ κυνῆν Θεσσαλίδα αἰνεῖ· καὶ ὁ Φιλόστρατος δὲ καθιστορεῖ, τοῖς Ἰνδοῖς εἶναι κυνὴν ὁπότε ὗοι Ἀλλ' ἦν Φίλον τοῖς ἀρχαίοις τὸν Ὀδυσσέα γράφειν πιλεφορῆντα, ὡς ὁ Πλίνιος μαρτυρεῖ, (Βίβλ: ΔΕ'. Κεφαλ: Ἰ) καὶ τέτε δ' ὑπόμνημα σώζεται παρὰ Ὑρσίνῳ, ἐν νομίσματι παλαιῷ. Ἀλλὰ καὶ Κάτων παρὰ Πλετάρχῳ, φησὶ Πολύβιον, κατὰ τὸν Ὀδυσσέα, ἐθελῆσαι πάλιν εἰς τὸ τῆ Κύκλωπος εἰσελθεῖν ἄντρον, τὸ πίλιον ἐκεῖ καὶ τὴν ζώνην ἐπιλελησμένον. Ἄλλως δ' οἱ παλαι τῶν Ἑλλήνων τὰ πλεῖσα, γυμνῇ τῇ κεφαλῇ περιῆγον: ὃ τοῖς Αἰγυπτίοις διηνεκὲς ὑπάρξαι, γράφει Ἡρόδοτος ἐν τῇ Θαλείᾳ. Καὶ παρὰ τοῖς Ῥωμαίοις δὲ ἕτω πεπράχθαι, πάρεσι μαθεῖν ἐκ τῆ Καίσαρος, καὶ ἐξ ἄλλων.

Αἱ δ' οὖν γυναῖκες ἀεὶ τὴν κεφαλὴν ἐκαλύπτοντο. Καλύπτραν δ' ὁ Ποιητὴς ὀνομάζει, περὶ τῆς Καλυψῆς λέγων, καὶ περὶ τῆς Κίρκης. (Ὀδυσ. Ε'. ς. 232. καὶ Κ'. ς. 545.)

„ . . . . . Κεφαλῇ δ' ἐπέθηκε καλύπτρην.

Καὶ Ἡσίοδος δ' ὡσάυτως (ἐν τῇ Θεογονίᾳ: ς. 574.)

. . . . . Κατάκρηθεν δὲ καλύπτραν
„ Δαιδαλέην χέρεσσι κατεχέυετο. . . . . .

„ Καὶ παρὰ Πλετάρχῳ Ἑλλάνικος: γυνὴ (φησὶν) ἀπάγεσα
„ θάτερον μέρος τῦ προσώπε τῆς καλύπτρας. Προσῆν δ' ἔτι
καὶ ἄλλα ταῖς γυναιξὶ κεφαλῆς ἀγλαίσματα, ἅπερ Ὅμηρος περιεί-
ληφεν (Ἰλ. Χ'. ς. 468.) ἐν οἷς περὶ τῦ Ἀνδρομάχης διαλέγεται πένθες:

„ Τῆλε δ' ἀπὸ κρατὸς χέε δέσματα σιγαλόεντα,
„ Ἄμπυκα, κεκρύφαλόν τ', ἠδὲ πλεκτὴν ἀναδέσμην·
„ Κρήδεμνόν θ, ὃ ῥά οἱ δῶκε χρυσῆ Ἀφροδίτη.

Πρῶτον δὴ τίθεται ἡ ἄμπυξ, ἣν ὁ παλαιὸς Σχολιαστὴς ἑρμη-
„νέυει. Κόσμον τινὰ περὶ τὴν κεφαλὴν, ἀνέχοντα τὰς τρί-
„χας τῆς κεφαλῆς· ὅθεν καὶ Παυσανίας παρ' Εὐσαθίῳ, ἔτως
εἰρῆθαι ἡγεῖται παρὰ τὸ ἀμπέχειν τὰς τρίχας. Αὐτὸς δ' Εὐσά-
„θιος: διάδημά τι εἶναι φησὶ πρὸς ἀνάδεσιν τριχῶν, ἃς πε-
„ριστέλλοντες οἱ παλαιοὶ ὑπὸ τέτῳ ἦγον οἵαν τινὰ δηλαδὴ ταινίαν, ὑφ' ἣν αἱ τρίχες συνεδέδεντο: περικεφαλαίαν ὁ τῦ Θεο-
„κρίτε Σχολιαστὴς ἑρμηνεύει, ἐν τῷ Α'. Εἰδυλλίῳ, ἔνθα γυνὴ ἀσκη-
„τὰ πέπλῳ τε καὶ ἄμπυκι. Λέγει δ' ὁ Σχολιαστὴς Κεκρύφαλον, ἔχει κροκύφαντον: ὅπερ ἄλλως λέγεται δικτύδιον ἴσχυρὸν, δι'
ου ἡ πλεκτὴ κόμη συνέχεται, ὡς μὴ διαχεῖσθαι. Τελευταῖον δὲ τὸ Κρή-
δεμνον, ἡ ταινία (ἢ τὸ ἀνθέμιον) ἤτοι τὸ τῆς κεφαλῆς κάλυμμα, τὸ ἄχρις ὤμων καθιέμενον, ὡς Εὐσάθιος ἐκδιδάσκει (Ὀδυσ. Δ'. ς. 334.) ἔνθα Πηνελόπη:

„ Στῆ ῥὰ παρὰ ϛαθμὸν τέγεος . . . . . .
„ Ἄντα παρειάων χομένη λιπαρὰ ηρήδεμνα.

Οὕτω τοι καὶ Ἥρα (Ἰλ. Ξ'. ϛ. 184.)

„ Κρηδέμνῳ δ' ἐφύπερθε καλύψατο δῖα Θεάων.

Τοιόνδέ τι ἦν ἡ ἠ ὀθόνη, ἣ καλυφθεῖσα ἐξῆκεν Ἑλένη ἐπὶ τῷ τὴν μάχην θεάσαθαι: (Ἰλ. Γ'. ϛ. 141.)

„ . . . . . Ἀργεννῇσι καλυψαμένη ὀθόνῃσι.

Κατῆκε δὲ τὸ ἔθος τόδε ἐκ χρόνων ἀρχαιοτάτων ἐν ἐκείνοις τοῖς ἔθνεσι, τῦ μὴ ἄλλως τὰς θηλείας, ἢ καλυπτομένας ἐξιέναι τε καὶ προϊέναι.

Καὶ τοῖς ὠτίοις δ' ἦν ἔθος ταῖς γυναιξὶν, ἔρματα ἐνάπτεσθαι, ἤτοι ἐνώτια: (Ἰλ. Ξ'. ϛ. 182.) Καὶ γάρ τοι Ἥρη:

„ Ἐν δ' ἄρα ἔρματα ἦηεν, ἐϋτρήτοισι λοβοῖσι,
„ Τρίγληνα μορόεντα. . . . . .

Εὐσάθιος, τὰ τοῖς ὠτίοις ἐνειρόμενα κόσμια:

Οὕτως (Ὀδυσ. Σ'. ϛ. 296.) ἐν τοῖς τῶν μνηϛήρων ἄλλοις δωρήμασιν:

Ἔρματα δ' Εὐρυδάμαντι δύω θεράποντες ἔνεικαν

Τέτοις ὁμοίως αἱ ἕλικες (volvulae) Εὐσαθίῳ ψέλλια ἔσθ' ὅτε καὶ ἐνώτια· Οἷον Ἀφροδίτη (ἐν τῷ Ὕμν. ϛ. 164.)

„ Εἶχε δ' ἐπὶ γναμπτὰς ἕλικας, κάλυκάς τε φαεινάς.

Ταυτὰ δὲ ἐπὶ τῇ τῶν θηλειῶν διακοσμήσει καὶ Ὅμηρος τίθησιν. (Ἰλ. Σ'. ϛ. 401.)

„ Πόρπας τε, γναμπτάς θ' ἕλικας, κάλυκάς τε καὶ ὅρμους.

Καὶ κάλυκας μὲν, φησὶν Εὐσάθιος, εἶναι κατά τινας, χρυσᾶς Κρωβύ-

λὰς, οἷς οἱ βόστρυχοι ἀνεδοῦντο. Καὶ Ἡσύχιος δ' οὕτω: Κάλυξ, „ χρυσῆ σύριγξ ἡ τὰς πλοκάμας συνέχουσα. Ὁ δ' ὅρμος περιδέραιον ἐστὶ περιτραχήλιος κόσμος: ὡς ἐπὶ τῆ Ἀφροδίτης διακοσμήσει, (ἐν τῷ ὕμν: ς. 88.)

„ Ὅρμοι δ' ἀμφ' ἀπαλῇ δειρῇ περικαλλέες ἦσαν
„ Καλοὶ, χρύσειοι, παμποίκιλοι.

Ὁμοίως καὶν τοῖς δωρήμασι, τοῖς Πηνελόπῃ προσφερομένοις: (Ὀδυσ: Σ'. ς. 294.)

„ Ὅρμον δ' Εὐρυμάχῳ πολυδαίδαλον αὐτὰρ ἔνειπε
„ Χρύσεον, ἠλέκτροισιν ἐερμένον, ἠέλιον ὡς.

Ἐμνήσθη δὲ Παυσανίας (ἐν Βοιωτικ: τοῖς ἑξακατ:) καὶ διέσειλε, τὰς ὅρμους τὰς ποικιλτὰς, ἀπὸ τῶν ἁπλῶς ἐκ μόνε χρυσίε ἐξειργασμένων: οἷος περ ἦν ὁ τῆς Ἐριφίλης, ὅνπερ χρύσεον ἀποκαλεῖ Ὅμηρος. (Ὀδυσ: Λ'. ς. 326.) Οὕτω καὶ τὸν Ἑλένης ὅρμον, Μενέλαος ἀνέθετο ἐν Δελφοῖς, ὃν ἡ Πυθία πάγχρυσον κόσμον ὠνόμασε: (παρ' Ἀθην: Βίβλ: ς'.) ἀλλὰ καὶ Στεφάνας φέρειν τὰς γυναῖκας, δῆλον ἐκ τῆς Ἰλιάδ: Σ'. ς. 597.)

„. . . . Καί ῥ αἱμὲν καλὰς Στεφάνας ἔχον.

Ἀλλὰ γὰρ μηδεμίαν γενέσθαι δακτυλίων χρῆσιν, διατείνεται Πλίνιος (ἐν Βιβλ. ΛΓ'. Κεφ. Β'.) Nec Iliacis temporibus, ait, ullos fuiſſe anulos video; nusquam certe Homerus dicit, cum et codicillos miſſitatos epiſtolarum gratia indicet, et conditas artis veſtes, ac vaſa aurea, argenteaque, et ea colligata nodi, non anuli nota. Sortiri quoque contra provocationem duces, non anulis tradit.

Fabricari etiam Deûm fibulas, et alia muliebris cultus, ſicut inaures, in primordio factitaſſe, ſine mentione „ anulorum. Οὐδ' ἐπὶ τῶν Γλιακῶν (φησὶ) χρόνων, δακτυ- „λίων ὅλως ὁρᾶ χρῆσιν γενέσθαι· ἦπε γὰρ ἐδαμῆ Ὅμηρος „εἴρηκεν· ὁπότε καὶ τὰ πεμπόμενα τῶν ἐπιστολῶν γραμ- „μάτια παραδηλοῖ, καὶ τάγε ἐν κιβωτίοις ἐναποκείμενα „ἰμάτια, καὶ σκέυη δὲ χρύσεά τε καὶ ἀργύρεα, καὶ ταῦτα „δὲ συνάμματος σύνδετα, ἐχὶ δακτυλίε ἐπισφραγίσ- „ματι. Λαγχάνειν δὲ καὶ τὲς ἡγεμόνας ἀντιπροσκαλεμε- „νες, ἔκουν διὰ δακτυλίων παραδίδωσι. Τεκτονεῖσθαι δὲ καὶ „τὰς τῶν Θεῶν πόρπας, καὶ τ' ἄλλα τῆς γυναικείε „περικοσμήσεως, οἷον τὰ ἐνώτια καὶ κατ' ἀρχὰς „ἀπεξεργάζεσθαι μηδεμιᾶς τὸ παράπαν δακτυ- „λίων χρήσεως μνημονευομένης.

Περιβεβλῆσθαι δὲ καὶ χειρίσι λέγεται τὰς χεῖρας Λαέρτης, (Ὀδυσ. Ω'. ς. 229.) ὡς ἂν αὐτῷ τὴν ἀλωὰν γεωργῶντι ὑπὸ τῶν βάτων μὴ βλάπτοιντο.

„ Χειρίδας τ' ἐπὶ χερσὶ βάτων ἕνεκ'. . . . . .

Καὶ Εὐσάθιος δὲ φησὶ τὰ τῶν χειρῶν καλύμματα ἐκ δερμάτων· προσίθησί τε μὴ μόνον κατὰ τῶν ἀκανθῶν προσειλῆφθαι ταῦτα, ἀλλὰ καὶ ἐπ' ἔργων εὐχέρειαν· καὶ γὰρ καὶ τὲς τοξότας τέτοις κεχρῆσθαι, καὶ τὲς πλύνοντας, καὶ τὲς ζυμῶντας. Ἀλλὰ τῶν χειροθηκῶν, αἷς ἐπὶ τῶ παρόντος χρώμεθα, ἔτις ἦν τοῖς παλαιτέροις Ἕλλησι χρῆσις, ὡς ἐκ τῦ Ξενοφῶντος δηλῶται, τῶ πρὸς ταῖς λοιπαῖς τῶν Περσῶν τρυφαῖς, μίαν εἰς δεῖγμα τιθεμένε καὶ ταύτην: ὅτι τοῖς κεφαλῆς καὶ ποδῶν σκέπασι μηδαμῶς ἐξαρκεμένοι, ἔτι καὶ τὰς „χεῖρας ἐν δακτυλοθήκαις κατὰ τῶ ψύχες προσησφαλίζοντο: ἄλλα „καὶ περὶ ἄκραις (φησὶ) ταῖς χερσὶ, χειρίδας δασείας, „καὶ δακτυλήθρας ἔχεσιν.

Ο' δὲ Λαέρτης ἠ τὰς κνήμας ὠχύρε ἐν κνημῖσι βοείαις. (Ὀδυσ. Ω'. ς. 227.)

„ . . . . . Περὶ δὲ κνήμῃσι βοείας
„ Κνημῖδας ἐαπτὰς δέδετο, γραπτῦς ἀλεείνων

Οἱ δ' ἄλλως ἐν ὑποδήμασιν ἠρκέντο, ἃ Ὅμηρος ἀποκαλεῖ πέδιλα, ἐν οἷς παρίστησιν Ἀγαμέμνονα τῆς κλίνης ἐξεγειρόμενον. (Ιλ. Β'. ς. 44.)

„ Ποσσὶ δ' ὑπαὶ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα.

Ο δὴ καὶ περὶ τῆς Ἥρας φησὶ, ἠ ἁμαχέ περὶ ἄλλων ἔθ' ὅποι προεξιόντων: οἷον περὶ τὲ παρὰ τᾷ Συβότη ἐπιξενωθέντος, ὅτ' ἂν ἀπὸ τὲ σαθμὲ ἐξέλθοι: (Ὀδυσ. Ξ'. ς. 80.) Ἀμέλει καὶ γὰρ οἱ παλαιοὶ ἐκ ἀεὶ ὑποδεδεμένοι ἐτύγχανον, ὥσπερ οἱ σήμερον· ἀλλ' ἔποτε ἔμελλον ἐξιέναι μακροτέραν ὁδὸν ἐπαναληψόμενοι. Οὕτω δὲ ἄρα καὶ Ἑρμῆς (ἐν τῷ Ὕμνῳ ς. 83. — 86.) τὰς Ἀπόλλωνος βᾶς ἀπαγαγεῖν παρασκευαζόμενος

„ . . . . Ὑπὸ ποσσὶν ἐδήσατο σάνδαλα καλὰ. . . .
„ Οἷα τ' ἐπειγόμενος δολιχὴν ὁδὸν. . . . . .

Ἀλλά γε τὰ σάνδαλα ἰδιαίτερον ἦν πέδιλα γυναικεῖα, καθὰ φησὶν Ἡσύχιος· διὸ καὶ ἡ Ὀμφάλη παρὰ Λεκιανῷ τᾷ ἑαυτῆς σανδάλῳ λέγεται τὸν Ἡρακλέα πατάξαι· καὶ ἡ Ἀφροδίτη δὲ πεποίηται τῷ Βίωνι (ἐν Ἀδώνιδι νεκρωθέντι:) ἀσάνδαλος διὰ δρυμόνων ὁδεῦσαι, αἱμάσσουσα πόδας. Ὅλως δὲ καὶ Αἰλιανὸς (ἐν Βιβλ. Α'. Κεφ. ΙΗ'. τῶν περὶ ποικίλ. Ἱστορ:) περὶ τῆς τῶν ἀρχαίων γυναικῶν τρυφῆς διαλεγόμενος, φησὶ, πρός γε τοῖς ἄλλοις, καὶ σανδαλίοις αὐτὰς ὑπο-
„ δεδέσθαι. Ἐπὶ μὲν γὰρ τῆς κεφαλῆς σεφάνην ἐτίθεντο ἴ-
„ ψηλὴν· τὲς δὲ πόδας σανδάλοις ὑπεδέντο· ἐκ δὲ τῶν ὤτων

„αὐταῖς ἐναντία μακρὰ ἀπεκρέμαντο. Τῶν δὲ χιτώνων τοὶ „περὶ τὸς ὤμυς ἄχρι τῶν χαρῶν ὁ συνέρραπτον, ἀλλὰ πο„ρόνας χρυσαῖς καὶ ἀργυρέαις συνεχέσι κατελάμβανον.

ΚΕΦΑΛ. Η'.

Περὶ τῶν Κλινῶν.

Ἀπεδύοντο δὲ τὰ ἱμάτια ὁσάκις ἐπὶ τῆς κοίτης πρὸς ὕπνον ἀπήρχοντο, καὶ ἀπὸ δοιᾶ τῆς ἐν τῷ κοιτῶνι αὐτὰ ἀνήρτων, ἄχρις ἐξεγρόμενοι ἀναλήψαντο, ὡς ἰδεῖν ἐσὶν (Ὀδυσ. Α'. ς. 437) ἔνθα Τηλέμαχος:

„ . . . . . μαλακὸν δ' ἔνδυνε χιτῶνα.
„ Καὶ τὸν μὲν γραὶης πυκιμηδέος ἔμβαλε χερσὶν
„ Ἣ μέντοι πτύξασα, καὶ ἀσκησασα χιτῶνα,
„ Πασσάλῳ ἀγκρεμάσασα παρὰ τρητοῖσι λέχεσσι.

Μεθ' ὃ Τηλέμαχος κοιταθεὶς ὕπνωσεν,

„Ἐνθ' ὅγε παννύχιος, κεκαλυμμένος οἷος ἀὼτῳ.

Αἱ μὲν ἓν κλῖναι συνίσαντο μάλιτα ἐκ ξύλε, ὡς Ὀδυσσεὺς μαρτυρεῖ (Ὀ'δ. Ψ'. ς. 189.) περὶ τῆς κλίνης, ἣν ἐξ ἐλαίας αὐτὸς ἐτεκτήνατο, καὶ χρυσῷ, καὶ ἀργύρῳ, καὶ ἐλέφαντι κατεκόσμησεν· ἔνθεν δὲ καὶ ἔνθεν ἐτάνυσεν ἱμάντα βοὸς ἀπὸ τῶν ὑπερεισμάτων, οὓς ἑρμῖνας καλεῖσι. Διὸ καὶ λέχεα τρητὰ τὰς τοιαύτας κλίνας ὁ Ποιητὴς συνεχῶς ὀνομάζει· πρὸς τὴν τῶν χοινίων δέσιν δηλονότι, διὰ τὰς ἐν ταῖς ὄχθαις (ἤτοι ταῖς πλευραῖς) γινομένας διατρήσεις, δι' ὧν οἱ τό-

νοι διήρχοντο οἱ τὴν στρωμνὴν ὑπανέχοντες· στατὶ δὲ συγχνάκις Ὅμηρος, δι' ἑνὸς τῶδε συνεκφράζει τῶ ἔπος, λέγων.

„ Δέμνια, καὶ χλαῖναι, καὶ ῥήγεα σιγαλόεντα. (Ὀδ. Λ'. ς. 188. καὶ Ὀδυσσ. Τ'. ς. 318.)

Καὶ ἦν μὲν τὰ δέμνια, ὡς οἶμαι, ἡ Τυλεία, ἢ πτίλοις, ἢ γναφάλοις, ἢ ἑτέρῳ τοιῶδε ἔμμεσος. Ὅθεν συχνάκις ἀνθ' ὅλης τῆς στρωμνῆς παρὰ τῷ Ποιητῇ ὑποβάλλεται. Τούτοις ἐνετίθεντο τὰ ῥήγεα, καὶ αἱ χλαῖναι, ὡς σαφὲς γίγνεται ἐκ τῆς Ἰλιάδος (Ω'. ς. 644.), ἐν οἷς Ἀχιλλεὺς κελεύει παρασκευασθῆναι κοίτην τῷ Πριάμῳ:

„ Δέμνι' ὑπ' αἰθούσῃ θέμεναι, καὶ ῥήγεα καλὰ
„ Πορφύρε' ἐμβαλέειν, στορέσαι τ' ἐφύπερθε τάπητας·
„ Χλαίνας τ' ἐνθέμεναι ἔλας καθυπερθεν ἔσασθαι.

„ Φησὶν οὖν Εὐσάθιος: ὑποκεῖσθαι μὲν τὰ δέμνια δίκην κλί-„νης, καὶ ῥήγεα χάριν ἀναπτώσεως· ὑπερκεῖσθαι δὲ τά-„πητας μὲν εἰς σκέπην, χλαίνας δὲ εἰς ἔνδυσιν· τὰ δὲ δὴ „ῥήγεα ἰδίως εἶναι βέλεται, βαπτὰ ἱμάτια, ἢ ὑφάσματα, „ἢ καὶ ἄλλως τὰ περιστρώματα, καὶ πάντα τὰ βαπτά. Ἀλλάγε χλαίνας εἶναι τὴν παχυτέραν ἐσθῆτα: τὸ κατὰ Πολυδεύ-κην, ἐνεύναιον περιβόλαιον: ἤτοι ἱμάτιον ἐυναῖον καὶ παρευ-ναῖον μέγα καὶ δασύ· τετέσι σισύρας ἐξ ἐρίων ἢ γναφάλων· διό καὶ ἔλας τὰς τοιάσδε χλαίνας, ἤτοι δασείας τριχώδεις ὁ Ποιη-τὴς καλεῖ. Καθάπερ οὖν καὶ Θεόκριτος (ἐν Εἰδυλ: ΚΔ'.) ἔνθα τῶ δρα-κοντος, τῷ Ἡρακλεῖ ἐν σπαργάνοις κοιτίδος ἐυναζομένῳ εἰσέρποντος, λέγεται ὑπὸ τῶ βρέφος ἡ χλαῖνα τοῖς ποσὶν ἀπολακτισθῆναι: Οὔλαν δὲ ποσὶν διελάκτισε χλαῖναν, φευγέμεν ὁρμαίνων. Εἶτα ὑπολαβὼν: Ἀμφιτρύων, ἀνέφη, ὑπ' ἀμνείαν θέτο

„παῖδα χλαῖναν. Καὶ τάπητες δὲ λαχνώδεις, ὡς ἔυχρηστοι ἐν ἐυ-
„ναῖς ὑπῆρχον. Ἀνακρέων γᾶν φησί.: Διὰ νυκτὸς ἐγκάθευδον
„ἁλιπορφύροις τάπησιν. Οὕτω δὲ καὶ Ἀριστοφάνης (ἐν Πλούτῳ,
ς. 527.) Οὐχ ἕξεις ὅτ' ἐν κλίνῃ καταδαρθεῖν, ὅτ' ἐν
τάπητι.

Παραπλησίως Οὐιργίλιος περὶ τῦ Ῥαμνήτε, (Αἰνειάδ. Θ' ς 325.κξ.)

. . . . . Qui forte tapetibus altis
Extrudus toto proflabat pectore somnum.

„. . . . . (Ὃς ῥὰ τάπησιν
„Εὗδεν ἐφ' ὑψηλοῖσιν ὅλῳ τῷ σήθει ἐέγκων.)

Πάντως κατὰ ζῆλον τὸν Ὁμήρε τῦ ἐν τάπησιν ὑψηλοῖς τε καὶ ἁβροτέροις, καθυψώσαντός τε καὶ ἐφαβρύναντος τὸν τάπητα, τὸν ὑπὸ τῇ κεφαλῇ ἔυδοντι τῷ Διομήδει: (Ἰλ: Κ'. ς. 156.)

„Αὐτὰρ ὑπὸ κράτεσφι τάπης τετάνυσο φαεινός.

Ἔνθα τὸ προσκεφάλαιον ἐπέοικε νοεῖσθαι, ὡς ἡρμήνευσε καὶ Ἡσύχιος.

Καὶ τῶν δερμάτων δὲ, ἤτοι τῶν διφθερῶν, ἐβραχέα τις ἦν καθεύδησιν ἡ χρῆσις. Οὕτως Ἀχιλεὺς κελεύει ταῖς δμωΐσι σορέσαι λέχος τῷ Φοίνικι. (Ἰλ: Ι'. ς. 657.)

„Κώεά τε, ῥῆγος τε, λίνοιό τε λεπτὸν ἄωτον.

Καὶ Ὀδυσσεὺς δὲ παρ' Εὐμαίῳ κατέλεκτο ἐν δέρμασιν οἴων τε καὶ αἰγῶν (Ὀδυσ: Ξ'. ς. 520.) Χλαίνης αὐτῷ ἐπιβληθείσης πυκνῆς καὶ μεγάλης. Ὁ' αὐτὸς δ' ἄλλοτε κατηυνάθη ἀδέψητον βοέην σορέσας. (Ὀδ: Υ'. ς. 2.) Τοιῦτο δὲ καὶ τὸ Ἀγχίσε λέχος ὑπῆρχεν, (ἐν Ὕμν. τῷ Ἀφροδ. ς. 159. καὶ 160.)

„ Χλαίνῃσιν μαλακῆς ἐσρωμένον· αὐτὰρ ὕπερθεν
„ Ἄρκτων δέρματ' ἔπειτο, βαρυφθόγγων τε λεόντων,
„ Τὰς αὐτὸς κατέπεφνεν ἐν ὄρεσιν ὑψηλοῖσιν.

Ὁμοίως παρὰ Οὐϊργιλίῳ (Αἰνειάδ. Η'. ς. 368)

. . . . . Stratisque locavit
„ Effultum foliis, et pelle Libyſtidos urſae.
„ (Εὔανδρος Αἰνείαν ξενοδοχεῖ:
„ Φυλλάδ' ὑποσιβάσας, ἢ δέρμα Λιβυσίδος ἄρκτυ.)

Οὕτω καὶ Δάφνις παρὰ τῷ Θεοκρίτῳ (ἐν Εἰδυλ: Θ'.) φησὶν, ἐσρῶθαι οἱ τὸ λέχος δαμάλεων δέρμασιν:

„ . . . . . Ἐν δὲ νένασαι
„ Λευκᾶν ἐκ δαμαλᾶν καλὰ δέρματα.

Ἀλλ' ἦν ἄρα γινομένη καὶ λίνε χρῆσις εἰς τᾶτο, ὡς παρὰ τὸ ἐπενεχθὲν ἀνωτέρω, (ἐκ τῆς Ἰλ: Ι'. ς. 657.) δῆλον γίνεται κἀκ τᾶ (ἐν Ὀδυσ: Ν'. ς. 73.) ἔνθα οἱ Φαίακες,

„ . . . Ὀδυσσῆϊ σόρεσαν ξῆγός τε, λινοντε.

Καὶ Δίδυμος μὲν ἑρμηνέυει, λεπτὸν ἱμάτιον: Εὐσάθιος δὲ, σκέπασμά τι σινδονοειδὲς· ὁ δὴ δαψιλῶς ἐπαινεῖ Ἀπολλώνιος παρὰ Φιλοστράτῳ (ἐν Βιβλ: Η'.) Φάσκων,

„ Καθαρὸν τὸ ἐννυχεύειν ὑπὸ λίνῳ.

Ἄλλως γε μὴν ἔτι καὶ χαμαὶ κατευνάζοντο οἱ βίον ἐπασκοῦντες σκυθρωπότερον· τοιοῖδε ἦσαν οἱ Σελλοὶ οἱ τᾶ Δωδωναίε Διὸς ὑποφῆται, οἷς χαμαιεύνας Ὅμηρος ἐπονομάζει, (Ἰλ: Π'. ς. 235.) ὡς κάτω περὶ γῆν αὐτὰς καμένας, καὶ μὴ ἐπὶ σιβάδων, ἢ δε-

„μνίων ὑπνώοντας. Καὶ Φιλόστρατος δὲ ὁμοίως, (ἐν Βιβλ: Γ. τῶν εἰς τὸν βίον Ἀπολλων:) τὰς τῶν Ἰνδῶν Βραχμάνας χαμευνίαις χρῆσθαι φησὶν, καθυποστρωννύντας σφίσιν, οἷς ἂν τῶν χόρτων περιτύχοιεν. Καὶ Λαέρτης δὲ ἐν τῷ ἀγρῷ διάγων, ἐπὶ φυλλάδος ἠυλάζετο (Ὀδυσ: Λ. ς. 192.)

„Πάντῃ (γὰρ) οἱ κατὰ γυνὸν ἁλωῆς οἰνοπέδοιο.
„Φύλλων πεπλιμένων χθαμαλὰὴ βιβλήατα ἐυναί.

Στιβὰς δὲ παρὰ Θεοκρίτῳ (ἐν τῷ Ζ'. Εἰδυλ:) ἀναγινώσκεται πρὸς ἐυνὴν, εἰς πῆχυν ὅλον ἐπιπυκνωμένη.

„Κνύζα τ', ἀσφοδελῷ τε, πολυγνάμπτῳ, Σελίνῳ.

Τοιαύτας ἐν τοῖς θεσμοφορίοις καὶ αἱ Ἀτθίδες σφίσι παρεσκεύαζον τὰς ἐυνὰς, ἐκ φύλλων ἀμπελίνων, ὡς παρὰ τῷ Διοσκορίδῃ ἀναγινώσκεται (ἐν Βιβλ: Α'. Κεφ. Κς'.) Τέως δὲ καὶ Πλάταρχος (ἐν τῷ περὶ τῦ δαιμον, τῦ σωκρ·) χαμευνῶν τῶν ἐξ ἄγνυ τε καὶ μυρίκης ἀναμιμνήσκεται.

ΚΕΦΑΛ. Θ'.

Περὶ Λύσεως καὶ Χρίσεως.

Συχνόταται παρ' Ἕλλησιν ἦσαν αἱ ἀπολύσεις καὶ Ἐπιχρίσεις· δι' ὧν ἐχ ὅπως τὰς ῥύπας ἐκπλύνεσθαι ἔχοιεν, ἀλλά τινα καὶ ψυχαγωγίαν σὺν ἡδονῇ ἑαυτοῖς προμηχεύειν· τούτων δὲ πρὸς ἑκάτερον ἐκείνας ἀποσκοπεῖν, Εὐσάθιος ἐπιμαρτυρεῖ, λέγων· εἰσεννέχθαι τὸ βαλανεῖον, ὅπως ἂι ἡ ῥύπα μὲν ἀποθετικὸν, ἀναψυχῆς δέ τινος, αἴτιον. Ἐνθειτοι διηνεκῶς παρ' Ὁμήρῳ, οἱ, εἴτε ἀπὸ τῆς μάχης

ἐπανιόντες, εἴτ' οὖν καὶ δι' ὁδῶ μακροτέρας εἰς δῶμα τινὸς καταλύοντες, λούονταί τε καὶ χρίονται, εἶθ' ἕτως ἐπὶ δαῖτας δαψιλεστέρας προσίασι. Δεῖγμα δὲ τοῦ τοιέτου πρόκειται τὸ Διομήδες τε καὶ Ὀδυσσέως, οἱ ἀπὸ τῆς κατασκοπεύσεως ἐπανελθόντες: (Γλ: Κ'. ς. 578.)

„ Τὼ δὲ λοεσσαμένω, καὶ ἀλειψαμένω λίπ' ἐλαίῳ,
„ Δείπνῳ ἐφιζανέτην . . . .

Ὡσαύτως Τηλέμαχός τε καὶ Πεισίστρατος παραγεγονότες εἰς δώματα Μενελάε, λεθέντες τε καὶ χριθέντες ὑπὸ τῆς ἀμφιπόλε, πρὸς εὐωχίαν καλεῖνται. (Ὀδ: Δ'. ς. 49.) Ὅθεν Ἀθήναιος (ἐν τῷ „Θ'. Βιβλ:) ὡς ἐξ Ὁμήρε δεῖν (ὅιεται) θεραπεύσαντα τὸ „σωμάτιον, καὶ λεσάμενον ἰέναι πρὸς δεῖπνον. Ταὐτὸ δ' ἐγίνετο καὶ ὁσάκις, ἀνιαρῆ τινος ἀπαλλαγέντες, εἰς θυμηδίαν ἐφίεντο σφᾶς αὐτὲς μεταθέθαι. Οἵτως ἡ Εὐρυνόμη τῇ Πηνελόπῃ παραινεῖ (Ὀδυσ: Σ'. ς. 171.) ἀποπαυσαμένην τε δακρύειν, νίψαθαί τε καὶ τὸ πρόσωπον χρίσαι, ἵν' ἕτω πρὸς τὸν υἱὸν προέλθῃ, καὶ τὲς μνηστῆρας προσφθέγξηται:

„ Χρῶτ' ἀπονιψαμένη, καὶ ἐπιχρίσασα παρειάς.

Τὸ δ' αὐτὸ ἔθος καὶ παρὰ Ῥωμαίοις κεκρατηκέναι, ἀριθμὸν νικᾶσιν οἱ μαρτυρέμενοι, μηδαμῶς ἢ καλῶς αὐτὲς νιψαμένες τε καὶ χριθέντας ἐπὶ τὸ εὐθυμότερον μετατρέπεθαι.

Φίλον δὲ τοῖς Ἥρωσιν ἦν, ἐν ὕδατι ἀπολέεθαι θαλασσίῳ, ὡς Διομήδης καὶ Ὀδυσσεὺς: (Γλ: Κ'. ς. 572.)

„ . . Ἱδρῶ πολλὸν ἀπενίζοντο θαλάσσῃ
„ Ἐσβάντες, κνήμας τε ἰδὲ λόφον, ἀμφί τε μηρές.

Ἀμέλεται γὰρ καὶ λίαν καθαρτικὸν ἐσὶ τῆς θαλάσσης τὸ ὕδωρ, καὶ τοῖς νεύροις προσφορώτατον, ἢ φησὶν Ἀθήναιος (ἐν βιβλ: „Α'.) Κόπον μὲν θαλάττη λέοντες, ἢ μάλισα τοῖς νεύ„ροις ἐσὶ πρόσφορος: οὗ χάριν καὶ Ῥωμαῖοι τὰ πελάγια τῶν

Βαλανείων ἐκτόπως ἠρῆντο: ὡς Μινήτιος ἔφασκεν ὁ Φῆλιξ: Placuit Oſtiam petere, amoeniſſimam civitatem, quod eſſet corpori meo ſicandis humoribus de marinis lavacris blanda et appoſita curatio. „Ἔδοξεν ἀπελθεῖν εἰς Ὀστίαν πόλιν „πάντερπνον· εἴη γὰρ ἂν πρὸς ἐξικμάσιαν τῶν χυμῶν „τοῦ σώματος, ἡ ἐκ τῶν πελαγίων λουτήρων θεραπεία „ἡδεία τε ἅμα καὶ πρόσφορος. Διὰ δὴ τοῦτο καὶ Ναυσικάα μετὰ τῶν ἑταίρων παιδισκῶν, ἐπὶ τὰς ἐκβολὰς τοῦ ποταμοῦ προΐει πλυνέουσα. (Ὀδυσ: Ζ'. ς. 59.) Καὶ ἐκ ἄλλως δὲ καὶ ἡ Εὐρώπη προελουθένα παρὰ τῷ Μόχῳ πεποίηται.

„Ἦ ὅτι φοιδρύνοιτο χρόα προχοαῖσιν Ἀναύρου

Ἄλλως τε δὲ καὶν τοῖς ποταμοῖς εἰωθότες ἦσαν οἱ παλαιοὶ Ἥρωες ἑαυτὲς πλύνειν, ὡς Ἀγήνωρ (Ἰλ: Φ'. ς. 560.)

„. . . . . Λοεσσάμενος ποταμοῖο
„Ἱδρῶ ἀποψυχθεὶς - - - - - -

Ὅπερ δὴ σύνηθες ὑπάρξαι τοῖς Λακεδαίμοσιν ἐν τῷ Εὐρώτᾳ ποιεῖν ἀνέκαθεν ἤδη ἀπὸ τῶν Ἡρωϊκῶν χρόνων, Θεόκριτος δείκνυσιν, ἐν τῷ τῆς Ἑλένης ἐπιθαλαμίῳ· ἔνθα αἱ Σπαρτιάτιδες νεάνιδες ἀσματίζεσιν, ὅτι καὶ αὐταὶ, ὥσπερ οἱ ἄνδρες, ἐν τοῖς χεύμασιν ἐπιχρίονται τοῖς τοῦ Εὐρώτα:

„Χρισάμεναι ἀνδρεσὶ παῤ Εὐρώταο λοετροῖς.

Ἀλλά γε σπνήθως εἶχον, οἶκοι συνεχέτερον ἐν λετῆρσι θερμοῖς ἀναστρέφεθαι. Ταύτητοι Διομήδης καὶ Ὀδυσσεὺς, μετὰ τὸ ἐν τῇ θαλάσσῃ ἀπορυφθῆναι: (Ἰλ: Κ'. ς. 576.)

„Εἰς ἐ ἀσαμίνθας βάντες εὐξέσας λάσαντο.

Οὕτωσὶ Νέστωρ ὑπὸ Ἑκαμήδης βάλεται αὐτῷ: (Ἰλ: Ξ'. ς. 6.:) Θερμὰ λοετρὰ παρασκευαθῆναι.

Καὶ ἡ Ἀνδρομάχη δὲ, ἀπὸ τῆς μάχης τῦ Ἕκτορος ἐπανιόντος: (Ἰλ: Χ'. ς. 413.)

„ . . . . . κέκλετο ἀμφιπόλοισιν
„ Ἀμφὶ πυρὶ ςῆσαι τρίποδα μέγαν. . . . .
„ Ἕκτορι θερμὰ λοετρὰ, μάχης ἐνοσίησαντι.

Καὶ τοῖς Φαίαξι δ' εἰρηται, θυμήρη ἐξόχως εἶναι (Ὀδυσ: Θ'. ς. 249).
„ Εἵματά τ' ἐξημοιβὰ, λοετρά τε θερμὰ, κὴ εὐναί.
Ὁ δέ τοι Πίνδαρος (Ὀλυμπ: ΙΒ'.) δὶ ἐπαίνε ἄγει:

„ Θερμὰ Νυμφᾶν λετρὰ.

Καὶ (Νέμ. Ω'δῇ Δ'.) Ἐν θερμοῖς (φησὶ) λετῆρσι τὰ τῦ σώματος μέλη ἀναθάλπεθαι·

„ Οὐδὲ θερμὸν ὕδωρ τόσσον
„ Γε μαλακὰ τεύχει
„ Γυῖα. . . . . .

Δῆλα δὲ καὶ τὰ Ἡρακλήϊα λετρὰ, ἃ ὑπερζέοντα Ἥφαιςος τῷ Ἡρακλεῖ καθυπέθηκεν, ἢ παρὰ τῷ Σχολιαςῇ ἀναγινάσκεται τῷ Ἀριςοφάνες. (ἐν ταῖς Νεφέλαις. ἐν ς. 1047.) Πῦ ψυχρὰ δῆθεν πώποτ' εἶδες Ἡράκλεια λετρά. Τοιγαροῦν ἔλαθε Πλίνιον (Βιβλ. ΑΑ'. ἐν Κεφ. ς.) εἰπόντα, μηδαμῆ τὸν Ὅμηρον, θερμῶν πηγῶν ὑπομνηθῆναι. Homerum calidorum fontium mentionem non feciſſe, cum alioquin lavari calida frequenter induceret; videlicet quia medicina tunc non erat haec, quae nunc aquarum perfugis utitur.
„ (Ὅμηρον θερμῶν πηγῶν μνείαν μὴ πεποιηκέναι, καὶ πες
„ ἄλλως τὲς θερμῷ λεομένες συνεχῶς εἰσάγοντα: ἀμέλει

„ τοι, ἐπεὶ τὸ τηνικαῦτα ἡ Ἰατρικὴ ἄυτη ἐκ ἦν, ἡ νῖν ἐπὶ „ τὰ ὕδατα καταφεύγεσα. Καὶ γὰρ θατέρα τῶν τῦ Σκαμάνδρε πηγῶν (Ἰλ: Χ'. ς. 149.)

„ . . . . . Ὕδατι λιαρῷ ῥέει, ἀμφὶ δὲ καπνὸς
„ Γίνεται ἐξ ἀυτῆς, ὡσεὶ πυρὸς αἰθομένοιο.

Ἦπε δ' εἰκός γε ἦν, ἐκ ἄλλοθεν, ἢ ἐκ τῆς Φύσεως τὲς ἀνθρώπες παρειληφέναι, ᾧ διὰ τέχνης συνεπορίσαντο.

Τελευταῖον μετὰ τὴν διὰ τῦ λετρῦ ῥύψιν ἐπεχρίοντο· ὡς ἂν οὕτως ἀυτοῖς οἱ πόροι ἐμφραγεῖεν τῦ σώματος. Οὕτω γὰρ Ἐυρύθιος (ἐν τῷ „ τῆς Ἰλιάδ. Κ. ς. 577.) Ἐλαίῳ δὲ ἐχρίοντο οἱ λεσάμενοι, „ ἐμφράττοντες τὲς σωματικὲς πόρες, ὡς ἂν μετὰ τὸ λε- „ τρὸν σέγοιεν τὴν ὑγρότητα. Ἀλλὰ μῦρα ἐπὶ τῶν Ἰλιακῶν χρόνων ἐκ ἦν, ᾗ μαρτυρεῖ Πλίνιος (ἐν τῷ ΙΓ'. Βιβλ. Κεφ. Α'.) τοιαῦτα δηλονότι, οἷαπερ ἐν τοῖς ἐφεπομένοις καιροῖς διὰ χρήσεως ἦκον. Ἐλαίῳ δὲ μόνῳ προσεχρῶντο, συμμιγνῦντες ἐκ τῶν θαμνίων τὰ ἐυοσμότερα, ἐξόχως τὰ ῥόδα. Ὅθεν τὸ ἔλαιον ὁ Ποιητὴς ἐπαινεῖ τὸ ῥόδινον. (Ἰλ. Ψ'. ς. 186.) ᾧπερ Ἀφροδίτη ἐπέχρισεν Ἕκτορα: Ῥοδόεντι δὲ χρῖεν ἐλαίῳ. Ἄλλως τε δὲ, καὶ τεθυωμένον ἀποκαλεῖ τὸ ἐξ ἐυοσμων τινῶν ἠρτυμένον, ὅτε περὶ τῆς Ἥρας φησὶν: (Ἰλ: Ξ'. ς. 172. κξ.)

„ . . . . . Ἀλείψατο δὲ λίπ' ἐλαίῳ
„ Ἀμβροσίῳ, ἑδανῷ, τὸ ῥά οἱ τεθυωμένον ἦεν
„ Τῦ κὲ κινυμένοιο Διὸς προτὶ χαλκοβατὲς δῶ,
„ Ἔμπης ἐς γαῖάν τε καὶ ἠρανὸν ἵκετ' ἀϋτμή.

Μέμνηται δὲ τότε καὶ Ἀθήναιος (ἐν Βιβλ. ΙΕ'.) ἐν οἷς διὰ πολλῶν τὰ τῆς Μυρεψικῆς ἐκτιθέμενος, διατείνεται ὅτι καὶ Ὅμηρος εἰδὼς ἦν χρῆσιν μύρων: καὶν εἰ, σὺν ἐπιθέτῳ τινὶ ὀνομάζοι ἔλαια. Ὅπως οὖν ἀλλ' ἔχοι τὸ περὶ τότε Ὅμηρος ἐκ εἰσάγει τὲς Ἥρως μύροις ἀλειφομένες·

ἢ γοῦν, κατά γε τὸ αὐτῷ δοκεῖν Ἀθηναίῳ (ἐν τῷ Α'. τῶν Βιβλ.) μόνος παρ' Ὁμήρῳ ὁ Πάρις, **πάλλα σίλβων παρίσταται.** (Γλ: Γ'. ς. 392.)

Καὶ αἱ ἐθῆτες δὲ πολλάκις εἰώθεσαν ὑπὸ γυναικῶν πλύνεσθαι, ὥσπερ ὑπὸ τῆς Ναυσικάας, καὶ τῆς Φοινίσσης ἐκείνης, ἣ συναναδραποδισθεῖσα ἅμα ἑάλω Εὐμαίος. (Ὀδυσ: Ο'. ς. 419). Οὕτω δὲ Σιμωνίδης εἴρηκε περὶ γυναικὸς εἰδεχθοῦς: **αὐτὴ δ' ἄλυτος, ἄπλυτός τε εἵμασιν.** Ἦν δ' ἐπὶ τούτῳ πλυντήρια ἐγγὺς τῶν πόλεων κατεσκευασμένα, ὡς περὶ τῆς Τροίας Ὅμηρος μαρτυρεῖ. (Γλ. Χ'. ς. 153.)

„ **Ἔνθα δ' ἐπ' αὐτάων πλυνοὶ εὐρέες ἐγγὺς ἔασσι**
„ **Καλοὶ, λαΐνεοι, ὅθι ἄματα σιγαλόεντα**
„ **Πλύνεσκον Τρώων ἄλοχοι, καλαί τε θύγατρες.**

Τοτὶ δ' ἐγίνετο διαφερόντως ἐπ' εὐθυμίας αὐτοῖς τρεπομένοις, καθὰ περὶ τῶν υἱῶν Ἀλκινόου εἴρηται: (Ὀδυσ. Ζ'. ς. 64.)

„ **Οἱ δ' αἰεὶ ἐθέλουσι νεόπλυτα εἵματ' ἔχοντες**
„ **Ἐς χορὸν ἔρχεσθαι.** . . . . . .

ΚΕΦΑΛ: Ι.

Περὶ Κομμωτικῆς.

Εἰς κόσμον δὲ τοῦ σώματος καὶ εὐπρέπειαν ἀνήκουσα ἥ τε καὶ ἡ κόμη, ἣν δὴ τρέφειν τε καὶ τιμᾶσθαι, ὀλίγον Ἕλληνες ἐποιοῦντο λόγον πρὸς ἐγκαλλώπισιν. Διόπερ Ὅμηρος τοὺς Ἕλληνας ἀπαναχαῖς ἐπισεμνύει

ὀνομάζων κορηκομόωντας: τετέσι κομῶντας τὰ κάρηνα, καὶ πιλύτριχας. Εὐσάθιος δὲ τᾶτ' ἔφη αὐτὰς ἐπιτηδεύεθαι, ἐχ ὅπως καλυ-
„νομένας, ἀλλὰ καὶ φοβερωτέρας καθισαμένας: Ἔθος ἦν αὐτοῖς κόμην
„τρέφειν, ἐ μόνον εἰς κάλλος, ἀλλὰ καὶ διὰ τὸ φοβερὸν·
„ὕτω γὰρ καὶ λέων χαιτήεις φοβερώτερος τᾶ μὴ χαίτην
„ἔχοντος. Οὕτω καὶ περὶ Λεωνίδα τᾶ τῶν Σπαρτιατῶν Ἄνακτος γράφων
„ἐσὶ Φιλόστρατος (ἐν τῷ Η'. Βιβλ:) ὡς ἄρα γένοιτο κομῶν
„ὑπὲρ ἀνδρείας, καὶ τᾶ σεμνὸς μὲν φίλοις, φοβερὸς δὲ ἐχ-
„θροῖς φαίνεθαι.

Ἡ δέ τοι κόμη ἡ ξανθὴ μάλιστα ἤγετο ἐν ἐπαίνῳ, ἣν ἐπ' Ἀχιλλεῖ, καὶ Μελεάγρῳ, καὶ Μενελάῳ ἐξυμνεῖ Ὅμηρος. Τοιαύτην δὲ καὶ τὴν τῆς Κίρκης Ὀρφεὺς περιγράφει.

„. . . . . Ἀπὸ κρατὸς γὰρ ἔθειρας,
„Πυρσαῖς ἀντίνεσσ' ἐναλίγκιοι ἠώρηντο.

Καὶ Οὐιργίλιος δὲ ἀνακηρύττει (ἐν τᾷ Δ'. τῆς Αἰνειάδος, ς. 559.)

Et crines flavos, et membra decora juventae.

„(Καὶ ξανθὴν δὲ κόμην, καὶ γυῖα δὲ ἀγλαὰ ἦβης.)

Ἀλλὰ καὶ Κατύλλος καταγλαίζει κλείζων τὴν Βερενίκης χρυσείαν κόμην. Διόπερ ἔν γένει Εὐριπίδης φησὶ, τὸν Ἔρον ὑπὸ τῆς ξανθῆς κόμης ἁλίσκεθαι.

„Φιλεῖ κάτοπτρα, καὶ κόμης ξανθίσματα.

Καὶ αἱ ἔλαι δὲ τρίχες ἐν ἐπαίνῳ ἦσαν· ὅυπερ ἕνεκα, χάριν ἐθέλουσα τῷ Ὀδυσσεῖ περιάψαι Ἀθήνη, (Ὀδυσ: Ζ'. ς. 231.)

„Οὔλας εἶπε κόμας, ὑακινθίνῳ ἄνθει ὁμοίας.

Εἴθεντοι καὶ ἁλοκάρηνος Ὁμήρῳ Ὀδυσσεὺς εἴρηται. Οὕτω δὲ ἦ Μόχος ὁ Βεκολιαστὴς τὴν Ἔρωτος κεφαλὴν ἐν θριξὶν ἔλαις ὑπο-

σκιάζει· τοτὶ δὲ ἄρα καὶ ἐντέχνως ἐπειράσαντο περιποιεῖσθαι, ἐν συνάμμασι (*) διαστρεβλῶντες, καὶ λαβίσι τε, καὶ βελόναις, ἢ τοιούτοις ἄλλοις μεταλλικοῖς πεπυρακτωμένοις ὀργάνοις τὰς κόμας. Τῶν ἐν τοιῶνδε βοστρύχων (ἢ κρωβύλων) Ὅμηρος πολλαχῆ μνημονεύει, ἃς δὴ πλοκάμους, ἢ πλοχμοὺς ὀνομάζει. Οἷον περὶ τῆς Ἥρας λέγων, (Ἰλ: Ξ'. ς. 175.) φησὶν, ὅτι

„. . . . . Χαίτας
„Πεξαμένη, χερσὶ πλοκάμους ἔπλεξε φαεινὰς,
„Καλὰς, ἀμβροσίας, ἐκ κράατος ἀθανάτοιο.

Τοιοῦτοι δὲ καὶ τῷ Εὐφόρβῳ (Ἰλ: Ρ'. ς. 52.) ἀπονεμόμενοι φέρονται:
„Πλοχμοὶ δ' οἱ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο.

Πρὸς ὃ καὶ Πλίνιος (Βιβλ: ΛΑ'. Κεφ: Α'.) ἀπιδὼν ἔφη. Apud Homerum, virorum crinibus aurum implexum. (Παρ' „Ὁμήρῳ ταῖς ἀνδρῶν χαίταις χρυσὸς ἐμπέπλεκτο. Ἀθη„ναίοις μὲν ἔν τὸ πάλαι πάτριον ἦν, τέττιγας χρυσοῦς „ταῖς ἑαυτῶν κόμαις ἐνάπτειν, ὡς μαρτυρεῖ Θουκυδίδης (ἐν τῷ Α'. τῆς Ἱστορ:) καὶ δὴ καὶ Πλάταρχος ἐσὶ γράψας τές γε Κολοφωνίους, χρυσαῖς ταινίαις διακοσμεμένας εἰς κάλλος ἀγλαΐζειν τὰς κόμας: τὰς δὲ δὴ τοιάσδε βοστρύχους κέρατος δίκην εἰώθεσαν χηματίζειν· ἐξ οὗ καὶ κατὰ τὸ Πάριδος εἰρηται κέρα ἀγλαὰ. (Ἰλ: Λ'. ς. 385.) ὡς ἑρμηνεύσαντες εἰσὶν Ἡρόδοτος, καὶ Ἀπίων ὁ Γραμματικός. Ὡσαύτως δὲ καὶ Σώφρων ὁ συγγραφεὺς τῶν Μίμων, κορώνας ἀναδεμένους λέγει, οἷς οἱ βόστρυχοι, ἐν ὁμοιώματι κεράτων τόξου ἀνεκορυφοῦντο.

Καὶ πρὸς ἔθ' ὅ, τι δὲ κῆμα τὰς κόμας ἀπέκειρον: οἷον οἱ ἐν Εὐβοίᾳ, δῆμος Ἀβάντων, ὑπὸ τοῦ Ποιητοῦ λέγονται, ὄπιθεν κομόωντες,

(*) Η" σπειράμασι

ὅτι τὰς ἐνωπίας τῶν τριχῶν ἐξυρῶντο· διὸ Στάτιος ἀνακηρύττει τὸς Ἀβαντιάδας, in terga comatos: **Νωτονόμους, ἢ ὀπισθονόμους**: κατὰ δὲ τὸ ἐκείνων ἔθος, ἐν Δελφοῖς κειράμενον τὸν Θησέα διέξεισι Πλούταρχος. Παρατηρήσας δὲ αὐτὸς τὸ τοιοῦτον ἠγεῖται· ὅπως μὴ „παρέχοιεν ἐκ τῶν τριχῶν ἀντίληψιν τοῖς πολεμίοις· ὅπερ ἦν, καὶ τὸς Κρῆτας πεποιηκέναι γράφει Ἀντίμαχος ὁ Εὐβοεύς. Τοιάνδε δ' ὑπάρξαι καὶ τὴν **κυρὰν τὴν Ἑκτόρειον** βέλεται Γσαάκιος ὁ Κέκης. Ἦν γὰρ Εὐσάθιος ἀναφέρει (Γλ: Ψ'.) ὡς ἐκ τοῦ Λυκόφρονος. Ὅμηρος δὲ (Γλ: Δ'. ς. 533.) **ἀκρονόμους** ἀποκαλεῖ τὸς Θρᾶκας, ὅτι τὸ τῆς κεφαλῆς ἄκρον κομῶντες ἐτύγχανον.

Ἦν δὲ τοῖς ἀρχαίοις ἔθος προσέτι, τὴν ἡλικίαν προϊοῦσιν, ἐν ποταμοῖς τοῖς πατρίοις τὰς κόμας κείρεσθαι, ἅτε δὴ ἐξ ὑγρότητος φυομένας. Οὕτω διέξεισιν Ὅμηρος, ἐπὶ τῇ Πατρόκλε κηδείᾳ, τὸν Ἀχιλλέα ἀφελέσθαι τὴν κόμην, ἣν ὁ πατὴρ μετὰ τὸν ἐκείνε νόστον ἐπήυξατο τῷ Σπερχειῷ. (Γλ: Ψ'. ς. 141.) Μέμνηται δὲ τοῦ τοιούτε Παυσανίας (ἐν τοῖς **Ἀττικοῖς**.) εἰσβάλλων ἐντεῦθεν, ὡς κοινὸν ἦν τὸ ἔθος τοῖς Ἕλλησιν: οὗ δὴ καὶ παράδειγμα ἐπιφέρει τὸ τοῦ Μνησιμάχης υἱοῦ, οὗ ὁ Ἀνδριὰς παρὰ τὸν Κηφισσὸν ποταμὸν εἵστηκει, κεκαρμένε τὴν κόμην. Ὁμοίως Φιλόστρατος παραδίδωσιν, ὅτι Μέμνων τὴν ἑαυτοῦ κόμην τῷ Νείλῳ ἀπεκείρατο,

Ἀλλ' εἰ καὶ τοῖς παλαιοῖς τῶν Ἑλλήνων, ἀρέσκει τε δή καὶ θηλείαις, ἀσθή τις περὶ τὴν κόμην ἐγίνετο, ἐκ ἐς ἀεὶ μέντοι ἐν ἐπαίνῳ ἐτίθετο τὸ πρᾶγμα, οἷα πε φανερὸν, ἐξ ὧν ὑπὸ τοῦ Ἕκτορος, καὶ ὑπὸ τοῦ Διομήδες (Γλ. Γ'. ς. 55. καὶ Λ'. ς. 385.) ὁ Πάρις ἐπί γε τῇ κόμῃ ὡς Θηλυδριώδης κεκάκισο. Διόπερ ὁ Φιλόστρατος (ἐν τοῖς Ἡρωϊκοῖς „φησὶ) διαβέβλητο δὲ πρὸς τὸν Πάριν ὡς δειλὸν, καὶ ἥττω „τοῦ κομᾶσθαι. Ὡσάυτως δὲ καὶ Θησεὺς ἀφικόμενος Ἀθήναζε ἄγνως τε, καὶ κόμην πεκτὸς, τοῖς ὑπὸ τῶν τεκτόνων σκάμμασιν ὑποδέδεκτο: **Παρθένος ἐν ὥρᾳ γάμε πλανᾶται μόνη.** Καὶ τάγε ἔπη τὰ Φωκυλίδες περὶ τότε ἀρίδηλα:

„ Μὴ μὲν ἐπ' ἄρσενι παιδὶ τρέφειν χαίτην πλοκαμῖδος·
„ Μὴ κορυφὴν πλέξῃς, μηθ' ἅρματα λοξὰ κορύμβων·
„ Ἄρσεσιν οὐκ ἐπέοικε κόμη, χλιδαὶ δὲ γυναιξίν.

ΚΕΦΑΛ. ΙΑ'.

Περὶ Οἴκου.

Μετὰ τὴν σίτησιν, καὶ τὴν ἀμφίασιν, σκεπτέα ἦκει καὶ τὰ περὶ τὴν οἴκησιν. Ὅμηρος ἓν τοῖς τῶν μεγιστάνων μάλιστα περιγράφων ἐστὶν οἰκίας, ἃς δώματά τε καὶ μέγαρα ὀνομάζει: καθὰ καὶ Ἀθήναιος, ἐν τῷ Α. τῶν αὐτοῦ βιβλίων, παρατετήρηκε. Περὶ τούτων τοίνυν καὶ ἡμῖν ἐπὶ τοῦ παρόντος πραγματευτέον.

Τὸν οἶκον ἔκτοθεν ὁ τοῖχος ἦν περιέχων· ἤτοι τὸ ἕρκος, κατ' Εὐσάθιον, τὸ περὶ τὴν αὐλὴν τεῖχίον, μεθ' ὃ αἱ πύλαι· πρὸς αἷς εἴθιστο κοιτάζεσθαι κύνας, εἰς προφυλακὴν τοῦ οἴκου. ἐξ ἕνεκα γε τούτου πυλαωροὺς Πρίαμος ἀπεκάλει. (Ἰλ: Χ'. ϛ. 69.) Ὁ δὲ „Ποιητὴς Ἀντιφάνης φρουροδόμους. Καὶ Εὐσάθιος ἔθος ἦν (φησὶ) τὰς αὐλείους θύρας τηρεῖσθαι ὑπὸ κυνῶν. Τοιόσδε ἦν ὁ τοῦ Ὀδυσσέως κύων ὁ Ἄργος, ὃς ἔκειτο (Ὀδυσ: Ρ'. ϛ. 297.)

„ Ἔν πολλῇ κόπρῳ, ἣ οἱ προπάροιθε θυράων.

Οὐ μόνον δὲ, ἀλλὰ καὶ τέχνῃ ἐπισκευασοὶ κύνες παρὰ ταῖς θύραις ἐπικαθιζῶντο, οἵους περ Ἥφαιστος ἐκ χρυσοῦ καὶ ἀργύρου ἐτεχνιτεύσατο. (Ὀδυσ: Η'. ϛ. 93.)

„ Δῶμα φυλασσέμεναι μεγαλήτορος Ἀλκινόοιο

Ὅτι δὲ δὴ καὶ Ῥωμαίοις τόδ' αὐτὸ εἴθιστο, Πετρώνιος ὁ Arbiter ἐκδιδάσκει: Non longe ab oſtiarii cella canis ingens catena vinctus in pariete erat pictus, ſuperque quadrata littera ſcriptum CAVE CANEM. „ Οὐ πόρρω δὲ (φησὶ) τῆς „τῆ θυρωροῦ κέλλης, κύων μέγας ἁλύσει δεδεμένος, ἐπὶ „τῆ τοίχῳ ἦν ζωγραφηθείς, οὗ ὕπερθεν ἐν τετραγώνοις „γράμμασιν ἐπεγέγραπτο ΑΠΕΧΕ ΤΟΥ ΚΥΝΟΣ.

Ὑπῆρχον δὲ πρὸς τῶν θυρῶν καὶ ἕδρανα λίθινα, οἷς εἰώθεσαν ἐπικαθέζεσθαι, ὡς ἐπὶ τῶν Μεγάρων τῆ Νέστορος: (Ὀδυσ: Γ. ς. 406.)

„ . . . Κάτ' ἄρ ἕζετ' ἐπὶ ξεστοῖσι λίθοισιν,
„ Οἵ οἱ ἔσαν προπάροιθε πυλάων ὑψηλάων,
„ Λευκοὶ ἀποσίλβοντες ἁλείφατος. . . .

Οὕτως οὖν καὶ οἱ Πηνελόπης μνηστῆρες: (Ὀδ: Π. ς. 343.)

„ Ἐκ δ' ἦλθον μεγάροιο, παρέκ μέγα τοιχίον αὐλῆς,
„ Αὐτῆ δὲ προπάροιθε θυράων ἑδριόωντο.

Ἐφέπετο δὲ ἡ αὐλὴ, τόπος ὑπαίθριος, φησὶν Ἀθήναιος (ἐν Βιβλ: Ε'.) ἀναπεπταμένος καὶ κενὸς· ἔνθα βωμὸς ἵστατο Ἑρκείου Διὸς, ἐν ᾧ Πηλεὺς ἔθυεν αὐλῆς ἐν χόρτοισιν: (Ἰλ: Λ'. ς. 773.) Προσῆπτο δὲ ἡ αἴθουσα, ἣ κατὰ τὸν Σχολιαστὴν (Ἰλ. Ι'. ς. 468.) λέγεται περίστυλον στοά τις δηλ: πρὸς ἥλιον τετραμμένη· ἥτις αἴθουσα ἐκαλεῖτο παρὰ τὸ αἴθεσθαι. (Ὀδυσ. Σ'. ς. 100.

„ . . . . . Ὄφρα ἵκετ' αὐλὴν
„ Αἰθούσης τε θύρας. . . . . .

Συνίσατο δ' ἐκ λίθων ἀπεξεσμένων· ὅθεν αἰθούσας ξεστὰς ἀεὶ Ὅμηρος ὀνομάζει. Καὶ ταῦθα δὲ ἦν ὁ Πρόδομος, ὅπερ τοῖς ἐπιξενωμένοις ἦν ἔθος τὰ λέχη στρώννυσθαι, ὡς ἰδίαν ἐσὶν ἰδιαίτερον, (Γ'λ. Ω'. ς. 644.) ἔνθ' Ἀχιλεὺς κελεύει: δέμνι' ὑπ' αἰθούσῃ θέμεναι: μεθ' ὃ, ἐν προδόμῳ δόμου αὐτόθι κοιμήσαντο Κῆρυξ, καὶ Πρίαμος.

Ἦκει δ' ἐφεξῆς μετὰ γε τὰ εἰρημένα ὁ Κυριακὸς δόμος, οὗ δὴ τὸ μετώπιον ποικίλοις ἐπίσημον ἦν καλλωπίσμασιν: Ὅθεν ἐνώπια παμφανόωντα Ὅμηρος εἶρηκεν, (Ο'δ. Δ'. ς. 42.) καὶ ἄλλοθι. Ο' δ' Η'σύχιος τὰ κατ' ἀντικρυ τῆ πυλῶνος φαινόμενα μέρη, ἃ καὶ διεκόσμων ἕνεκα τῶν παριόντων. Ἀλλὰ καὶ τἄ ἔσω αὐλαίσματα καὶ αὐτὰ κατεσκέυαζο: ὡς ἐν τῷ Μενελάου ἀνακτόρῳ, (Ο'δ. Δ'. ς. 72.) τὴν ἐκ χαλκῆ, καὶ χρυσῆ, καὶ ἀργύρου, καὶ ἠλέκτρου, καὶ ἐλέφαντος αἴγλην, ὁ Ποιητὴς ἀνακηρύττει. Μέμνηται δὴ τότων καὶ Πλίνιος, ἐν Βιβλ. ΛΓ'. Κεφαλ. Δ'. Et electro auctoritas, Homero teste, qui Menelai regiam, auro, electro, argento, ebore fulgere tradit. Καὶ τῷ Η'λέκτρῳ δὲ ἀξίωμα ἦν, μαρτυρῶντος Ὁμήρου, τῆ τὰ Μενελάου ἀνάκτορα, χρυσῷ τε, καὶ Η'λέκτρῳ, καὶ ἀργύρῳ, καὶ ἐλέφαντι αἰγλήεντα παρασήσαντος. Οὕτω δὲ μεγαλοπρεπῶς ἦν κατηγλαϊσμένα καὶ τὰ Ἀλκινόου δώματα τῆ Φαιάκων Ἄνακτος. (Ο'δυσ. Η'. ς. 86.) Ἐν ταύτῃ δὲ τῇ τῶν σκευῶν τηλικαύτῃ περιουσίᾳ, θαυμαστοὶ πρὸ πάντων ἦσαν οἱ θῶκοι, οἱ παρ' ἑκάτερον τοῖχον διατεταγμένοι, ἐφ' οἷς ἐκαθέζοντο οἱ συνεσιώμενοι, καὶ οἱ ἄλλως παρουσιάζοντες:

„Ἐν δὲ θρόνοι περὶ τοῖχον ἐρηρέδατ' ἔνθα καὶ ἔνθα.
„Ἐς μυχὸν ἐξ ὐδοῖο διαμπερες. . . . . .

Ἦν δὲ τὰ τοιάδε ἕδρανα ποικίλως περικεκοσμημένα, (Ὀδ. Θ'. ς. 65.) τὸν δὲ θρόνον ἀργυρόηλον λέγει, ὡς ἥλοις δηλονότι ἀργυρέοις διεσιγμένον. Ὁ δὲ τῆς Πηνελόπης διαφερόντως χρυσῷ τε καὶ ἐλέφαντι ἐπίσημος ἦν. (Ὀδ. Τ'. ς. 56.) Διεκαλλύνοντο δ' ἔτι οἱ θρόνοι καὶ ὡραίαις ταῖς ἐπιστρώσεσιν· ἃς (Ὀδυσ. Κ'. ς. 353.)

„ . . . Ἔβαλλε θρόνοις ἐνὶ ἥγεα καλὰ
„ Πορφύρεα καθύπερθ' ὑπένερθε δὲ λῖτ' ὑπέβαλλε.

Κελεύει δὲ καὶ Εὐρύκλεια ταῖς ἑαυτῆς παιδίσκαις. (Ὀδυσ. Υ'. ς. 150.)

„ . . . . . Ἐν δὲ θρόνοισ' εὐποιήτοισι τάπητας
„ Βάλλετε πορφυρέους. . . . . .

Ἡ δ' αὐτὴ αὖ φησι, (Ὀδυσ. Ρ'. ς. 32.)

„ Κώεα κατσορνῦσα θρόνοις ἐνὶ δαιδαλέοισι.

Τὸ δὲ δάπεδον, ἤτοι, τὸ τῦ μεγάρου ἔδαφος, λιθόστρωτον ἦν· ὡς δῆλον ἐξ οὗ κραταίπεδον ἔδας, Ὅμηρος ἀποκαλεῖ· (Ὀδυσ: Ψ'. ς. 46.) καὶ λάϊνον ἔδον. (αὐτ: ς. 88. καὶ ἀλλαχῦ.)

Καὶ κίονες δὲ διατεταγμένοι ἦσαν ἐντὸς τῦ δώματος, τὴν δόκωσιν, ἢ ὀροφὴν ὑπανέχοντες. (Ὀδυσ: Τ'. ς. 37.)

„ . . . . Τοῖχοι μεγάρων, καλαί τε μεσόδμαι,
„ Εἰλατίναι τε δοκοὶ, καὶ κίονες ὑψόσ' ἔχοντες,

Ἦν δὲ καὶ τῶν κιόνων μία, ἐν ᾗ τὰ ἔγχη εἰώθεσαν ἀναρτᾶν ἢ προσιζᾶν· (Ὀδυσ: Α'. ς. 124.)

„ Ἔγχος μὲν ἔζησε φέρων πρὸς κίονα μακρὴν,
„ Δρυοδόκης ἔντοσθεν εὐξόου, ἔνθαπερ ἄλλα
„ Ἔγχε' Ὀδυσσῆος ταλασίφρονος ἵσατο πολλά.

Τὸ δὲ τῆ δώματος ἀνωτέρω ὑπερῷον Ὁμήρῳ εἴρηται. Εὐσάθιος: „τὰ μετέωρα τῶν οἰκημάτων, ἃ καλοῦσιν οἱ Λακεδαιμό„νιοι· ὅθεν ὑπερῷον, τὸ, οἷον εἰπεῖν ὑπερύψηλον· Ὅθεν δὴ Κλέ„αρχος παρ' Ἀθηναίῳ (ἐν Βίβλ. Β'.) τὴν Ἑλένην, φησὶν, ἐν τοιού„τοις οἰκήμασι τρεφομένην, δόξαν ἀπενέγκασθαι παρὰ „πολλοῖς, ὡς ἐξ ὠοῦ εἴη γεγεννημένη. Ὅμηρος ἓν πάντη, αὐτόθι πίθησι τὰς γυναῖκας: Οἷον τὴν Πηνελόπην (Ὀδυσ: Ο'. ς. 516.) περὶ ἧς φησὶν,

„ . . . Ἀλλ' ἄπο τῶν, ὑπερωΐῳ ἶσον ὑφαίνει,

Καὶ ἀλαχεῖ ὡσαύτως. Ἐκεῖ δὲ ἡ τῷ Ἄρει συνηυνάσθη ἡ Ἀτυόχη (Ἰλ. Β'. ς. 514.)

„Παρθένος αἰδοίη ὑπερῴϊον εἰσαναβᾶσα:
„Ἄρεϊ κρατερῷ. . . . . .

Καὶ Ἑρμῆς δὲ τῇ Πολυμήλῃ: (Ἰλ. Π'. ς. 184.)

„ . . . . Εἰς ὑπερῷ' ἀναβὰς παρελέξατο λάθρῃ.

Αὐτόθι δ' ἦν ὁ θάλαμος, ἐν ᾧ παρὰ τοῖς παλαιοῖς τῶν Ἑλλήνων αἱ γυναῖκες, καὶ μάλιστα αἱ παρθενικαὶ, διάγειν εἰώθεσαν. Οὕτω καὶ γᾶν (Ὀδυσ. Δ'. ς. 751. καὶ 787.) καὶ ἡ Πηνελόπη θαλαμευομένη ἐτύγχανεν,

„Εἰς ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξίν.

Ἀλλὰ καὶ ἡ Ἑλένη (Ἰλ. Γ'. ς. 423.) ὁμοίως:

„ . . . . Εἰς ὑψόροφον θάλαμον ἴε δῖα γυναικῶν.

Διὰ τοῦτο δὲ καὶ ὁ Θεόκριτος φράζει: Παρθένον ἐκ θαλάμοιο: ὅτι ἐν θαλάμοις ἐγκλείεσθαι αἱ παρθένοι εἰώθεσαν πρὸ τῶν γάμων· ὅπερ ἓν ἐνετέλλετο καὶ Φωκυλίδης: Παρθενικὴν δὲ φύλασσε πο„λυκλείστοις θαλάμοισι. Καὶ ἡ Γυναικωνῖτις δὲ μέρος ἦν διακεχωρισμένον ἐν τῷ δάματι τοῦ μέρους, ἔνθα οἱ ἄρρενες διῆγον· ἐξ οὗ καὶ ἀνδρῶν εἴρηται.

Υ̓πῆρχον τοιγαρῦν καὶ τοῖς ἀνδράσι θάλαμοι, ἐν οἷς ἐκάθευδον ἐυναζόμενοι, ὡς Τηλεμάχῳ (Ὀδυσ: Α΄. ς. 425.)

„ . . . . Ὀῦθι οἱ θάλαμος περικαλλέος αὐλῆς
„ Ὑψηλὸς δέδμητο, παρισκέπτῳ ἐνὶ χώρῳ,
„ Ἔνθ' ἔβη εἰς εὐνήν. . . . . .

Οὕτω καὶν τοῖς Πριάμῳ μεγάροις, θάλαμοι ἦσαν ἐγγὺς ἀλλήλων πεντήκοντα, ἐκ ξεστῦ λίθῳ δεδομημένοι, ἔνθα οἱ ἐκείνῳ υἱοὶ ταῖς ἀλόχοις αὐτῶν συνευνάζοντο. Καὶ θάλαμοι δὲ προσέτι ἑτέρωθεν ἀπέναντι, ἄλλοι, ἔνθα οἱ γαμβροὶ σὺν ταῖς αὐτῦ θυγατράσιν. (Γλ. Ζ΄. ς. 244.)

Ὀλως δὲ καὶ πλεῖσοι θάλαμοι ὑπῆρχον, ὡς ταμεῖα ἐν οἷς παντοῖα τινὰ ἀπεταμιεύετο. ὅθεν ἐπὶ τῦ δώματος Ὀδυσσέως, ἕξατος καταλέλεκται (Ὀδ. Φ΄. ς. 9.) ὁ θάλαμος, ἐν ᾧ τὰ ὅπλα ἀπέκειτο, ἅπερ ἐξηνέγκατο Μελάνθιος: Καθάπερ δὴ καὶν τῷ θαλάμῳ τῷ Ἕκτορος. (Γλ. Ζ΄. ς. 321.) Ἀλλ' ἐν τῷ τῦ Ὀδυσσεως θαλάμῳ (Ὀδ Β΄. ς. 338.) παρὰ τὰ ὅπλα, καὶ χρυσὸς ἀποκείμενος ἐτηρεῖτο, καὶ ἄργυρος, καὶ ἐσθὴς, καὶ οἶνος, καὶ ἔλαιον. Προειστήκει δὲ καὶ οἷα φρερὸς ταμιῦχος θεράπαινα, ὡς ἡ παρὰ τῷ Ὀδυσσεῖ Ἐυρύκλεια. Αἱ δέτοι θύρᾳ συνεζυγῦντο κλείθρῳ διὰ ἱμάντος: (Ὀδυσ: Α΄. ς. 444.) Ἠ δ' Ἀμφίπολος τὴν ἐν τῷ θαλάμῳ τῷ Τηλεμάχῳ θύραν ἐπέρησε κορώνῃ ἀργυρέῃ.

„ . . . . Ἐπὶ δὲ κληῖδ' ἐτάνυσσεν ἱμάντι.

Καὶ Ἀθηνᾶ δὲ, εἰς τὸν Πηνελόπης ᾐσῆλθε θάλαμον: (Ὀδυσ. Δ΄ ς. 802.) παρὰ κληῖδος ἱμάντα. Ὀμοίως δὲ, καὶ τὰς τῦ θαλάμῳ θύρας διανοίξασα Πηνελόπη. (Ὀδυσ. Φ΄. ς. 46.)

„ . . . . Ἱμάντα θοῶς ἀπέλυσε κορώνης,
„ Ἐν δὲ κληῖδ' ἧκε, θυρέων δ' ἀνέκοπτεν ὀχῆας.

Τὰ δ' ἄλλα αὐτοῖς, τῶν τῆ οἴκε στεγασμάτων τὸ χῆμα ἐπίπεδον ἦν, ἦκισα κορυφόμενον, ὥστε καὶ καθεύδειν αὐτὲς πολλάκις ἐπὶ τῆ τέγες, ὡς δῆλον ἐπὶ τῆ Ἑλπήνορος, ὃς ὑψόθεν **κατάντικρυ τέγεος πέσεν.** (Ὀδ: Λ'. ς. 64.) Ἔνθα Εὐσάθιος: Πίπτει δὲ καντικρὺ τέ-„γεος ὁ Ἑλπήνωρ ἐν ὑπαίθρῳ ἀνακείμενος, διὰ τὸ τὰ δώ-„ματα μὴ κεραμωτά, ἀλλ' ὁποῖα καὶ νῦν ὡς εἰκὸς μυ-„ριαχῆ· ὧν ταῖς δοκοῖς γῆ ἐπαμᾶται· ὡς ἐντεῦθεν τὴν „στέγην χρήσιμον εἶναι καὶ πρὸς τὸ ἐγκοιμᾶσθαι. Τετὶ δὲ τὸ ἔθος καὶ παρ' Ἑβραίοις ἴσμεν κρατῆσαν, ἐπὶ τῶν δωμάτων εἰωθόσι διάγειν· ὥστε καὶ ἐκ θείας νομοθεσίας αὐτοῖς ἐντετάλθαι, στεφάνην ποιεῖν τῇ οἰκίᾳ, ἣν ἂν ἐκδομήσωσιν εἰς ἀποφυγὴν τῆ κινδύνε (Δευτερονομ: Κεφ: ΚΒ'. ἐδαφ: 8.) Σύνηθες δέ πε καὶ καθ' ἡμᾶς τὸ τοιῆτον, ἐν πολλοῖς κλίμασιν Ἀνατολικοῖς καὶ Νοτιωτέροις. Καθάπερ ἦν ποτε καὶ παρὰ τοῖς Ῥωμαίοις, οὓς περ ἐπιπέδες τὰς τῶν οἰκημάτων στέγας κατασκευάζειν, δῆλον ἐκ τῆ Βιτρεβίε (Βιβλ: Β'.) καὶ ἐξ ἄλλων συγγραφέων: καθ' ἃς ἀπὸ τῶν στεγασμάτων πολλάκις θεωροὶ καθίσαντο, ἔτι καὶ λαμπάδας προσεπανάπτοντες.

ΚΕΦΑΛ. ΙΒ'

Περὶ τῆ ξενοδοχίας δικαίε.

Τὸ κεκτῆσθαι οἶκον, καὶ Θεὸν οἰκεῖον ἑρέσιον, ἄγαν ἐπαινετὸν ἦν παῤ Ἕλλησιν· ὥστε καὶ πρὸς ἀνδρὸς ἀγαθῆ εὐφημίαν φέρειν τὸ τοιῆτο νομίζεσθαι. Ὅθεν (Ἰλιάδ: Ι'. ς. 63.) **ἄφρήτωρ, ἀθέμιστος, ἀνέ-στιος.** . . . . εἶναι προσείρηται, ὃς ἂν ἐμφυλίε πολέμε ἐφίσιτο. Καὶ παρὰ τῷ Ἀθηναίῳ δὲ, ὡς εἰκὸς, οἱ Κυνικοὶ ἐπιλοιδορῆνται, **ὡς ἀκολόγοι,**

καὶ βόροι, καὶ ἄνοικοι, καὶ ἀνέστιοι. Καὶ ἦν ἄρα μεγάλη τις ἡ φιλανθρωπία ἐκείνων, ὅσοι τὸς ἐξ ἐπηρείας δαίμονος, οἵκοθε, καὶ ἧς εἶχον ἄλλης περιουσίας ἐκπεπτωκότας, ὑπῆρχον ἐπισκεπτόμενοι· οὓς καὶ οἱ εὖ πάσχοντες, ὡς Θεὸς ἐνόμιζον σφῶν αὐτῶν ἐπιμελουμένους, καὶ ἐφ' ὧν μὴ δικαίως πεπείρανται, ἀντιλήπτορας. Οὕτω γὰρ καὶ Ὀδυσσεὺς πένης τε καὶ πρόικτης παταχθεὶς ὑπὸ Ἀντινόου, τὰς τῶν πτωχῶν Εἰρινοῦς κατ' αὐτὸ ἐπαρᾶται· καὶ τῶν λοιπῶν ἔτι μνησήρων τὸ γεγονὸς ἐπινεμεσώντων. (Ὀδ: Ρ'. ς. 462. κξ:) Διαψέγεται δὲ καὶ Ἡρακλῆς ὡσαύτως, ὁ τὸν ξένον Ἴφιτον ἀποκτείνας, καὶ Θεῶν ὄπιν μὴ ἀλεγήσας, μηδὲ τὴν τράπεζαν αἰδεσθείς, τὴν δή οἱ παρέθηκεν. (Ὀδ: Φ'. ς. 27. καὶ 37.) Ὁ δ' Εὔμαιος ἀθέμιστον ἡγεῖται (Ὀδ: Ξ'. ς. 56.) τὸ ξένον ἀθερίζειν.

„ . . Οὔ μοι θέμις ἐστὶ, δὸ' εἰ καπίων σέθεν ἔλθοι,
„ Ξεῖνον ἀτιμήσας· πρὸς γὰρ Διός εἰσιν ἅπαντες,
„ Ξεῖνοί τε, πτωχοί τε . . . . . .

Κήδεσθαι γὰρ μάλιστα πτωχῶν ἐνόμιζον τὸν Δῖα, τὸν διὰ τᾶτο καὶ Ξείνιον παρ' Ἕλλησιν ἐξυμνέμενον. (Ὀδυσ: Ι'. ς. 270.)

„ Ζεὺς δ' ἐπιτιμήτωρ ἱκετάων τε ξείνων τε,
„ Ξείνιος, ὃς ξείνοισιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.

Οὕτω δὲ καὶ Οὐϊργίλιος: (Αἰνειάδ: Α'. ς. 735.)
Jupiter, hospitibus nam te dare jura loquuntur.
„ (Ζεῦ! Ξείνοις καὶ γάρ σε θεμιστεύειν φατίσαντο.)

Ἀναπτύσσει δὲ τᾶτο Σέρβιος τῷ τᾶ Λυκάωνος παραδείγματι: ὃς ἐπειδὴ τὸς παρ' αὐτῷ ἐπιξενωμένος ἐτύγχανεν ἀποκτείνων, μετὰ τὴν Ζηνὸς ὑποδοχὴν, ὥπερ Ἀνδρόμεα κρέα παρέθετο, εἰς λύκον μεταβληθείς, ὑπέδειξε, μὴ θέμις εἶναι τὰ τῆς ξενίας ἐπαθετεῖν δίκαια.

Ἔνθεντοι καὶ ὁ Βασιλεὺς Αἰγύπτε, τὸν εἰς ποινὴν ἀπαιτέμενον ξένον, ἀνένευσεν ἐκπαραδῆναι: Διὸς γὰρ ἀπίζετο μῆνιν Ξεινίε (Ὀδυσ: Ξ. ς. 283. 284.) Καθάπερ ἦν καὶ Ἄδμητος ὁ Μολοσσῶν ἄναξ Θεμιστοκλῆν Λακεδαιμονίοις ἀπηνήνατο ἀποδῆναι, ἐδ' ἐπὶ Ὁμήροις, ἢ μαρτυρεῖ Πλέταρχος.

Ἀνάπαλιν δὲ οἱ τῆς ξενίας τυχόντες, εἴτι κατὰ τῶν ἐπιξενωσάντων πλημμελήσειαν, τῆς Διὸς μήνιδος ἐπιπειραθήσεσθαι ἐπιξέυοντο: καθ' ὃ καὶ Μενέλαος (Ἰλ: Γ. ς. 354.) τὸν Ζῆνα καθικετεύων, ὅπως ἂν ὑπὸ χερσὶ ταῖς ἰδίαις αὐτῆ Πάριν δαμάσειε, προσίθησιν:

„ Ὄφρα τις ἐρέῃσι καὶ ὀψιγόνων ἀνθρώπων,
„ Ξεινοδόκον κακὰ ἔξαι, ὅ κεν φιλότητα παράχῃ.

Τοῖς μὲν οὖν τῶν Ἑλλήνων ἀρχαίοις, καθὰ καὶ τοῖς τῶν Ῥωμαίων, καταλύματα δημόσια ἐχ ὑπῆρχεν, οἷα τὰ παρ' ἡμῖν σήμερον· διὸ ἐκδημοῦντες, παρὰ τὰς τῶν ἐυνοούντων οἰκίας ὑποδοχῆς ἐτύγχανον, παρ' οἷς ἐνεχώρει τὸ τῆς ξενίας δικαίωμα, ὡς ἐν ἀναρίθμοις ἐπιμαρτυρήσεσι συγγραφέων διαπιστεῦται. Τῷ δ' ὄντι οἰκειότης ἔκπαλαί τις ἀπὸ τῶν προγενεστέρων διὰ τῆς ἐν τῷ βίῳ κοινωνικῆς ἑνώσεως διεσώζετο: ὡς ἰδεῖν πάρεσι μέσον Γλαύκε τε καὶ Διομήδες, οἳ τὰ ἀλλήλων ὀνόματα ἐπακέσαντες, καὶ τὸ ξενίας δικαίωμα, τὸ ἐν τοῖς σφῶν αὐτῶν προγενεστέροις μεσιτεῦον ἐπενθυμηθέντες, τῦ μαχέσθαι ἀπέχοντο. (Ἰλ. Ζ'. ς. 215. κξ. ς. 224.)

„ Ἦρά μοι ξεῖνος πατρώϊος ἐσσὶ παλαιὸς.
. . . . . .
„ Τῷ νῦν σοι μὲν ἐγὼ ξεῖνος φίλος Ἄργεϊ μέσσῳ
„ Εἰμὶ. σὺ δ' ἐν Λυκίῃ. . . . . .

Οὕτω δὲ καὶ (Ὀδυσ. Α'.. ς. 187.) Ἀθήνη τὸν υἱὸν Μέντε παριστῶσα τῷ Τηλεμάχῳ, ἔφη:

„ Ξεῖνοι δ' ἀλλήλων πατρώϊοι ἐυχόμεθ' εἶναι.

Καὶ ὄγε τῷ Νέστορος, καὶ Τηλέμαχος, σφίσιν αὐτοῖς ξεῖνοι προσείρηνται, διὰ τὴν τῶν τοκέων πρὸς ἀλλήλους φιλίωσιν. (Ὀδυσ. Ο'. ς. 196.)

„ . . . . Ξεῖνοι δὲ διαμπερὲς ἐυχόμεθ' εἶναι.
„ Ἐκ πατέρων φιλότητος. . . . . .

Δυὸ καὶ κύβε φέρειν ἑκατέρωθεν εἰώθεσαν τὸ ἡμίτομον, ὃ προσενεγκών τις, παραυτίκα ἂν τῷ ξένῳ ἐπιγνωσθείη, καὶ ὑποδεχθείη τῷ λόγῳ τῆς προλαβούσης οἰκειότητος. Σύμβολον τοῦτο Ἕλληνες ἀπεκάλεσν, περὶ ἧς κομψῶς ἐπὶ τῷ Συμποσίῳ διαλέγεται Πλάτων. Ὁμοίως δὲ καὶ ὁ Πλαῦτος, ἐν τῷ Παινύλῳ. In Paenulo.

A. Ego ſum ipſius quem tu quaeris
Antidamae gnatum me eſſe.
P. Si ita eſt, jam teſſeram confer ſi vis
Hoſpitalem: A. Eccam attuli.
A. Agedum hac oſtende: eſt par probe.

Α. Ἐγωγ' ἐμὶ, τὸν, ὃν ζητεῖς Ἀντιδάμου γόνον με εἶναι.
Π. Εἰ ἔτως ἔχει, παράβαλλε δὴ τὸ σύμβολον ἢν ἐθέλοις τὸ ξενικόν.
Α. Ἠνὶ πρασήνεγκα.
Π. Φέρε ὦδ' ἐπίδειξον· ἔστιν ἀκριβῶς ἴσον.

Οὐ μόνον δὲ ἰδίᾳ τοῖς κατὰ μέρος ἐν ἀνθρώποις τὸ τῆς ξενίας ἀνῆκε δικαίωμα, ἀλλὰ καὶ πόλεις πρὸς ἀλλήλας, καὶ ἔθνη, καὶ δυναστεῖαι τοῦτ' εἶχον, ὃ προξενίαν ὠνόμαζον. Οὕτω Νικίας μὲν, πρόξενος ἦν Λακεδαιμονίων, παρὰ Πλειστάρχῳ· Καλλίας δὲ, παρα

„τῷ Ξενοφῶντι, (ἐν ϛ'. τῶν Ἑλληνικ.) ἤδη ἀπὸ προγόνων: τὴν μὲν „προξενίαν ὑμῶν, ἐκ ἐγὼ μόνος, ἀλλὰ καὶ πατρὸς πατὴρ, „πατρῴαν ἔχων, παρεδίδε τῷ γένει. Καὶ διὰ τᾶτο δὲ καὶ τὰ σύμβολα διετηρεῖτο, ὡς Λυσίας μαρτυρεῖ περὶ τῶν Ἀριστοφάνες χρη„μάτων: ἐδεήθη με προσελθεῖν αὐτῷ, λέγων: ὅτι ἔλαβε „σύμβολον παρὰ Βασιλέως τᾶ μεγάλε. Οὕτω πως ἡ προξενία μέσον τῶν δυναστευόντων, οἱονεὶ σπονδή τις καὶ συμμαχία ὑπῆρχεν, ἐκ συνθήκης συνισαμένη. Ἀλυάττης οὖν, ὁ τῶν Λυδῶν Ἄναξ, συνέθετο Μυ„σοῖς: ἐπ' ᾧτε ξένες ἀλλήλοις εἶναι καὶ ξυμμάχες, ἣ μαρτυρεῖ Ἡρόδοτος ἐν Κλειοῖ. Καὶ Λίβιος δὲ γράφει (ἐν τῷ Α'. Βιβλ.) Αἰνείαν συνάμα τῷ Λατίνῳ συνθήκην τοιάνδε συνθέσθαι: Ibi apud Penatés Deos, domesticum publico adjunxisse foedus, filiâ Aeneae in matrimonium datâ. (Ἐκεῖ (φησὶ) παρὰ „τοῖς ἐφεσίοις θεοῖς, σπονδὴν οἰκιακὴν πρὸς τῇ δημοτελεῖ „συνῆψε, τὴν θυγατέρα εἰς γάμε κοινωνίαν τῷ Αἰνείᾳ „δές.)

ΚΕΦΑΛ. ΙΓ'.

Περὶ τᾶ τύπε τῆς Ξενοδοχίας,

Προσερχομένων τῶν ξένων, τὸ μὲν πρῶτον ἀντελαμβάνοντο δεξιᾶς. Οὕτως οἱ Πύλιοι προσεδέξαντο Τηλέμαχον, καὶ Ἀθηνᾶν: (Ὀδυσ. Γ'. ϛ. 34.)

„ . . . . Ὡς οὖν ξένης ἶδον, ἀθρόοι ἦλθον ἅπαντες,
„Χερσίν τ' ἠσπάζοντο. . . . . .

Ὡσάυτως δὲ καὶ οἱ Αὐτολύκε υἱᾶς τὸν Ὀδυσσέα: (Ὀδυσ. Τ'. ϛ. 415.)

„Χερσίν τ' ἠσπάζοντο, ἔπεσσί τε μειλιχίοισι.

Καὶ Φιλόστρατος δὲ (ἐν Ζ'. τῶν εἰς τὸν Ἀπολλων: βίον') τὸν αὐτον τρόπον ὑπὸ τῶν Ἰνδῶν ὑποδεδέχθαι καθιστορεῖ τὸν Ἀπολλώνιον. Προ-„σιόντα δ' αὐτὸν Ἀπολλώνιον, οἱ μὲν ἄλλοι σοφοὶ προσή-„γοντο ἀσπαζόμενοι ταῖς χερσί. Καὶ ὁ Πάλλας δ' ὕυτως Αἰ-νείαν (Αἰνειάδ. Η'. ς. 124.)

Excepitque manu, dextramque amplexus inhaesit.

„(Χειρὶ δὲ δέκτο ἓ, φῦ δ' ἂρ δεξιτερῇ περιβάλλων.)

Ὑπέργει γὰρ εἰς τᾶτο ἡ δεξιὰ μάλιστα, ὡς Ὅμηρος αὐτὸς ἐπισημειᾶ-ται: (Ἰλ. Κ'. ς. 542.)

„ Δεξιῇ ἠσπάζοντο, ἔπεσσί τε μειλιχίοισι.

Majorum (φησὶ Σέρβιος) haec erat salutatio; cujus rei τὸ αἴτιον (id est causam) Varro, Callimachum sequutus, expositit asserens: omnem eorum honorem dexterarum constitisse virtute, ob quam hac se venerabantur corporis „parte. Τῶν προγενεστέρων ὁ κατὰ τὴν πρόσρησιν ἀσπασμὸς „ἔτος ἦν· οὗ τὸν λόγον Οὐάρρων ἑπόμενος Καλλιμάχῳ, ἐξέ-„θετο: ἅπασαν λέγων τὴν τιμὴν ἐν ἐκείνοις τῇ δυνάμει τῆς „δεξιᾶς χειρὸς συνεστηκέναι, δι' ἣν τῷδε τῷ τε σώματος „μέρει διεσεβάζοντο.) Ὅλως γὰρ ὁσάκις ἐντυγχάνοντες ὑπῆρχον ἀλλήλοις, τῆς δεξιᾶς ἔχαιρον ἀντιλαμβανόμενοι. Οἷον δὴ τῷ Μενελάῳ ἐντυξόμενος Ἀγαμέμνων, (Ἰλ. Η'. ς. 108.)

„ Δεξιτερῆς ἕλε χειρὸς, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε.

Καὶ εἰς τᾶτο δ' ἀνήκει τὸ ἔπος τόδε, τὸ τοσάκις ἐπαναληφθὲν:

„Ἕν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν.

Οὐ δὴ φιλικὰν εἶναι, φησὶν Εὐσάθιος, ἢ σημαίνειν τὸ δεξιώσασθαι·

Τὸν αὐτὸν δὲ τρόπον καὶ Ξενοφὼν (ἐν τῷ Δ'. τῶν Ἑλληνικ.) περὶ τοῦ Ἀγησιλάου λέγων φησὶν, ὅτι ἀνὸσας ταῦτα ὁ Ἀγησίλαος, ἔλαβε τῆς χειρὸς αὐτοῦ, καὶ εἶπε κτ. Ἐπὶ δὲ τοῦ ἀσπασμοῦ, φωνὴ ἦν ἡ συνήθης τὸ: χαῖρε: ὡς, (Ὀδυ: Θ'. ς. 408.) Ἀλκίνοος δεξιόμενος Ὀδυσσέα, εἶπε:

„ Χαῖρε, πάτερ ὦ ξεῖνε. . . . . .

Ὅνπερ Ὀδυσσεὺς ἀπαμειβόμενος προσέφη: (αὐτ. ς. 413.)

„ Καὶ σὺ, φίλος, μάλα χαῖρε. . . . . .

Ὡσαύτως καὶ Κροῖσος προσφθέγγεται Κῦρον: χαῖρε ὦ Δέσποτα: πρὸς ὃν ἐκεῖνος: Καὶ σύγε ὦ Κροῖσε. (παρὰ τῷ Ξενοφ: Παιδ Ζ.)

Προσετίθετο τὰ πολλὰ, καὶ τὰ διὰ χειλέων φιλήματα· οἷον δὴ Χείρων, προσιόντων τῶν Ἀργοναυτῶν, (παρὰ τῷ Ὀρφεῖ.)

„ Ἀσπασίως ἀνόρουσε, κύσεν δ' ἄρα φῶτα ἕκαστον.

Οὕτως Ἀπελλῆϊος (ἐν τῇ Μιλησίᾳ Α'.) Amplexusque ac comiter deoſculatus, mi Luci, ait, ſat pol diu eſt, quod „ interviſimus te. (Περιβαλών τε, καὶ φιλοφρόνως κατα„φιλήσας, ὦ Λέκιος ἐμός, ἔφη, μακρὸν ἐστὶ (νὴ τὸν Πολυ„δεύκη,) ἐξ οὗ σεοῦ ἐωράκαμεν.) Ἔθος δὲ ἦν, διάφορα τοῦ σώματος μέρη καταφιλεῖν: μάλιστα δὲ, κεφαλὴν, ὄμματα, ὦμους, χεῖρας· ὡς τοῦ Τηλεμάχου ἐπανιόντος, (Ὀδυσ. Ρ'. ς. 34.)

„ Δμωαὶ Ὀδυσσῆος ταλασίφρονος ἠγερέθοντο,
„ Καὶ κύνεον ἀγαπαζόμεναι κεφαλήν τε καὶ ὤμους.

Καὶ ἡ Πηνελόπεια δὲ (αὐτ. ς. 38.)

„ Ἀμφίγε παιδὶ φίλῳ βάλε πήχεε δακρύσασα.
„ Κύσσε δέ μιν κεφαλήν τε καὶ ἀμφω φάεα καλά.

Ὡσάυτως δὲ καὶ τὸν Ὀδυσσέα οἱ δμῶες ὡς εἶδον· (Ὀδ. Φ'. ς. 223.)

„Κλαῖον ἄρ', ἀμφ' αὐτόν γε δαΐφρονα χεῖρα βάλον τε,
„Καὶ κύνεον ἀγαπαζόμενοι κεφαλήν τε καὶ ὤμους.

Ἀμοιβαδὸν δὲ (αὐτ. ς. 225.)

„Ὡς δ' αὖτως Ὀδυσσεὺς κεφαλὰς καὶ χεῖρας ἔκυσσεν.

Τὸς δὲ δὴ ξένες, λαβόντες τῶν χειρῶν εἰσῆγον τε, καὶ παρὰ χρῆμα καθέζεσθαι ἄνωγον, ὥσπερ ὁ Νέςως τὸν Πάτροκλον. (Ἰλ: Λ'. ς. 645.) θύρηςιν ἐφιςάμενον

„. . . Ἰδὼν ὁ γεραιὸς ἀπὸ θρόνε ἦρτο φαεινῦ,
„Ἑ'ς δ' ἄγε χειρὸς ἑλὼν, κατὰ δ' ἑδριάασθαι ἄνωγε.

Καὶ Ἀχιλλεὺς δὲ τὸς ἐξ Ἀγαμέμνονος διαπρεσβέυοντας (Ἰλ: Ι'. ς. 199.)

„. . . Φωνήσας προτέρω ἄγεν . . .
„Εἶσε δ' ἐν κλισμοῖσι, τάπησί τε πορφυρέοισιν.

Ἐκέλευσε δ' αὐτοῖς καὶ τὸν Μενοιτίε υἱὸν, μείζονα δὴ κρατῆρα καθιςάντα, ζωρότερον ἐπικεράσασθαι δέπας ἑντύνοντα ἑκάςῳ. Περὶ „οὗ Ἀθήναιος, ἐν καταρχῇ τῦ ς'. Βιβλίε. Δοκεῖ ἔχειν τι (φησὶ) „πρὸς φιλίαν ὁ οἶνος ἑλκυςικὸν, παραθερμαίνων τὴν ψυ„χὴν, ἢ διαχέων. Διό περ ἐδὲ πρότερον ἠρώτων, οἵτινες „εἶεν, ἀλλ' ὕςερον· ὡς τὴν ξενίαν τιμῶντες, ἀλλ' ἐ τὸς „ἐν μέρει, καὶ καθ' ἕκαςον ἡμῶν.

Εἰςελθόντας τοίνυν τὸς ξένος, λέειν τε εἰώθεσαν καὶ χρίειν. Οὕτω Τηλέμαχον, καὶ τὸν τῦ Νέςορος παρὰ τῷ Μενελάῳ, (Ὀδυς. Δ'. ς. 49.)

„. . . . . Δμωαὶ λῦσαν, καὶ χρῖσαν ἐλαίῳ.

Καὶ Ὀδυσσεὺς δὲ ὑπὸ Πειραίῳ εἰσενεχθεὶς εἰς τὸν δόμον, (Ὀδ: Ρ'. ς. 89.) πρὸς τῶν δμώων λέλεταί τε καὶ νέχριται· καὶ χλαίνας δὲ, καὶ χιτῶνας ἔχε περιβαλέσθαι. Καὶ τάυτῃ μὲν παρεσκευάζοντο, καθάπερ ἀνωτέρω εἴρηται, ἐπὶ δαῖτα· ἀλλὰ καὶ νυκτὸς ἐυνηθησομένοις, νίψασθαι προσετίθετο μάλισα πόδας, ὅπερ τῷ Ὀδυσσεῖ ἐπιδιακονήσασθαι ὑπὸ Πηνελόπης Εὐρύκλεια προσετάγη· (Ὀδυσ: Τ'. ς. 358.) τῆς καὶ κατ' ὄρθρον, λέειν αὐτὸν ἄυθις καὶ χρίειν ταῖς δμωΐσιν ἐπικελευσάσης. Τὸ δ' αὐτὸ πρὸς τὲς ἐπιξενεμένες τελευταῖον εἰώθει τελεῖσθαι, καὶ μέλλοντας ἀπαίρειν. Οὕτω γὰρ Τηλέμαχος, τῇ παρ' αὐτῷ ὑπὸ τῷ Μέντε μορφώματι ἐπιξενωθείσῃ Παλλάδι (Ὀδυσ: Α'. ς. 309.) ἤδη ἀπελευσομένῃ:

„ Ἀλλ' ἄγε δὴ ἐπίμεινον ἐπειγόμενός περ ὁδοῖο,
„ Ὄφρα λοεσσάμενός τε, τεταρπόμενός τε φίλον κῆρ,
„ Δῶρον ἔχων ἐπι νῆα νίῃς . . . . . .

Οὕτω καὶ Καλυψὼ: (Ὀδυσ: Ε'. ς. 264.) ἀπιόντα τὸν Ὀδυσσέα: ἐκπέμπει τῆς ἰδίας ἑαυτῆς Νήσε,

„ Εἵματά τ' ἀμφιέσασα θυώδεα, καὶ λέσασα.

Ἔνθα σημειωτέον, ὅτι τῶν γυναικῶν ἦν, καὶ τὰ πλεῖσα παρθενικῶν, ἡ περὶ ταῦτα διακονία, ἐ μικρὸν τόδε τῆς τῶν παλαιῶν σωφροσύνης μαρτύριον, ἥπερ Ἀθήναιος (ἐν τῷ Α'. Βιβλ:) παρετηρήσατο, ἀρχαιότατον εἶναι λέγων τὸ ἔθος, καὶ παραδείγματι διασαφῶν τῷ τῶν Κοκάλε θυγατέρων, αἳ Μίνωα εἰς Σικελίαν ἀφικόμενον ἔλεσαν· ἀλλ' ἀντίγε θερμῇ πίσσαν ἐμβαλέσαι ἀπώλεσαν, ὡς Ζηνόβιος μαρτυρεῖ.

Ἀπιόντων δὲ τῶν ξένων, καὶ σπονδὰς εἰώθεσαν σπένδεσθαι, ἐπευχομένων ἀμοιβαδὸν τὰ βέλτισα, ὅπερ ἐπὶ Ὀδυσσέως ἰδεῖν ἐστὶν ἀπὸ Φαιάκων ἀναχωρέντος, (Ὀδ: Ν'. ς. 50.) καὶ ἐπὶ Τηλεμάχε, ἀπὸ τῶν Μενελάε μεγάρων. (Ὀδ: Ο'. ς. 148.) Τοῖς αὐτοῖς δὲ, καὶ τῶν εἰς βρῶσιν τε καὶ πόσιν ἀναγκαίων, καὶ τῶν εἰς τὴν ὁδὸν ἄλλων χρει-

ωδῶν ἀφθόνως ἐπεφορεῖτο, καὶ δῶρα δέ τινα, ξένια ἐπεχαρίζετο, περὶ ὧν ἐν τῷ πρὸ τέτε Βιβλίῳ εἴρηται· ὡς ἐντεῦθεν πολὺν συνειλοχέναι τὸν ξενιτευσαμένων πλοῦτον, ἐπαγυρτάζοντας, ὡς Ὀδυσσεὺς ἐν τέτῳ φαίνεται ἐναβρυνόμενος (Ὀδ: Τ. ς. 284.) Διὸ Αἰλιανὸς (Βιβλ: ΙΕ. Κεφ: Κ.) φησὶν αὐτὸν, καθάπερ καὶ τὸν Μενέλαον, πρὸς ὁμοιότητα τῶν ἐμπορευομένων Φοινίκων, ἐπὶ χώρας πολλὰς ἀλητεῦσαι, ἀδρὰν περιουσίαν συλλέξαντας.

ΚΕΦΑΛ. ΙΔ'.

Περὶ Καθικετεύσεως.

Τοῖς γ' ἐπιξενωμένοις ἐκ γειτόνων εἰσὶν οἱ καθικετεύοντες, οἱ καὶ τῇ αὐτῇ περισημαινόμενοι ἐπικλήσει, ὡς φανερὸν ἐξ ἐν τῷ Ὀδυσσέως (Ὀδ: Ι'. ς. 269.) τὸ ξένον ἑαυτὸν λέγοντος ἥκειν τῷ Πολυφήμῳ, καὶ ἱκέτην. Παραπλησίας γὰρ ἀπολαύειν ἑκατέρας τῆς θεραπείας ἦν ὅσιον, εἴπερ ἄρα ἐπιζεύετο ἐπίσης.

„ Ζεὺς ἐπιτιμήτωρ ἱκετάων τε ξείνωντε.

Ὃ καὶ Ἡσίοδος ἔγραψεν ἐν τοῖς ἔργοις:

„ Ἴσον δ' ὅς θ' ἱκέτην, ὅς τε ξεῖνον, καὶ ὃν ἔρξει.

Διόπερ Ὀδυσσεὺς ὑπὸ τῶν ἐξαγαγόντων αὐτὸν Φαιάκων ἠδικῆθαι οἰόμενος, τὴν ἐκ Διὸς αὐτοῖς ἐκδίκησιν ἐπαρᾶται: (Ὀδ. Ν'. ς. 213.)

„ Ζεὺς σφέας τίσαιτο ἱκετήσιος. . . . . .

Ἀναγκαῖον δ' ἡγοῦντο τὰς τῶν ἱκετευόντων εἰσακοὴν δεήσεις, ὡς ὁ Φοῖνιξ πλατύτερον διεξέρχεται πρὸς Ἀχιλέα ἀποτεινόμενος: (Ἰλ. Ι'. ς. 497.

κξ:) Ἔνθα αἱ Λιταὶ, Ζηνὸς εἶναι λέγονται θυγατέρες, ἐς ἄτην αὐτὸν παραθήγεσαι κατὰ τῶν εἰσακέειν αὐτῶν παραιτεμένων. Διὸ ἐν ταῖς ἱκετείαις εἰώθεσαν ἐπικαλεῖσθαι αὐτὰς ὀνόμασι, ὡς παρὰ τῷ Ὀρφεῖ ἐν τοῖς Ἀργοναυτικοῖς. Οὐ γὰρ ἄτιμοι ἱκεσίη Ζηνὸς κοῦραι Λιταί. Πρὸς αὐτῆ δὲ Διὸς τὰ πλεῖστα ἦσαν καθικετεύοντες. (Ὀδυσ: Β'. ς. 68·)

„ Λίσσομαι ἠμὲν Ζηνὸς ὀλυμπίου, ἠδὲ Θέμιστος.

Καὶν τῷ ὕμνῳ τῷ εἰς τὴν Ἀφρόδιτην ς. 151.

„ Ἀλλά σε πρὸς Ζηνὸς γουνάζομαι . . . .

Καὶ Ἀπολλών: ἐν Ἀργοναυτικ: Ἱκεσίη πρὸς Ζηνός . . . Λεκιανὸς δὲ ἁπλῶς: ἀλλὰ πρὸς ἱκεσίη ἐύσαθέμε. Ἐνίοτε δὲ προσετίθεντο παρασυνάπτοντες καὶ τὰ φίλτατα, οἷον γονεῖς, συζύγες, τέκνα, κτήσεις, ἅπερ ἅμα συνείλοχε Νέστωρ: (Ἰλ: Ο'. ς. 665.)

„ Τῶν ὑπὲρ ἐνθάδ' ἐγὼ γουνάζομαι, ἃ παρεόντων,

Οὕτω καὶ Οὐϊργίλιος Αἰνειαδ: Βιβλ: Ι'. 524.)

Per patrios manes, per spem surgentis Iüli
Te precor . . . . . .

„ (Πρὸς πατρίων νεκύων, πρὸς τ' ἐλπωρῆς γε Ἰόλου
„ Ἄρτι ἀνισαμένοιο, σὲ λίσσομαι, ἔκ θ' ἱκετεύω.)

Καὶ παθεξῆς: (αὐτ. ς. 597.)

Per te, per qui talem genuere parentes.

„ (Πρὸς σέο, πρὸς τοιόνδε σε τεξαμένων γενετήρων.)

Οὕτω καὶ Σαλλέστιος (ἐν τῷ Ἰουγυρθ: πολέμ:)

Oro vos, per liberos atque parentes veſtros:

„ (Δέομαι ὑμῶν, πρός τε τέκνων, καὶ τοκέων ὑμετέρων.)

Ἀλλὰ καὶ πρὸς τῆς κεφαλῆς ἔτι, καὶ τῶν γονάτων, καὶ τῶν ψυχῶν ἐξελιπάρουν ἀντιβολοῦντες: (Ὀδ: Ο'. ς. 261.)

„ Λίσσομ' ὑπὲρ θυέων, καὶ δαίμονος, αὐτὰρ ἔπειτα
„ Σῆς τ' αὐτῆς κεφαλῆς, καὶ ἑταίρων, οἵ τοι ἔπονται.

Καὶ Γλ: Χ'. ς. 338.)

„ Λίσσομ' ὑπὲρ ψυχῆς καὶ γένων, σῶν τε τοκήων.

Ἀλλ' ἔστι μοναδικὸν τὸ τῆς Ἑκάβης Ἕκτορα τὸν υἱὸν ἀντιβολούσης τῇ τῆς μαζῆς ἐπενδείξει (Γλ: Χ'. ς. 83.)

„ . . . Εἴποτέ τοι λαθικήδεα μαζὸν ἀνέχον.

Πρὸς δὴ τούτοις εἰώθεσαν ἱκετεύοντες καὶ τὰς χεῖρας ὑπτίας προτείνειν. Οἷον Ἀχιλλεύς (Γλ: Λ'. ς. 351.)

„ Πολλὰ . . . . μητρὶ φίλῃ ἠρήσατο χεῖρας ὀρεγνύς.

Καὶ ὁ Λυκάων τῷ Ἀχιλλεῖ: (Γλ: Φ'. ς. 115.)

„ . . . . Ἕζετο χεῖρε πετάσσας.

Οὕτω καὶ ἡ Εὐρώπη παρὰ τῷ Μόχῳ.

„ . . Φίλας κλέεσσιν ἑτήρας, χεῖρας ὀρεγνυμένη.

Καὶ Πλούταρχος δ' ἐν Βίῳ Καμίλλ: Δεομένων, φησὶ, καὶ τὰς χεῖρας προϊσχομένων. Καὶ Οὐιργίλιος, (Αἰ ΙΒ'. ς. 930.)

Ille humilis, ſupplexque oculos dextramque precantem
Protendens.

„(Κεῖνος δ' ἄρ χθαμαλὸς λισσέσκετο, ὅσσ' ἰδὲ χεῖρε
„ Τείνας . . . . . .

Τέως δέτοι καὶ τοῖς Λατίνοις, αὐτὸ τὸ precari λέλεκται ἀπὸ τῆς τας χειρας προτείνειν: a porricienda manu: ὡς ἔδοξε τοῖς αὐτῶν Γραμματικοῖς.

Ἀλλὰ γὰρ ἢ τὰς χεῖρας εἶχον οἱ ἱκετεύοντες κεκαλυμμένας: Οὕτως ὁ Χρύσης ἱκέτευεν: (Ἰλ. Α'. ς. 13. — καὶ 373.)

„ Στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλε Ἀπόλλωνος.

Ἱκετηρίαν καὶ γὰρ Ἕλληνες ἀπεκάλεν, ὅπερ ἐν χερσὶν ἐπέφερον κάλυμμα ἱκετεύοντες. Ἀρποκρατίωνι μέντοι, τοῦτο ἦν κλάδος ἐλαίας κέμματι ἐσεμμένος, ὃν περ οἱ ἱκέται προέτεινον: οἷος περ ὁ παρὰ Πλουτάρχῳ (ἐν τῷ Θησεῖ.) Οὕτω καὶ Οὐιργίλιος ἔχει: (Αἰνειάδ. ΙΑ'. ς. 101.)

Velati ramis oleae, veniamque rogantes.

„ (Συγκεκαλυμμένοι ἔρνεσ' ἐλαίης, λισσόμενοί τε.)

Ὁμοίως καὶ Λίβιος ἐν τῷ Δ'. τῆ Καρχηδονικῆ πολέμε: Ramos oleae ac velamenta alia ſupplicum porrigentes orare, „ut ſe reciperent παρέσησε (τῆς ἐλαίας ἔχοντας ἔρνεα, καὶ „ἕτερα ἅττα περικαλύμματα προτείνοντας, εὔχεσθαι, ὅπως „ἂν αὐτοὺς ἀποδέξαιντο.) Καὐτεῦθεν τὸ τῆ Πλάυτε ἐκεῖνο (ἐν τῷ Ἀμφιτρύωνι.)

Ad nos veniunt flentes Principes
Velatis manibus, orant ignoſcamus peccatum ſuum.

„ (Ὡς ἡμᾶς ἀφικνῆνται οἱ ἐν ἀρχαῖς, κλαίοντες
„ Χερσὶν ἐγκαλύπτοις: δέονταί τε ἵνα ἀφῶμεν τὰ
αὐτοῖς ἐξημαρτημένα.)

Τὰ πολλὰ δὲ εἰώθεσαν καὶ ἐς γόνυ τῆ ἱκετευομένε τὰς χεῖρας προτείνειν, καὶ σφᾶς παρατίθεσθαι, ὡς ἔστιν ἀναγνῶναι παρ' Εὐριπίδη.

„Ἱκετηρίας δὲ γόνασιν ἐξάπτω σέθεν.

Ἡ δ' Ἀνδρομάχη ἔφασκε:

„. . . . Στεμμάτων δ' ἐχ' ἥσσονας,
„Σοῖς προσίθημι γόνασιν ὠλένας ἐμάς.

Οὕτω γοῦν καθόλε τῶν γονάτων ἥπτοντο προσιόντες οἱ ἱκέται. (Γλ. Ω'. ς. 357.)

„Γόνων ἁψάμενοι λιτανεύσομεν, αἴκ' ἐλεήσῃ.

Καὶ Ὀδυσσ. Κ'. ς. 264.

„Αὐτὰρ ὅγ' ἀμφοτέρῃσι λαβὼν ἐλίσσετο γόνων.

Καὶ ἐν ἄλλοις δὲ μυριαχῆ· οὕτω γὰρ δὴ καὶ Ὀρέσης Μενέλαον τὸν ἀδελφὸν ἱκέτης προσφθέγγεται παρ' Εὐριπίδῃ:

„Τῶν σῶν γονάτων πρωτέλεια θιγγάνω.

Καὶ παρὰ Πινδάρῳ (Νέμ. Η'.)

„Γ'κέτις Αἰακῆ σεμνῶν γενάτων ἅπτομαι.

Καὶ παρὰ τῷ Πλετάρχῳ δ' ὁ Περσεὺς, λέγεται γονάτων ὀρεξάμενος Λἰμιλίε: περὶ ἧ Λίβιος (ἐν Βιβλ. ΜΕ.) Submittentemque se ad „pedes ſuſtulit; nec attingere genua paſſus eſt. (Ὑποκύ-„ψαντα δ' αὐτὸν τοῖς ποσὶν ὑπανέχεν, ἐδ' ἠνέχετο τῶν „αὐτοῦ γονάτων ἐφάψαθαι. Οὕτω τοι καὶ Οὐϊργίλιος, (Λἰνειάδ. Γ'. ς. 523.)

Et genua amplectens effatur talia ſupplex:

„. . . . . Καὶ λάβε γένων, λίσσετό θ' ὧδε:

Μέμνηται δὲ τῆ τρόπε καὶ Πλίνιος (Βιβλ. ΙΑ'. Κεφ. ΜΕ'.) Homines genubus quaedam et religio ineſt, obſervatione gentium. Haec ſupplices attingunt; haec ut aras ado-

„ rant, fortaſſe quia in ipſis ineſt vitalitas. (Τοῖς ἀν-
„θρώπων γόνασι (φησὶν) ἔνεσί τις ἡ Ἱερότης, ἐξ ὑπο-
„λήψεφς ὅλων ἐθνῶν, τέτων ἱκέται ἐφάπτοντα·
„ταῦτα δίκην βωμῶν προσκυνᾶσιν, ὅτι ἐν αὐτοῖς
„ἔνεσι δῆθεν τι ζωογόνον. Προσίθησι δ' ὁ αὐτὸς αὐτόθι,
ὅτι τοῖς πάλαι Ἕλλησιν ἔθος ἦν καὶ τᾶ Πώγωνος ψάυειν, οὗ παρ'
Ὁμήρῳ πρόκειται ὑποδείγματα ἐκ ὀλίγα· ὡς (Ἰλ. Α'. ς. 500.)
Κρονίδᾳ ἡ Θέτις δεησομένη:

„ Καὶ ῥὰ πάροιθ' αὐτοῖο καθέζετο, καὶ λάβε γένων
„ Σκαιῆ, δεξιτερῇ δ' ἄρ ὑπ' ἀνθερεῶνος ἑλᾶσα,
„ Λισσομένη προσέειπε. . . . . .

(Καὶ Ἰλ. Κ'. ς. 454. κξ.) περὶ τᾶ Δόλωνος:

„ Ἦε, καὶ ὁ μὲν μὶν ἔμελλε γενείᾳ χειρὶ παχείῃ
„ Ἁψάμενος λίσσεσθαι. . . . . .

Ὁ δ' Ἀχιλλεὺς, τᾶ Πριάμᾳ πρὸς τὸ ἑαυτᾶ ςόμα, τὴν χεῖρα ἐπορε-
ξαμένᾳ. (Ἰλ. Ω'. ς. 504. κξ.)

„ Ἁψάμενος τῆς χειρὸς, ἀπώσατο ἦκα γέροντα.

Ἥτε Ἑκάβη, παρ' Εὐριπίδῃ, ἀντεπιπλήττει Ὀδυσσεῖ ἀποστρεψαμένῳ τὸ
πρόσωπον, ὡς μὴ προθίξειεν αὐτᾶ τῆς γενειάδος.

Πρὸς δ' ἔτι δὴ καὶ Φιλήματι καταπάζεσθαι τὰ γόνατα εἰώθεσαν
ἱκετεύοντες. Οὕτως Ὀδυσσεὺς φάσκει πεποιηκέναι τῷ Αἰγυπτίων Ἄνακ-
τι. (Ὀδ. Ξ'. ς. 279.)

„ Καὶ κύσα γένατ' ἐλὼν, ὁ δ' ἐρύσατο καὶ μ' ἐλέησεν.

Καὶ ἡ Θέτις ὁμοίως (Ἰλ. Θ'. ς. 372.) τῷ Διΐ:

„ . . . . . Γούνατ' ἔκυσσε, καὶ ἔλλαβε χειρὶ γενείου.

Καὶ τὰς χεῖρας δ' ἔτι κατεφίλεν: ὡς Πρίαμος (Ἰλ. Ω'. ς. 478.)

„ Χερσὶν Ἀχιλῆος λάβε γούνατα, κὴ κύσε χεῖρας.

Ὡσάυτως Ἀπελλῆς (ἐν Μιλησ. Β') Hujus diu manus exosculatus, et ipsa genua contingens, miserere, ait, „ sacerdos. Τέτε τε ἐπὶ πολὺ τὰς χεῖρας καταφιλῶν, κὴ „ τῶν γονάτων καθαπτόμενος, ἐλέαιρε, ἔφη, ὁ „ Ἱερεύς.

Καὶ παρὰ τὴν ἐχάραν δὲ, ἤτοι τὴν ἑσίαν, εἰώθεσαν ἔτι καθέζεσθαι, πρὸς ὃ τὸ Ὀδυσσέως ἀνήκει „ ὃς (Ὀδ: Η'. ς. 153.) ἱκέτης προσελθὼν Ἀλκινόῳ:

„ . . . . . Κατ' ἄρ' ἕζετο ἐπ' ἐχάρῃ ἐν κονίῃσι
„ Παρ πυρὶ . . . . . .

Ὁμοίως Ἀπολλώνιος (ἐν τοῖς Ἀργοναυτικοῖς) ἔφη:

„ Τὼ ἄνεω καὶ ἄναυδοι ἔφ' ἑσίῃ ἁίξαντες.
„ Ἵζανον, ἥ τε δίκη λυγροῖς ἱκέτῃσι τέτυκτο.

Καὶ Θεμιστοκλῆς δὲ παρὰ Πλατάρχῳ ἱσόρηται, ἐπὶ τῇ ἑσίᾳ καθεδῆναι, ὅτε πρὸς τὸν Μολοσσῶν ἄνακτα προσεφεύγει. Οὗ καὶ τὸν Κοριολάνον πεποιημένον παρὰ τῷ αὐτῷ ἀναγινώσκεται, ἀπὸ Ῥώμης ἐξελαθέντα, καὶ Ἀυφιδίῳ προσελθόντα τῷ Οὐόλσκων ἡγεμονεύοντι.

Καὶπὶ τὰς βωμὰς δὲ ἱκέται προσέτρεχον· τοιῶτος δ' ἦν ὁ Ἑρκεῖος Διὸς βωμὸς ἐκεῖνος, πρὸς ὃν Φήμιος πρασφυγεῖν εἶχεν ἑτοίμως, ἵν' Ὀδυσσεὺς αὐτῷ φείσηται. (Ὀδ: Χ'. ς. 335.) Καὶ Πρίαμος δ' εἰς παραπλήσιον προσέδραμε βωμὸν, ὃν Παυσανίας (ἐν τοῖς Κορινθ-

θιαν:) ἐσὶ περιγράφων: „τῦτον τὸν Δία, Πριάμῳ Φασὶν „εἶναι τῷ Λαομέδοντος πατρῷον, ἐν ὑπαίθρῳ τῆς αὐλῆς „ἱδρυμένον· ἢ ὅτε ἡλίσκετο ὑπὸ Ἑλλήνων Ἴλιον, ἐπὶ τῦτον „κατέφυγεν ὁ Πρίαμος τὸν βωμόν. Κατὰ δὴ τὸν αὐτὸν τύπον ἢ Εὐριπίδης (ἐν τῇ Ἑκάβῃ:)

„ Ἀλλ' ἴθι πρὸς ναὸς, ἴθι πρὸς βωμὸς·
„ Ἵζε Ἀγαμέμνονος ἱκέτις γονάτων

Ταύτῃ τοι περὶ τῶν καθικετεύσεων εἰρηται: Θηρσὶ μὲν, καταφυγὴν εἶναι πέτραν: δέλοις δὲ, βωμὰς Θεῶν· ἀμέλειτοι, ἐπεὶ τὰ πλεῖσα οἱ δέλοι τόδ' ἐποίεν, ἀπαλλαχθησόμενοι τῆς ἀπηνείας τῶν δεσποτῶν. Διὸ ἐν τῷ ἐτυμολογικῷ ἑδρῖται οἱ ἱκέται, ἀπὸ τῦ καταφεύγειν εἰς τὴν ἑστίαν. Τὸ δ' ἔθος τόδε ἅπασι πάλαι τοῖς ἔθνεσι σύνηθες ἦν, καὶ αὐτοῖς Ἑβραίοις, τὸ πρὸς τὰ ἱερὰ τῶν χωρίων, ὡς ἄσυλα, τῦς ἱκέτας ἐπικαταφεύγειν. Καὶ τῦ ἔθῦς τὰ ἴχνη τέτε, παρὰ πολλοῖς ἔθνεσι καὶ καθ' ἡμᾶς ἔτι καὶ νῦν διασώζεται.

ΚΕΦΑΛ. ΙΕ'.

Περὶ τῦ τρόπῦ τῦ ἐν τοῖς θρήνοις, καὶ πένθεσι.

Τελευταῖον ὑποθετέος ἄδε ἡμῖν ἡ τρόπος, ὃν Ἕλληνες ἐν πένθεσί τε καὶ κοπετοῖς ἐτήρων. Πρῶτον οὖν ἐκ φύσεως κοινὸν ἐσὶ πᾶσι τὸ δάκρυα χέειν, ἅπερ ἐκ λύπης ἀπογεννᾶθαι, ὁμοίως τοῖς καρποῖς τοῖς ἀποφυομένοις τῶν δένδρων, ἔγραψε Πλύταρχος. Ἀνδράσι δηπῦ τοῖς ἀρίσοις ἐν Ἕλλησι καὶ κρατίσοις, τὴν τοιάνδε διάθεσιν ἐνέδηκεν Ὅμηρος,

οἷον Ἀχιλλεῖ τε καὶ Ἀγαμέμνονι, καὶ ἄλλοις. Οὕτω δὲ ἔρασ καὶ Ἀγησίλαος πτῶμα πολεμίε τεθεαμένος ὑπέκλαυσεν, ἢ Ξενοφὼν διέξεισιν (ἐν Ε΄. Ἑλληνικ:) Καὶ Κῦρος δὲ, ἐπὶ νεκρῷ τῷ Ἀβραδάτη δάκρυα ἔχεεν· (ἐν Ζ΄. Κυροπαιδ:) Ἀλλὰ καὶ Ἀλέξανδρος ὁ μέγας, ἐπὶ Νεάρχῳ τε καὶ Ἀρχίᾳ τεθνηκόσιν, ὡς Ἀρριανὸς μαρτυρεῖ, (ἐν τοῖς Ἰνδικοῖς.) Καὶ αὐτῷ δ' Ἀλεξάνδρε τῆς τελευτῆς ἀκεθείσης, ὁ Πῶρος, (παρὰ τῷ Φιλοστράτῳ ἐν Βιβλ: Β΄.) Καὶ ὁ Καίσαρ δὲ τὸν Πομπηίε δακτύλιον κατιδὼν, (παρὰ τῷ Πλουτάρχῳ.) καὶ ὑπὲρ ἀριθμὸν δὲ ἄλλοι ἐπ' ἄλλοις ὡσαύτως. Καθόλε καὶ γὰρ, ὡς παρ' Εὐριπίδῃ (ἐν τῇ Ἑλένῃ) Μενέλαος ἀποφαίνεται, ἀνδρὸς γενναίε τὸ τοιῦτον, ἴδιον ἐστίν.

Εἰώθεσαν δὲ οἱ θρηνοῦντες καὶ τὴν κεφαλὴν παίειν· ὁ μὲν ἦν Πρίαμος τὴν ἐν τῇ μάχῃ ἀναίρεσιν τοῦ Ἕκτορος δεδιὼς: (Ἰλ: Χ΄. ς. 54.)

„ Ὦμωξεν ῥ' ὁ γέρων, κεφαλὴν δ' ὅγε κόψατο χερσὶν
„ Ὑψόσ' ἀναχόμενος, μέγα δ' οἰμώξας ἐγεγώνει.

Ὡσαύτως δέξεισι Πλούταρχος, τὸν Σόλωνα, τοῦ θανάτε ἀκού„σαντα τοῦ υἱέως, παίειν τὴν κεφαλὴν, καὶ τ' ἄλλα ποιεῖν, καὶ „λέγειν, ἃ συμβαίνει τοῖς περιπαθέσι. Παραπλησίως Ἡρόδοτος (ἐν τῇ Θαλείᾳ) γράφει: Ψαμμήτιχον τὸν Αἰγύπτε βασιλεύσαντα ἑαλωκότα, ἐπεὶ γηραιὸν ἐθεάσατο ἐν ἐσθῆτι πένητος, ὃν πλουτοῦντα ἐν τοῖς φίλοις τὸ πρότερον εἶχεν, ἐπικόψασθαι τὴν κεφαλὴν· ἐπλήξατο τὴν κεφαλὴν.

Καὶ τὴν κόμην δὲ παρελωβῶντο, τὰς τρίχας ἐξαινατώμενοι: ὥσπερ Ἀγαμέμνων: (Ἰλ: Κ΄. ς. 15.)

„Πολλὰς ἐκ κεφαλῆς προθελύμνους ἕλκετο χαίτας·

Καὶ Ἀχιλλεὺς δὲ (Ἰλ: Σ΄. ς. 27.)

„ Αὐτὸς δ' ἐν κονίῃσι μέγας μεγαλωστὶ τανυσθεὶς
„ Κεῖτο, φίλῃσι δὲ χερσὶ κόμην ἤχυνε δαίζων.

Καὶ οἱ Ὀδυσσέως δ' ἑταῖροι, εἰς ᾅδην ἀπελευσομένῳ, (Ὀδυσ: Κ'. ς. 567.)

„ Ἑζόμενοι ἐὰ ναταῦθι γόων, τίλλοντο δὲ χαίτας.

Οὕτω καὶ παρὰ Οὐιργιλίῳ (ἐν τῷ Θ'. τῆς Αἰνειάδ: ς. 477.) περὶ τῆς Εὐρυάλε μητρὸς ἀναγινώσκομεν, ὅτι:

Evolat infelix, et foemineo ululatu,
Sciffa comam, muros amens, atque agmina curfu
Prima petit. . . . . .

„(Πτῆ δ' ἄρ δειλαίη, ὀλολυγαῖς θηλυτέρῃσιν
„ Ἐντίλλασα κόμην, ἀνὰ τείχεα, ἠδ' ἀνὰ εἴλας
„ Ἄϊξε πρώτη. . . . . .

Καὶ ἐν τῷ ΙΒ. Βιβλ. τῆς Αἰνειάδ. (ς. 870.)

Infelix crines fcindit Juturna folutos
Unguibus ora foror foedans, et pectora pugnis.

„ (Ἔσπα χερσὶ τάλαινα κόμας ἀνέτας Ἰυτύρνη,
„ Ὦπα τ' ὄνυξι δρύπτεν, ἀταὶρ πὺξ σέρν' ἐὰ κόπτεν.)

Καὶ Ἀριστοφάνης δὲ (Εἰρην. ς. 544.)

„ Ἐκεῖνονὶ τὸν λοφοποιὸν, ἐχ' ὁρᾶς τίλλονθ' ἑαυτὸν;

Καὶ Λεκιανὸς: Παῦσαι τιλλόμενος τὴν κόμην. Ἐπὶ δὲ τούτοις καὶ Μαρτιάλιος (ἐν Βιβλ. Ε'.)

Pectusque pulfans parirer et comam vellens.

„(Στέρνον ὁμῶς κόπτων, καὶ χαίτην τιλλόμενός τε.

Οὐχ' ὅπως δὲ, ἀλλὰ καὶ ῥυπάσμασι τὴν κεφαλὴν κατεμίαινον· ὡς Ἀχιλλεύς: (Ἰλ. Σ'. ς. 23.)

„Ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν
„Χεύατο κακκεφαλῆς, χαρίεν δ' ἤχυνε πρόσωπον.

Τῷδ' ὅπερ αὐτολεξεὶ κεδνὸν ἐπαναφέρεται, καὶ περὶ τοῦ Λαέρτου: (Ὀδυσ. Ω'. ς. 315.)

„Ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν
„Χεύατο κακκεφαλῆς πολιῆς, ἀδινὸν ςοναχίζων.

Καὶ παρὰ Οὐιργιλίῳ δ' ὡσαύτως: (Αἰνειάδ. Ι'. ς. 843.) ὁ Λαέρτου πατὴρ ἀναιρεθέντος:

Canitiem multo deformat pulvere.

„(Ἣν πολιὴν πολλῇ καταήχυνεν ἐν σποδιῇ γε.)

Καὶ ὁ Λατῖνος δὲ, παρὰ τὸν αὐτὸν: (Αἰνειάδ. ΙΒ'. ς. 611.) ἀναιρεθείσης οἱ τῆς ἀλόχου:

Canitiem multo perfuſam pulvere turpans.

„(Ἣν πολιήν γε κόνει πολλῇ κατὰ ἀχρειώσας.)

Καὶ Ἠλέκτρα δὲ παρ' Εὐριπίδῃ τὴν κόμην πιναρὰν ἀναδείκνυσι, διὰ τὴν τοῦ γενετῆρος τελευτήν. Παραπλησίως δὲ παρὰ τῷ Ἀπολλωνίῳ (Μιλησι. Θ'.) Et diſcerptae comae ſordentes inſperſu cineris, plerumque ejus anteventulae contegebant
* „faciem. . . . Διασκεδαννύμεναί τε αἱ κόμαι ῥυπαραὶ τῇ
** „τῆς τέφρας ἐπικαταχύσει, πολλάκις τε, (ὡς ἀνεμίδια, ἢ ὀθόναι, ἢ καλύπτραι: οὐ γὰρ ἄλλως τὸ Anteventulae „τί ποτε βέλεται, συνοράν σαφῶς ἔχω) αὐτῆς τὸ πρό„σωπον συνεκάλυπτον. Ἦν δὲ ἄρα τὸ ἔθος τόδε πάτριον Ἑβραίοις

τε δὴ, καὶ ἄλλοις τῶν ἀνατολικωτέρων ἐθνῶν, ὡς ἐκ τῆς Ἡρᾶς Ἱστορίας ἐστὶ καταδηλον.

Διεσπαράττοντο δὲ ἐν τοῖς τοιούτοις κοπετοῖς καὶ τὰς παρειὰς, οἷον (Ἰλ: Λ'. ς. 393.) περὶ τῆς Χηρευούσης εἴρηται:

„ Τοῦ δὲ, γυναικὸς μέν τ' ἀμφίδρυφοι εἰσὶ παρειαί·

Ὅ καὶ περὶ τῆς γαμετῆς εἴρηται (Ἰλ: Β'. ς. 700.) τῦ ἀποκταν θέντος Πρωτεσιλάε: ἀμφιδρυφὴς ἄλοχος. Οὐδ' ἄλλως παρ' Ἡσιόδῳ: (ἐν τῇ Ἡρακλ: ἀσπίδι.)

„ . . . . Κατὰ δ' ἐδρύπτοντο παρειάς.

Καί γε παρὰ τῷ Οὐιργιλίῳ, (Αἰνειάδ: Βιβλ: ΙΒ'. ς. 605.)

Filia prima manu flavos Lavinia crines
Et roseas laniata genas . . . . . .

„ (Πρώτη ξανθὰς ἡ παῖς πλοχμὰς τίλλε Λαβίνη,
„ Δρύπτε παρειὰς θ' ἃς ῥοδέας . . . . .

Καὶ ἡ Βρισηὶς δὲ, τῆς τελευτῆς Πατρόκλε ἀκουσθείσης, ὄψιν τε δὴ, καὶ τράχηλον, καὶ στέρνον διασπαράττει (ἐν Ἰλ: Τ'. ς. 285.)

„ . . . . . Χερσὶ δ' ἄμυσσε,
„Στήθεά τ', ἠδ' ἀπαλὴν δειρὴν, ἰδὲ καλὰ πρόσωπα.

Ὁμοίως ἡ Κυζίκε ἄλοχος ἀναιρεθέντος, (παρὰ τᾷ Ὀρφεῖ ἐν τοῖς Ἀργοναυτικ:)

„ Στήθεα δρυπτομένη λίγ' ἐκώκυε. . . . . .

Ὁ' δὲ Φιλόστρατος, περὶ τῦ τῆς μητρὸς υἱῦ λέγων, τῦ ὑπὸ δαιμονίε ἐκταρασσομένε: Κἀγὼ μὲν ἐπὶ τούτοις κλάω, καὶ ἐμαυτὴν δρύπτω. Ὅπερ ἔν καὶ περὶ τῆς Κλεοπάτρας αἰχμαλώτιδος διέξεισι Πλούταρχος, εἰς τὸν βίον Ἀντωνίε.

Z ζ

Ἄλλως δὲ συχνότατον ἦν τὸ κόπτειν τὰ στήθη, ὡς αἱ τῦ Ἀχιλλέως θεραπαινίδες ἔδρων: (Ἰλ. Σ'. ς. 30.)

„ . . . . . Χερσὶ δὲ πᾶσαι
„ Στήθεα πεπλήγοντο. . . . . .

Ὁ δὲ Τρυφιόδωρος (ἐν τῇ Ἰλίε ἀναιρέσει) περὶ τῆς Κασσάνδρας λέγων:

„ . . . . . Πυκνὰ δὲ χαίτην
„ Κοπτομένη καὶ στέρνον, ἀνίαχε μαινάδι φωνῇ.

Καὶ παρὰ τῷ Οὐιργιλίῳ δὲ, (Αἰνειάδ. Βιβλ: ΙΑ'. ς. 37.)

Ingentem gemitum tunfis ad fidera tollunt
Pectoribus. . . . . .

„(Ἄσπετον οἰμωγὴν ἐπὶ ἦραν στερνοτυπεῦντες.)

Ἀλλὰ καὶ τὰς μηρὰς παίειν εἰώθεν: ὥσπερ ὁ Ἄσιος, (Ἰλ. Μ'. ς. 162.)

„ . . . . . Ὤμωξέν τε, καὶ ᾧ πεπλήγετο μηρῷ.

Ὅ καὶ περὶ τῦ Πατρόκλε εἴρηται: (Ἰλ. Ο'. ς. 397.) καὶ περὶ τῦ Ἀχιλλέως. (Ἰλ. Π'. ς. 125.) Οὕτω τοι καὶ παρὰ Πλουτάρχῳ Φάβιος θεασάμενος τὰς ἰδίας περιπεφραγμένας εἰς φυγὴν τετράφθαι: μηρόν τε πληξάμενος καὶ σενάξας μέγα κτ. καθ' ὃν τύπον ἐκεῖνο λέλεκται τὸ τῦ Κικέρωνος (περὶ τῦ λαμπρῦ Ῥήτορος:) frons non percuſſa, non femur: (ἀ μέτωπον πέπληκτο, ἀ μηρός.

Ἀλλὰ καὶ κατὰ γῆς ἐκυλίοντο κονιορτώδεις: (Ἰλ. Σ'. ς. 26.) ὥσπερ Ἀχιλεύς:

„ . . . . Ἐν κονίῃσι μεγαλωστὶ τανυσθεὶς
„ Κεῖτο. . . . . .

Καὶ Πρίαμος ὁμοίως: (Γλ: Ω. ς. 640.)

„ Αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον.

Καὶ Μενέλαος δὲ φησὶ κατακυλισθῆναι, τὸν τε ἀδελφὸν θάνατον πεπυσμένος. (Οδ: Δ. ς. 541.)

Τελευταῖον δ' ἓν καὶ διὰ τὸ ὑπερβάλλον τῆς λύπης ἑαυτὸν ἀνήρεν: ὃ περὶ τῷ Αχιλλεῖ ἐδεδίεισαν αἵ τε δμωΐδες (Γλ. Σ. ς. 34.) καὶ ὁ Ἀντίλοχος ἑτέρωθεν:

„ . . . . . Μὴ λαιμὸν ἀποτμήξειε σιδήρῳ.

Οὕτω δ' ἑαυτὴν ἀνεῖλε καὶ Ἐπικάστη (Οδυσ: Λ. ς. 277.)

„ Ἁψαμένη βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο μελάθρου
„ ὯΙ ἄχεϊ χομένη. . . . . .

Οὕτως Ἀμάτη παρὰ Οὐεργιλίῳ (Αἰνειάδ. ΙΒ'. ς. 603.)

Et nodum informis loeti trabe nectit ab alta.

„ (Καὶ βρόχον ἁψαμένη ἀχήμονα ἕλετο πότμον.)

Ταὐτὸ δ' ἐπεχείρησε καὶ Αἴας παρὰ τῷ Σοφοκλεῖ, καὶ παρὰ τοῖς λοιποῖς Τραγῳδοῖς, ὧν πλέα τὰ Δράματα τῆς τοιᾶσδε αὐτοχειρίας: πρὸς ἣν τὰς παλαιὰς ἐκείνας ὡς λίαν ἐπιῤῥεπεῖς γενέσθαι καταδηλον.

ΟΜΗΡΙΚΩΝ ΑΡΧΑΙΟΤΗΤΩΝ

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

ΚΕΦΑΛ. Α'.

Περὶ Γεωργίας.

Λείπεται ἡμῖν περὶ διαφόρων ἐγχειρήσεών τε καὶ ἐργασιῶν, αἷς οἱ πάλαι Ἕλληνες ἐναχολεῖσθαι ἔχαιρον, βραχέα διελθεῖν· ἐν αἷς δὴ πρώτην τακτέον τὴν περὶ τὴν Γεωργίαν ἄσκησιν. Τῶν μὲν ἓν ἀγρῶν, περὶ ἃς τὰ ἔργα, ἑκάστε, τὰ ὅρια διαξελλόμενα ἦν διὰ λίθων. Οὕτως (Ἰλ: Φ'. ς. 405.) τὸν Ἄρην ἡ Ἀθηνᾶ καταβάλλει λίθῳ:

„ Τόν ῥ' ἄνδρες πρότεροι θέσαν ἔμμεναι ὅρον ἀρούρης.

Τῷ δ' αὐτῷ λόγῳ ἡ παρὰ Οὐϊργιλίῳ (Αἰνειάδ: ΙΒ'. ς. 897.) Τύρνος κατ' Αἰνείᾳ ἐλίσσων.

Saxum antiquum ingens, campo quod forte jacebat,
Limes agro positus, litem ut discerneret arvis.

„ (Λᾶν μέγαν ἀρχαῖον, τυχὸν ἀμπεδίον πε ὄντα
„ Οὖρος ὅπως ταχθεὶς ἔριδ' αἶροι τὴν ἐπ' ἀρούρας.)

Τὰς τοιάσδε ὅρας ἱερὰς εἶχον, ἀσεβὲς ἡγέμενοι, ἢ ἀρᾶν ἔξω τέτων, ἢ μεθιςᾶν. Ὅθεν οἱ ἀρχαιότεροι Ῥωμαίωι, τὸν κατ' αὐτὰς terminum, ἤτοι τὸν ὅρον, ἐξεθέωσαν, καὶ ἐκ ἄνευ ἱεροτελεσιῶν ἀνετίθεν, ὡς παρὰ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ πάρεξιν ἰδεῖν (ἐν Βιβλ. Β'.) Διὸ καὶ δῆλοι ἀνέκαθεν ἐπικαθιςῶντο, οἵπερ ἂν εἶεν τῶν ἐν ἀγροῖς περά-

των Φρεροὶ: οἷος ὁ ἐπάρερος ἢ πάρερος (κατ' Εὐσάθιον) ὁ παρὰ Ὁμήρῳ νοεῖται (Ὀδυσ. Λ'. ς. 488.) Τὲς τοιέτες δ' οἱ ἄλλοι Ἕλληνες Οὐροφύλακας ἔιπον. Οἱ δὲ Λατῖνοι saltuarios (Ὑλωρὲς) ὡς παρὰ Οὐλπιανῷ (Βιβλ. ΙΒ'. τῶν Διγέςων) De inſtrument: vel inſtruct: Legato. Τοιέτοι δὲ καὶ οἱ ἐν τοῖς τῆ Ἄνακτος Ἀυγείε ἀγροῖς, παρὰ τῷ Θεοκρίτῳ (ἐν Εἰδυλ: ΚΕ'.) Οὐρὲς μὲν ἴσασι Φυτοσκάφοι. Τοιγαρῆν καὶ διαμφισβητήσεως κινεμένης, περὶ ὁρίων θέσεως τῶν ἐν ἀγροῖς, διεκμετρήσεως διελύετο τὸ νεῖκος: καθάπερ ἐν τῷ Ἰλ: (Μ'. ς. 421.)

„ Ἀλλ' ὥς ἀμφ' ἄροισι δύ' ἀνέρε δηριάαθον
„ Μέτρ' ἐν χερσὶν ἔχοντες ἐπιξύνῳ ἐν ἀρέρῃ,
„ Ὥ τ' ὀλίγῳ ἐνὶ χώρῳ ἐρίζητον περὶ ἴσης.

Ἠροτρίων δὲ τὰ πλεῖςα ἐν Βοιῶτοις, οἱ διὰ τῆτο καὶ ἀροτῆρες εἰρημένοι τῷ Ἡσιόδῳ. Ἐχρῶντο δ' ἐπὶ τέτῳ ἢ ἡμιόνοις, ἅτε δὴ ἢ ταχίοσιν πρὸς ἄροτον ἐγκρινομένοις (Ὀδυσ: Θ'. ς. 124.)

„ Ὅσσον τ' ἐν νειῷ ἄρον πέλει ἡμιονοίϊν.

Ἐξ ἧς παρ' Ἡσιόδῳ (ἐν Ἔργοις ς. 47.)

„ Ἔργα βοῶν ἀπόλοιτο, ἢ ἡμιόνων ταλαεργῶν.

Τὲς δ' αὐτὲς τέτες καὶ ἐν ἅρματι ἐζεύγνυον πρὸς ὄχημα. (Ἰλ: Σ'. ς. 542. καὶ Ἰλ: Ω'. ς. 442. καὶ Ὀδυσ. Ζ'. ς. 72.) Ἀλλ' ἡ τῶν Βοῶν χρῆσις ἰδιαιτέρα ἦν ἐπὶ τᾷ ἁλοητῷ: (Ἰλ: Υ'. ς. 495.)

„ Ὡς δ' ὅτε τὶς ζεύξῃ βόας ἄρσενας εὐρυμετώπας.
„ Τριβέμεναι κρῖ λευκὸν εὐτροχάλῳ ἐν ἁλωῇ.

Ἦν δ' ἔθος ταὐτὸ καὶ παρὰ Ἑβραίοις, ὡς δῆλον ἐκ τῆς Θείας νομοθεσίας, τῆς τὴν τοῦ ἀλοῶντος βοὸς ἐπιφίμωσιν ἀπαγορευόσης, ἣν (ἐν τῇ Α'. πρὸς Τιμόθ: Κεφαλ. Ε'.) ὁ Ἀπόστολος ἀναφέρει: **Οὐ φιμώσεις βοῦν ἀλοῶντα.** Α'λ' ὁ Αἰλιανὸς ἐν τῷ Δ'. Βιβλ: τῆς ποικίλης αὐτοῦ Ἱστορίας διέξεισιν, εἰωθέναι τοὺς πάλαι, κόπρῳ ἐναλείφειν βοείῳ τὰ βοῶν σώματα, ἐφ' ᾧ πρὸς τὴν τῶν καρπῶν ἀπόγευσιν ἀηδέστερον ἔχειν, **ὅταν ἀλοητὸς ᾖ, κὴ σρέφωνται περὶ δῖνον οἱ βόες.**

Καὶ ἀμπέλους δὲ καὶ ἀλωὰς, παντοίοις δένδροις τε καὶ φυτοῖς κομώσας ἐπιμελὲς ἐτίθεντο γεωργεῖν· καὶ λειμῶνας δ' ἐν οἷς ζώων παντοίων πώεά τε καὶ ἀγέλαι βόσκοιντο, ὡς ἐπὶ τῆς **Ἀχιλλέως ἀσπίδος** γλαφυρώτατα περιγραφόμενα πάρεσι κατιδεῖν. (Ἰλ: Σ'. ς. 526.) Ἐν τέτοις δ' ἦν χώραν ἔχον τὴν πρώτην οἱ βόες, περὶ ὃς πλείονα τὴν σπουδὴν τὸς Ἕλληνας τεθεικέναι, ἐκ τῆς Ὁμήρε Ποιήσεως ἔυδηλον ἁπανταχῆ, ἣ καὶ Παυσανίας (ἐν τοῖς **Μεσσηνιακ:**) „ἐπιμαρτυρεῖ γράφων: Ταῦτα μὲν τὸν λόγον μοι βεβαιοῖ, βασὶ „τὸς τότε μάλισα χαίρειν ἀνθρώπες. Τέτε δὲ χάριν κατεσκευάζοντο, ἐν οἷς οἱ ἐκ τῶν οἰκιακῶν δόλων προέχοντες καθιςῶντο ποιμάντορες, καὶ διὰ τῆς παρὰ τῶν κυνῶν συνδρομῆς κατὰ τῶν θηρίων τοῖς ποιμνίοις ἐπήμυνον· ὡς ἔνεσι μαθεῖν ἐκ τῶν Ὀδυσσέως (Ὀδυσ. Ξ'. ς. 21.) καὶ τὸ ἐν Ἤλιδι ἄρχοντος Αὐγέα ποιμνίων. (παρὰ Θεοκρ: ἐν Εἰδυλ: ΚΕ'.)

Καὐτεῦθεν ἦν ἐκ τῆς βοσκηματικῆς ταύτης περιουσίας, ἅπας ὁ τῶν πάλαι Ἑλλήνων προσελογίζετο πλῆτος, ὅπερ δὴ κτήσεως εἶδος, δικαιότατον ἁπάντων εἶναι ἀποφαίνεται Ἀριστοτέλης (Πολιτικ: Βιβλ: Ε'.) ἅτε δὴ τῇ παρὰ τῆς Φύσεως συνυπεργήσει ἐπισυνισάμενον. Οὕτως ὁ Διομήδης τὸν τοῦ ἰδίε πατρὸς παριςῶν ὄλβον (Ἰλ: Ξ'. ς. 122.)

„ . . . Ἄλις δέ οἱ ἦσαν ἄρεραι
„ Πυροφόροι, πολλοὶ δὲ φυτῶν ἔσαν ὄρχατοι ἀμφὶς,
„ Πολλὰ δέ οἱ πρόβατ' ἔσπεν . . . . . .

Ὡσάυτως δὲ (Γλ: Υ. ς. 221.) Ἐριχθόνιος γενέσθαι λέγεται:

„ . . . Ἀφνειότατος . . . . θνητῶν ἀνθρώπων,
„ Τῷ, τριχίλιοι ἵπποι ἔλος καταβοσκολέοντο

Καὶ (Γλ: Ι. ς. 154. καὶ 296.) ἐπαινῆται αἱ πόλεις, ἃς

„ . . . . Ἄνδρες ναίεσι πολύῤῥηνες πολυβῶται.

Καὶ ὅλως ἁπανταχῆ οἱ περισσίαν πλέτε διαφέροντες παῤ Ὁμήρῳ, καλῶνται πολύαρνες καὶ πολύμηλοι: ὃ δὴ καὶ Οὐάῤῥων παρατετήρηκεν, ἐν τῷ Α. Βιβλ: περὶ τῆς τῶν ἀγρῶν ἐπιμελείας Κεφ: Β. Οὕτω δὲ καὶ παρὰ τῷ Θεοκρίτῳ (ἐν Εἰδυλλ: ΚΔ. γεραίρεται:

„ Εὔρυτος ἐκ πατέρων μεγάλως ἀφνειὸς ἀρέρας.

Καὶ ὁ τῆ Ἀυγείε δὲ σύμπας πλῆτος, ἐκ τῆς τῶν ἀγρῶν συνεσῶς ἦν κληρεχίας, καὶ μάλισα τῶν βοῶν, ὥσπερ εἴρηται:

„ . . . . . Πολὺς καὶ ἀθέσφατος ὄλβος.

Παραπλησίως καὶ παρὰ Πινδάρῳ (Πυθ: Ω'δ: Δ'.) ὁ Σαλμονέως τῆ Ἄνακτος ὄλβος ἅπας, ἐν ἀγέλαις βοῶν, καὶ ἐν ἀγροῖς ὑφεσῶς ὑπῆρχεν, ὃν, εἰς κλήρε μέρος, παρὰ τῆ Ἰάσωνος λαγχάνει Πηλεὺς, πλῆτον πιαίνων. Καὶ Ἡρόδοτος δὲ (ἐν τῇ Οὐρανίᾳ) τὴν τῆ Μακεδόνων Ἄνακτος περισσίαν ἐν διαφόροις ποιμνίοις ἔθετο συνεχῶσαν. Οὕτω καὶ παρὰ τῷ Οὐιργιλίῳ (Αἰνειάδ. Ι'. ς. 564.)

Volscens, ... ditissimus agri,
Qui fuit Ausonidum, et tacitis regnabat Amyclis.

„ (Βόλσκων. . . . . ἀφνειὸς ἀγροῖς
„ Αὐσονίδων κρατέων τ' ἐνὶ σιγηρῇσιν Ἀμύκλαις.

Ὅθεν ὁ Πλίνιος καὶ Locupletem τὸν πλετῆντα καλεῖσθαι θέλει: οἷον *loci*, id eſt agri *plenum*: (Χωρόπλεων ὡς φάναι, χωρίων, τετέσι, τῶν κατὰ τὲς ἀγρούς, ἔμπλεων.) Καὶ *Pecunia* δὲ τοῖς Λατίνοις τὰ χρήματα, ἐντεῦθεν: ὅτι in pecore pecunia τότε ὑφίσατο, φησὶν Οὐάρρων· (ἐν τοῖς περὶ τῆς τῶν ἀγ-„ρῶν ἐπιμελ. Κεφ. Δ'.) Οἷον εἰπεῖν προβατεία, ὅτι ἐν „προβάτοις τὸ τηνικαῦτα ἡ χρηματία. (Εἴποι δ' ἂν καὶ „Ἕλλην ἐπὶ τῆς ἰδίας φωνῆς ἐτυμολογήσας, ὅτι ἡ τὸ „Νόμισμα ἄρα Ἑλληνιστὶ ἔτω κέκληται, παρὰ τὴν νομὴν „τὴν τῶν βοσκημάτων.) Τέως δὲ καὶ Πλάταρχος (ἐν προβλήμ. „ΜΑ'.) ὡς εὐπορεῦντες εἰσὶν, οἱ ἀπὸ τῶν θρεμμάτων μά-„λιστα, καὶ τὴν περιουσίαν ἀπὸ τούτων ἔχοντες.

Ἄλλως τε δὲ περὶ τὴν Γεωργίαν, καὶ ἄνδρες ἔτι τῶν περιφανεστέρων τὴν παρ' ἑαυτῶν ἐργασίαν προσάπτειν, ἔτοι σφίσιν ἡγεῖτο ἀνάξιον. Οἷον τὸν Λαέρτην ἰδεῖν ἐστὶν παρ' Ὁμήρῳ (Ὀδυσ: Ω'. ς. 224. κξ.) καὶ τὸν Ἀυγείαν παρὰ τῷ Θεοκρίτῳ. Καὶ βασιλευόντων δὲ γόνοι, τὰ πατρῷα ποίμνια ἐπὶ νομὴν ἄγειν ἐπιμελὲς εἶχον, ὡς περὶ τῶν ἑπτὰ υἱῶν Ἠετίωνος τῆ Θηβῶν ἀνάσσοντος Ὅμηρος μαρτυρεῖ· (Ἰλ: Ζ'. ς. 424.) τὸ δ' αὐτὸ δρῶντας εἶσι, καὶ Ἶσον τε καὶ Ἀντιφον τὲς Πριάμε, (Ἰλ: Λ'. ς. 106.) καὶ Ἀγχίσην, (Ἰλ: Ε'. ς. 313.) καὶ Αἰνείαν, (Ἰλ. Υ'. ς. 91.) καὶ ἄλλες. Τὸ δὲ, καὶ διὰ πάσης τῆτο τῆς πρὸς ἥλιον ἀνίσχοντα οἰκεμένης πάλαι κρατῆσαι, ἔμφανές ἐσι καὶ ἐκ τῆς Ἱστορίας τῆς Ἱερας· ἀπὸ γὰρ τῆ ἀγρῆ τὲς ἐπὶ τὸν βασίλειον κληθέντας θρόνον ἐφ' ἅπαξ ὁρῶμεν, καὶ ἐδὲ μετὰ τῆτον, πάντη ἐκεῖνον ἐγκαταλιπόντας, ὡς ἐπὶ τῆ Σαὺλ δῆλον· ὃς καὶ μετὰ τὸ χριθῆναι εἰς βασιλέα ὑπὸ Σαμυὴλ, καὶ παρὰ τῆ λαῆ ἀνακηρυχθῆναι, ἰδὲ ἤρχετο μετὰ τὸ πρωΐ ἐξ ἀγρῆ. (Α'. Βασιλ Κεφ. ΙΑ'. ἐδαφ. 5.) Καὶ παρὰ τοῖς Ῥωμαίοις

δὲ, ἄνδρες ἀνεφάνησαν Ἡγεμονικοὶ, οἱ περὶ τὴν Γεωργίαν ἐναχολέμενοι, καθάπερ αὐτὰ τῶν περιφανεστάτων οἴκων ἐπιμαρτυρεῖ τὰ ἐπώνυμα: οἷον τῶν Φαβίων, τῶν Λεντύλων, τῶν Βιτελλίων τῶν Porcorum, τῶν Suilliorum, τῶν Bubulcorum: (ὧν ἀπὸ τῶν Κυάμων, καὶ τῶν Φακῶν, καὶ τῶν Μόχων, καὶ τῶν Χοίρων, καὶ τῶν Συῶν, καὶ τῶν Βοικόλων ἡ παρωνυμία.) καὶ τῶν ὁμοίων, ὡς τοῦτο παρεσημειώσατο Πλούταρχος.

ΚΕΦΑΛ. Β'.

Περὶ τῆς Κυνηγετικῆς.

Ἐπὶ τὰς ἀγροικικὰς ἐπιχειρήσεις ἐπαναφερομένη ἐστὶν ἡ κυνηγεσία, ἣν κομιδῇ μετιέσαν συνεχῶς ἀσκοῦντες οἱ ἐν ἀγρῷ τὰ πλεῖστα καταβιοῦντες, καὶ περὶ νομὰς ποιμνίων ἐναχολέμενοι, ὡς ἐν Γλ: (Λ'. ς. 106.) καὶ ἄλλαχοῦ φαίνεται: ὃ καὶ τῷ Ἀγχίσῃ παραδείγματι ἐπιβεβαιοῦται: περὶ οὗ (ἐν τῷ εἰς τὴν Ἀφροδίτ: ὕμνῳ ς. 160.) εἴρηται, ὅτι ἐφ' ἧς ἐπευνάζετο κλίνης,

„ Ἄρκτων δέρματ' ἔκειτο, βαρυφθόγγων τε λεόντων,
„ Τὰς αὐτὸς κατέπεφνεν ἐν ὄρεσιν ὑψηλοῖσιν.

Κυνηγετῶν δ' ἐπεβάλλοντο, καὶ τῶν καρπῶν ἕνεκεν, ἃς τὰ θηρία πολλάκις πλήθει τε καὶ μεγέθει τηνικαῦτα ἐπικρατέστερα κατεπόρθουν: οἷος ὁ Κάπρος ἐκεῖνος ὁ Καλυδώνιος, (Γλ: Γ'. ς. 435. κξ:) ὅπερ ἐπὶ τῇ ἀναιρέσει πολλοὶ συνέδραμον,

„Κρήτων τε μεσηγὺ, καὶ Αἰτωλῶν μεγαθύμων.

Καὶ ὁ Λέων δὲ ὁ Νεμέας, ὃν Ἡρακλῆς ἀνεῖλε (παρὰ Θεοκρίτῳ ἐν Εἰδυλλ: ΚΕ΄.) καὶ ὁ ἐν Κρησὶ Ταῦρος ὁμοίως, ὃν ἀπέκτεινε Θησεὺς· „(παρὰ τῷ Παυσανίᾳ ἐν τοῖς Ἀττικοῖς.) Πάλαι δὲ ἄρα τὰ θηρία „φοβερώτερα ἦν τοῖς ἀνθρώποις, ὡς, ὅτ' ἐν Νεμέᾳ Λέων, „καὶ ὁ Παρνάσιος· καὶ Δράκοντες τῆς Ἑλλάδος πολλαχῇ, „καὶ ὗς περί τε Καλυδόνα, καὶ Ἐρύμανθον, καὶ ὁ τῆς Κο„ρινθίας Κρομυῶνος.

Ὅπλων δ' ἐπεφέροντο εἴδη παντοῖα ἐπὶ κυνηγεσίαν ἐξιόντες. Πελέκει μὲν ἀπεχρῶντο οἱ νεανίαι, ἄγριον βοῦν πατάξοντες. (Ἰλ. Ρ΄. ϛ. 520.) Καὶ τόξον δ' ἀνελάμβανον, ἡ δοράτια, Ὀδυσσεύς τε ἠδ οἱ περὶ αὐτὸν ἑταῖροι· (Ὀδυσ: Ι΄. ϛ. 156.) οἷς ἂν τὰς αἴγας διελάυνωσι τὰς ὀρεσκώους. Ὅ δ' αὐτὸς εἰς κυνηγέσιον προϊὼν μετὰ τῶν υἱῶν Αὐτολύκου, (Ὀδυσ: Τ΄. ϛ. 438.) ἀμπαιπαλὼν ἴθυνεν ἔγχος κατὰ συὸς μεγάλοιο, ὑφ' ἧς ἠντιτέρωτας: τὸν αὐτὸν τρόπον, ὅπερ καὶ ὁ τῆ Κρίσᾳ βέβληται· ὡς Ἡρόδοτος (ἐν τῇ Κλειοῖ) διέξεισιν. Ἡρακλῆς δὲ καὶ λέοντα κατετόξευσε, καὶ τῷ ἐλαίνῳ ῥοπάλῳ ἀπέλιπεν ἄπνοον. Ἀλλὰ καὶ παρὰ ποιμένων βέλη ἐπὶ λέοντα γέγραπται ἀφεθῆναι, (Ἰλ: Λ΄. ϛ. 553. καὶ Ἰλ: Ρ΄. ϛ. 663.) προσιθεμένων τοῖς βέλεσι καὶ λαμπάδων πυρὸς, ὃ τὸ θηρίον πάνυ φοβεῖται, καθάπερ σὺν Ὁμήρῳ καὶ Ἀριστοτέλης ἐπιμαρτυρᾷ, ἐν τῷ Θ΄. Βιβλ. τῆς περὶ ζώων ἱστορίας, Κεφαλ: ΜΔ΄: καὶ Αἰλιανὸς ἐν βιβλ: ΙΒ΄. Κεφ: Η΄: ὁ καὶ τὸ ὑπερβάλλον τῆς κατὰ τὴν λέοντος ἕξιν θερμότητος, λόγον ἐπάγων τὸ φόβε· καθάπερ δὴ καὶ Ὀππιανὸς (ἐν Βιβλ: ΙΔ:) ὃς καὶ τὰ λοιπὰ τῶν πρὸς τὴν Κυνηγετικὴν ἀνηκόντων γλαφυρῶς διεξέρχεται.

Καὶ ἡ τῶν κυνῶν δὲ ὑπέργησις πολλή τις ἦν ἐπὶ τῶν Κυνηγεσίων τοῖς Ἕλλησιν, ἐξ ὧν καὶ τὸ ὀνόματος μετέσχεν ἡ ἐπιχείρησις. Εἰς τοῦτο δὲ διαφερόντως προενεγκεῖν εἴρηται ὁ Ἄργος, ὁ τοῦ Ὀδυσσέως Κύων. (Ὀδ: Ρ΄. ϛ. 316.)

„ Οὐ μὲν γάρτι φύγεσκε βαθείης βένθεσι ὕλης
„ Κνώδαλον ὅττι ἴδοιτο, καὶ ἴχνεσι γὰρ περιήδη.

Ὡ'ταὶρ (καὶν τῷ Γ'. τῆς Ο'δυσ: ς. 436.) κυνηγετᾶντι τῷ Ο'δυσσεῖ:

„ Ἴχνη ἐρευνῶντες κύνες ἤϊσαν . . . . . Ο' δὲ:
„ Ἤϊεν ἄγχι κυνῶν πραδάων δολιχόσκιον ἔγχος.

Α'λλως τε δὲ τοῖς πάλαι Α'ρχικοῖς ἀνδράσι, περιῆσαν καὶ Κύνες οἱ καλέμενοι τραπεζῆες, ἓς πρὸς τρυφὴν διέτρεφον (Ο'δυσ: Ρ'. ς. 310.)

„ . . . . . Α'γλαΐης δ' ἔνεκεν κομέουσιν ἄνακτες.

Τοιᾶτοι τῷ Πατρόκλῳ ὑπῆρχον ἐννέα, ὧν δύο Α'χιλεὺς ἐπὶ τῆς πυρᾶς ἐπέρριψεν. (Γ'λ: Ψ'. ς. 173.)

Καὶ περὶ τὴν τῶν πτηνῶν δὲ θήραν ἐνησχολῆθαι τὸς πάλαι Ἥρωας, διατείνεται Α'θήναιος, (Βιβλ: Α':) Πελείαις αὐτὸς λέγων, καὶ Κίχλαις, θήρετρά τε καὶ παγίδας ὑποτείνειν. Καὶ περὶ τὴν ὀρνεοθηρευτικὴν δ' ἐπασκεῖθαι, περισερᾶς ἐπὶ νηὸς ἰσᾶ, μηρίνθῳ ἐπαναρτωμένης, ἣν δήπε πόρρωθεν βέλει, ὅπερ ἂν ἀφεῖεν ἐκ τόξε, τιτύσκοιντο: ὡς ἐν τοῖς, ἐπὶ ταῖς κηδείαις τελεῖθαι εἰωθόσιν ἀγωνίσμασι, δῆλον γίγνεται. (Γ'λ. Ψ'. ς. 878.) Καὶ περὶ τὴν τῶν ἰχθύων δὲ ἄγραν τὸς αὐτὸς σπεδάζειν, ὁ αὐτὸς Α'θήναιος εἰσβάλλει ἐκ τῶν Ο'δυσσέως ἑταίρων, (Ο'δυσ: Μ'. ς. 330.)

„ Οἵ ῥ' ἄγρην ἐφέπεσκον ἀλητεύοντες ἀνάγκῃ,
„ Ἰχθῦς, ὄρνιθάς τε φίλας θ' ὅτι χεῖρας ἵκοιτο,
„ Γναμπτοῖς ἀγκίστροισι . . . . . .

Καὶ τὸ Σαρπηδόνος ἔτι ἀναφέρων ἐκεῖνο (Ἰλ: Ε. ς. 487.) τὸ τὴν Τροίας κινδυνεύσασαν ἄλωσιν ὑπὸ τῶν πολεμίων, τῇ τῶν ἰχθύων ἐπαγρέυσει παρεξεικάζοντος:

„ Μήπως, ὡς ἀψῖσι λίνα (πα) ἁλόντε πανάγρα
„ Ἀνδράσι δυσμενέεσσιν ἕλωρ, καὶ κῦρμα γένηαθε.

Τῶθ' ὅπερ οἱ μὲν, ὡς περὶ πτηνῶν λεχθὲν ἐξεδέξαντο, οἱ δ' ὡς περὶ τῶν θηρίων.

Ἀλλὰ καὶ τὴν τῶν Ὀρέων ἄγραν Ὅμηρος σαφῶς ἐκδιδάσκει, (Ἰλ: Π'. ς. 747.) ἐν οἷς Κεβριόνην, τὸν ἀπὸ τᾶ δίφρα, ὃν ἡνιόχει τῷ Ἕκτορι ἐκπεσόντα, παραβάλλει ἀρνευτῆρι: (τετέχνι κολυμβητῇ) τῷ ἀπὸ τῆς νηὸς εἰς τὴν θάλασσαν ἐγκατακυβιςῶντι: ὃς δὴ:

„ Πολλὰς ἂν κορήσαι . . . . . τήθεα διφῶν
„ Νηὸς ἀποθρώσκων. . . . . .

Ἀλλὰ γὰρ οἱ πάλαι Ἥρωες μᾶλλον ἔχαιρον τῇ πεζικῇ τῶν θηρίων κυνηγεσίᾳ, ἣν καὶ τοῖς γενναίοις ἀνδράσιν, ὡς μᾶλλον ἀξίως ἐπιπροσήκουσαν, ἐν ἐπαίνῳ τίθησι Πλάτων. (ἐν Ζ'. περὶ τῶν Νόμων:)
„Μόνη δὲ πᾶσι λοιπὴ καὶ ἀρίστη ἡ τῶν τετραπόδων, ἵπ-
„ποις, καὶ κυσὶ, καὶ τοῖς ἑαυτῶν θήρα σώμασιν ὧν ἁπάν-
„των κρατῆσι δρόμοις, καὶ πληγαῖς, καὶ βολαῖς αὐτόχει-
„ρες θηρεύοντες, ὅσοις ἀνδρείας τῆς θείας ἐπιμελές. Καὶ περὶ ταύτην ἓν μάλιστοι οἱ Ἥρωες ἐκεῖνοι ἐκ παίδων διεγυμνάζοντο, ὡς δῆλον τῷ Ὀδυσσέως παραδείγματι: (Ὀδυσ. Τ'. ς. 465.) καὶ τῷ Ἀχιλλέως παρὰ Πατρόκλῳ. (Νέμε. Γ'.) Ὅπε παῖς ἔτι ὢν ἐξαέτης, λέοντάς τε καὶ κάπρους ἐπ' ἀναιρέσει ἐλάυνων τε καὶ τοξεύων, τὰ τέτων σώματα Χείρωνι τῷ καθηγεμόνι προσῆγε· καὶ μὴν ἔτι καὶ ἐλάφους κυνῶν τε ἄνευ καὶ ἑρκέων ἁλίσκων καὶ ἀναιρῶν, (ποσσὶ γὰρ κράτεσκεν.)
Οὕτω δὴ καὶ παρὰ τῷ Οὐϊργιλίῳ (Αἰνειάδ: Ζ'. ς. 746) οἱ τὰς ὀρεικὰς ἔχοντες Νέρσας παλαιοὶ Λατῖνοι, τῇ θηρευτικῇ ἔκδοτοι λίαν γενέσθαι φαίνονται:

Horrida praecipue . . . . . gens, assueta que multo
Venatu nemorum. . . . . .

„ (Κάρτ᾽ ἄγριον γένος, ὡς ἄλα δὴ ἐθάδων περ ἐόντων
„ Ἀνδρῶν ἐν λόχμαις θηρητήρων. . . . . .

Τὸ δ᾽ ἔθος τοῦτο καὶ τοῖς Περσῶν Αἰζηοῖς πάτριον εἶναι διδάσκει Ξενοφῶν, οἱονεί τινα τῶν ἐν πολέμοις ἀγώνων προπαίδειάν τε καὶ προεξάσκησιν. Ταύτην δὲ μάλιστα τοῖς Ἡρωϊκοῖς τὴν αἰτίαν, τῆς περὶ τὴν Κυνηγετικὴν σπουδῆς, ἀποδίδωσι καὶ Ἀθήναιος (ἐν τῷ Α΄. τῶν Βιβλ.) „ λέγων ὅτι: Ἐπὶ Κυνηγέσια ἐξίασιν οἱ νέοι πρὸς μελέτην „ τῶν πολεμικῶν κινδύνων. Ἀμέλει τοι γὰρ ἡ Κυνηγετικὴ, οἷόν τι μέρος ἐστὶ καὶ ἀπείκασμα τῆς πολεμικῆς, ὡς καὶ Ἀριστίδης φησὶν, „ ἐν τῷ λόγῳ τῷ εἰς τὴν Ἀθηνᾶν: Πολεμικῆς μόριον τέχνης ἐστὶ μᾶλλον δὲ εἰκών. Διὸ καὶ Πλάτων τὸς πολέμους θήρας ἀνθρώπων, κομψῶς ὠνόμαζεν.

ΚΕΦΑΛ. Γ.

Περὶ γυναικείων ἔργων καὶ ἐναχολήσεων.

Τοῖς εἰρημένοις μάλιστα οἱ ἄνδρες ἐτύγχανον ἀχολέμενοι, ὥσπερ αἱ γυναῖκες περὶ τὴν ἐπιμέλειαν τῶν οἴκοι ἀνεστρέφοντο, τῷ ἰδίῳ ἑκάστη ἔργῳ προσέχουσαι. Ἔργον δὲ κοινὸν ἦν ἁπάσαις τὸ τῆς ταλασιουργίας, καὶ τῆς ὑφαντικῆς. Οὕτω γὰρ Ἀνδρομάχην Ἕκτωρ τὸ πόλεμον ἀποπειρωμένην ἀποτρέψαι, οἴκαδε κελεύει ὑποχωρεῖν, καὶ τῶν ἰδίων ἐπι-

μελεΐθω, ἐσθ' τε | καὶ ἠλακάτης: (Ἰλ: Ζ'. ς. 491.) καθὰ καὶ Τηλέμαχος τὴν μητέρα τὴν ἑαυτῦ Πηνελόπην: (Ὀδυσ: Α'. ς. 357.)

Καὶ ὅσα μὲν ἀνήκει φάναι περὶ τῆς Ἠλακάτης, τάυτην ἔχεν Ἑλένη χρυσῷ τε καὶ ἀργύρῳ περίκοσμον, ἐφ' ἧς ἔριον ἰοειδὲς εἵλκεν· (Ὀδυσ: Δ'. ς. 131. κξ.) οἷον, (ὡς ἐν ἐπαίνῳ λόγῳ προσίθησι Θέκριτος, ἐν Εἰδυλ: ΙΗ'.) ἔτις τᾶν ἡλίκων παιδισκᾶν νήθειν ἤδει παραπλησίως. Οὕτω καὶ Ἀρήτη ἡ Ἀνασσα περὶ τὴν ἐχάραν μετὰ τᾶν ἀμφιπόλων καθῆτο, (Ὀδυσ: Ζ'. ς'. 53. καὶ 306.) Ἠλάκατα στρωφῶσ' ἁλιπόρφυρα. Καὶ Πηνελόπη δὲ, παρὰ σαθμὸν μεγάροιο ἵζεν: (Ὀδυσ: Ρ'. ς. 96.) κλισμῷ κεκλιμένη, λεπτ' ἠλάκατα στρωφῶσα. Καὶ Ὀδυσσεὺς δὲ ταῖς ἀμφιπόλοις ἐπιτάσσει: (Ὀδυσ: Σ'. ς. 313. 314.)

„Ἔρχεσθε πρὸς δώμαθ' ἵν' αἰδοίη βασίλεια·
„Τῇ δὲ παρ' ἠλάκατα στροφαλίζετε . . . . . .

Οὕτω καὶ Μόχος (ἐν Εἰδυλ: Β'.) τὴν Εὐρώπης τῆς βασιλόπαιδος ἠλακάτην μυρίοις ἐμβλήμασι κατηγλάϊσε. Καὶ παρὰ τῷ Ξενοφῶντι δὲ, (Ἑλληνικ: Ε'.) ἡ Λικατιάδος τὸ Θηβαίων Ἄρχοντος ἀκοίτη, ἐριουργοῦσα περιεπάθητο.

Ἀλλὰ καὶ ἱστουργοῦσα Ἑλένη, (Ἰλ: Γ'. ς. 125.)

„ . . . . . ἰσὸν ὕφαινε
„Δίπλακα, μαρμαρέην . . . . . .

Ἔνθα πολλὸς τῶν Ἀχαιῶν τε καὶ Τρώων ἐνέπεσσεν ἀέθλους. Ἡ δ' Ἀνδρομάχη, (Ἰλ: Χ'. ς. 441.) ἓν δὲ θρόνα ποικίλ' ἔπασσεν· ἣ καὶ χερὶ ἰδίᾳ ἐξειργασμένας ἐθῆτας ἐδωρήσατο τῷ Αἰνείᾳ,

ὡς παρὰ Οὐϊργιλίῳ (Αἰνειάδ: Γ':) παρίσαται. Ὡσάυτως καὶ Κίρκη, καὶ Καλυψὼ, αἱ Νύμφαι περὶ τὰ τοιάδε ἐτύγχανον ἀχολέμεναι ἔργα: (Ὀδυσσ: Ε'. ς. 264. καὶ Κ'. ς. 543.) Ἐπὶ πᾶσιν ὁ τῆς Πηνελόπης ἰσὸς ἀδενὶ ἄδηλος, ὃν ἐπὶ τριετίας ἐξύφαινέ τε καὶ ἀπεξύφαινεν. Τῷ γε μὴν ἰσῷ τέτῳ τῆς Πηνελόπης, παραπλήσιος παρὰ Πλατάρχῳ καθισόρηται (εἰς Βίον Ῥωμύλε) καὶ ὁ τῶν Ταρχητίε θυγατέρων τὸ Ἀλβανῶν Ἄνακτος. Ἀλλὰ ὑπὸ Πηνελόπης παρὰ τὸν ῥηθέντα, παρεσκέυασο καὶ ἰσὸς ἄλλος, εἰς περιβολὴν κηδέυσιμον Λαέρτῃ τῷ πενθερῷ ὑπεργήσων τεθνηξομένῳ· ὥσπερ ἓν, καὶ ὁ παρὰ τῷ Οὐϊργιλίῳ (Αἰνειάδ: Θ'.) ὑπὸ τῆς μητρὸς Εὐρυάλῳ τῷ υἱεῖ προεξύφασο.

Τοιγαρῦν τὰ τῶν ἀνδρῶν ἱμάτια ὑπὸ τῶν γυναικῶν ὑφαίνοντο καὶ ἐράπτοντο, οἷα δὴ τά τῷ Ἕκτορι ἐν τοῖς μεγάροις ἦν ἀποκείμενα: (Ἰλ: Χ'. ς. 511.)

„ Λεπτά τε καὶ χαρίεντα, τετυγμένα χερσὶ γυναικῶν.

Καὶ αἱ (ἐν τῇ Οὐϊργιλ: Αἰνειάδι Βιβλ: Ζ'. ς. 248.)

Iliadum labor vestes . . . . . Ἑάθητες Ἰλιάδων ἔργα.

Ἀλλὰ καὶ ἡ Διδὼ χλαίναν τῷ Αἰνείᾳ ἐδωρήσατο, τῇ ἰδίᾳ ἑαυτῆς χειρὶ ἐπεξειργασμένην: (ἐν τῷ Δ'. τῆς Αἰνειάδος.) ὥσπερ καὶ (παρὰ Ἡσιόδ: „ἐν τῇ Καλλιόπῃ:) Ἄμαξις ἡ Ξέρξε ἅλοχος, ἐξυφήνασα φᾶ„ρος μέγα τε καὶ ποικίλον, καὶ Θέης ἄξιον δίδοῖ Ξέρξῃ.

Ἀλλ' ἡ τῶν Περσῶν Ἄνασσα Σισύγαμβις, αἰχμάλωτος γενομένη, ὑπ' ἀνίας εἰς δάκρυα διεχύθη, ἔρια τάυτῃ καὶ πορφύραν: διαπεμφθῆναι „Ἀλεξάνδρε κελεύσαντος: πρὸς ἣν αὐτὸς: ὦ Μῆτερ (ἔφη) τὴν δ' ἣν „με καθορᾷς φέροντα τὴν ἐᾶθῆτα, αἱ ἀδελφαίμοι παρέ„χον, ἐ μόνον δῶρον, ἀλλὰ καὶ ἔργον αὐτῶν. Οὕτω δὴ καὶ Ἄυγουστος τάς τε θυγατέρας καὶ τὰς ἀδελφιδᾶς αὐτῦ ἐκέλευσεν εἰς ταλασίαν ἐθίζεσθαι, ὡς Σουετάνιος γράφει, προθείς: Illum non-

alia veſte, quam domeſtica uſum: (μὴ ἄλλῃ ἐσθῆτι, ἢ οἰκιακῇ γε προχρήσασθαι) Αὐτὸ τοῦτο καὶ Δομιτιανῷ τῷ Αὐτοκράτορι ἐπήυχετο ἡ Ῥώμη παρὰ Στατίῳ, ἐν τῷ Δ'. ſylvarum:

Et properata tuae manibus praetexta Minervae.

„(Χλαμύς θ' ἣν σοι σπεῦσ', ἧς χερσὶν, ὑφῆναι Ἀθήνη.)

Ἀρχαῖον τόδ' ἦν παρὰ Ῥωμαίοις τὸ ἔθος: ἐξ ἧς καὶν ταῖς λοιπαῖς τῶν γαμηλίων διατετυπωμέναις τάξεσιν, ἠλακάτην σὺν ἀτράκτῳ καὶ ἐρίοις, αἱ γαμεταὶ τοῖς συζύγοις προσῆγον, εἰς τὰ τέτων δώματα εἰσερχόμεναι· καὶ ταλασίᾳ δὲ τὴν θύραν ἐπέσεφον, ὡς Πλέταρχός τε καὶ Πλίνιος παρέδωκαν ἱστορήσαντες.

Καὶ ἀρτοποιεῖν δ' εἰώθεσαν αἱ γυναῖκες, καὶ τ' ἄλλα παρασκευάζειν, τὰ εἰς σίτησιν ἥκοντα. Οὕτως ἐπὶ τῶν Ἀλκινόε μεγάρων, πεντήκοντα ὑπῆρχον ἀμφίπολοι, ἐξ ὧν τινὲς μὲν ἦσαν καὶ ἀλετρίδες, τινὲς δὲ καὶ ὑφάντιδες. (Οδυσ: Η'. ς. 104.) Ἐν δὲ δὴ τοῖς Ὀδυσσέως δώμασιν αἱ ἀλετρίδες αἱ νυκτὸς ἀλήθεσαι, δώδεκα ἠριθμῆντο: (Οδυσ: Υ'. ς. 107.) Καὶ Θεόφραστος δὲ, (ἐν τῷ περὶ Ἀγροικ.) ὁμοίως θεράπαιναν ἀλετρίδα εἰσάγει, ἥ καὶ ἔργον προσίθησιν ἀνὴρ „ἀπειρόκαλος, κατ' ἀλέσας μετ' αὐτῆς τοῖς ἔνδον πᾶσι, „ἢ αὐτὰ τὰ ἐπιτήδεια. Οὕτω τοι καὶ Σιμωνίδης λέγει περὶ γυ„ναικὸς: ἣ δὲλί' ἔργα, ἢ δύην περιτρέπει, ἢ ὅτ' ἂν μύ„λης ψαύσειεν, ὅτε κόσκινον ἄρειεν. Καὶ εἰς τοῦτο δὴ φέρει, „τὸ ἐν Εὐαγγελίῳ (Ματθ: ΚΕ'.) Δύο ἀλήθουσαι ἐν τῷ μύ„λωνι· μία παραλαμβάνεται, καὶ μία ἀφίεται. Ἐνθεντοι Πολυδεύκης (ἐν τῷ Γ'. Βιβλ: ΚεΦ: Β'.) ἐπὶ τῶν τελεμένων, γάμων παρ' Ἕλλησι παρατετηρῆσθαι γράφει, καθ' ἃ καὶ ὕπερον ἐξε-

δίδεν πρὸ τῆ θαλάμε ἐωθότα τῇ νύμφη προσφέρεθαι, παιδίσκης ἅμα δὴ καὶ κόσκινον φερέσης, σημεῖα ὡς ἐπὸς ἀυτεργίας. Καὶ ἐπὶ τῆς στρατιᾶς δὲ τῆς τῆ Ξέρξε, γυναῖκες λέγονται γενέθαι σιτοποιέσας (παρ' Ἡροδότῳ ἐν τῇ Πολυμν:) ὥσπερ καὶ ὑπὸ τῆ Θεκυδίδε (ἐν τῷ Β'. Βιβλ:) ἐν Πλαταιεῦσι, δέκα ἐπὶ ταῖς ἑκατὸν γυναῖκες σιτοποιοὶ ἀριθμῆνται.

Ἀλλὰ καὶ Ἡρόδοτος ἂυ (ἐν τῇ Οὐρανίᾳ) διέξεισιν: ὅτι ἡ τῶν Μακεδόνων Ἄνασσα, καὶ ἀυτοῖς τοῖς βασιλικοῖς ποιμέσι σιτοποιῆσα ἐτύγχανεν: Ἡ δὲ γυνὴ τῆ Βασιλέως ἀυτὴ τὰ σίτια σφὶ ἔπεσσεν. Ὅθεν τῇ γυναικὶ τὸ σύνολον δέδοται, καὶ ἡ ταμιεχία, ὥσπερ ἐν τοῖς Ὀδυσσέως μεγάροις τῇ Εὐρυκλείᾳ:

„ Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρεσα·
„ Εἴδατα ποικίλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
(Ὀδ: Α'. ς. 140.)

Τὸ δ' ἀυτὸ κρατεῖν ἔθος καὶ παρ' Ἀθηναίοις, Ἀριστοφάνης (ἐν Ἐκκλησιαζ:) φησὶ:

„ Ταῖς γὰρ γυναιξὶ φημὶ χρῆναι τὴν πόλιν
„ Ὑμᾶς παραδῦναι· καὶ γὰρ ἐν ταῖς οἰκίαις
„ Ταύταις ἐπιτρόποις καὶ ταμίαις χρώμεθα.

Ἀλλὰ καὶ ταῖς γυναιξὶν ἐκ τῆς κρήνης ἦν σύνηθες ὑδροφορεῖν: τοῦθ' ὃ τὰς ἀμφιπόλες ἐκέλευεν ποιεῖν ἡ Εὐρύκλεια. (Ὀδυσ: Υ'. ς. 154.)

„ . . . . . Ταὶ δὲ μεθ' ὕδωρ
„ Ἔρχεσθε κρήνην δε, καὶ οἴσετε θᾶσσον ἴσσαι.

Καὶ αὐτ: ἐν ς. 158.)

„Αἱ μὲν ἐείκοσι βῆσαν ἐπὶ κρήνην μελάνυδρον·
„Αἱ δ' αὐτῶ κατὰ δώματ' ἐπισαμένως πονέοντο.

Καὶ Ἕκτωρ δὲ περὶ Ἀνδρομάχη τῆ ἀλόχῳ ἐδεδίει, μήποτε αὐτῶ τελευτήσαντος, αἰχμάλωτος γενομένη, ὑδροφορεῖν ἀναγκάζοιτο, ἢ ἰσὸν ἀλλότριον ἐξυφαίνειν, ἐν Ἄργει. (Ἰλ: Ζ. ς. 457.)

„Καί κεν ὕδωρ φορέοις Μεσσηΐδος, ἢ Ὑπερείης,
„Πολλ' ἀεκαζομένη, κρατερὴ δ' ἐπικείσετ' ἀνάγκη.

Οὕτω Καμβύσης τὴν Ψαμμενίτε τῶ Αἰγυπτίων Ἄνακτος θυγατέρα, ὑπὸ δειλικῆ ἐθῆτι ὑδροφορήσασαν ἰσόρηται (παῤ Ἡρόδ: ἐν Θαλείᾳ) ἐξαποστεῖλαι ἐπὶ ὕδωρ, ἔχουσαν ὑδρήϊον, πικρὸν κλαίουσαν. Ἀλλὰ γὰρ αὐτὸς Ἡρόδοτος (ἐν Ἐρατοῖ) τόδε τὸ ἔθος, καὶ τοῖς εὖ γεγονόσιν ἔτι πορασίοις ἀρχαιότατον εἶναι παῤ Ἀθηναίοις διδάσκει. Καὶ Ὅμηρος δὲ (Ὀδυσ: Κ'. ς. 105.) τὴν τῶ Λαιστρυγόνων βασιλεύοντος θυγατέρα ὑδρεύσασαν ἀπὸ τῆς κρήνης παρίσησιν.

ΚΕΦΑΛ. Δ'.

Περὶ τῆς Μουσικῆς.

Καὶ ταῦτα μὲν αὐτοῖς ἦν ἔργα τῶν ἀναγκαίων· ἀλλ' ἦν ἄρα καὶ τὰ καθ' ἡδονὴν, ἢ πρὸς τρυφὴν ἐγχειρέμενα, ἐν οἷς ἦν τὰ πρῶτα φέρον, το τῆς ᾠδῆς, καὶ τὸ τῆς ὀρχήσεως. Ἡ μὲν ἦν ᾠδὴ, ἤτοι διὰ τῆς φωνῆς ἐτελεῖτο, ἢ διὰ τῶν ὀργάνων, ἃ μουσικὰ λέγεται. Τέτων δὲ, τὰ

μὲν εἰσὶ Φυσητικὰ, ἅττα ἐνδιαπνεῖται: οἷαπερ ἀυλὸς, σύριγξ, κάλαμος· (Ἰλ. Κ'. ς. 13.) τὰ δὲ ἐντατικὰ, τὰ διὰ χορδῶν ἐντεινόμενα· οἷα Κιθάρα ἢ κίθαρις, Φόρμιγξ, λύρα, ἣν μίαν τε εἶναι καὶ τὴν αὐτὴν διδάσκει ὁ Πολυδεύκης· ὁ καὶ αὐτὸς Ὅμηρος ἀριδήλως ἐμφαίνει, ἐπειδὰν φράζει, Φόρμιγγι κιθαρίζειν· (Ἰλ: Σ'. ς. 569.) καὶ λύρῃ κιθαρίζειν: ὡς ἐν τῷ εἰς τὸν Ἑρμῆν ὕμνῳ· (ς. 422.) Ἔνθα ταῖς φωναῖς ταῖς δε κέχρηται ἀδιαφόρως. Ὁ δὲ Εὐσάθιος γράφει, ὅτι ἡ χέλυς ἐκαλεῖτο πᾶσα κιθάρα.

Ἐντεινόμενα δ' ἦν τὰ τοιαῦτα ὄργανα ἐν ἑπτὰ χορδαῖς, αἳ τὰ πλεῖστα ἐξ ἐντοσθίων ἦσαν προβάτε: ὅθεν Ὅμηρος (Ὀδυσ: Φ' ς 408.) ἀποκαλεῖ τὴν χορδὴν: Εὐστρεφὲς ἔντερον οἰός. Ἀλλὰ καὶ ἐκ λίνε προσέτι τὴν χορδὴν συνῆναι, οἴεται ὁ παλαιὸς Σχολιαστὴς, (Ἰλ: Σ'. ς. 570.) ἐν οἷς εἴρηται: λίνον δ' ὑπὸ καλὸν ἄειδε.

Τὰς ἓν χορδὰς ἑπτὰ εἶναι ἐν τῇ ὑπὸ τᾶ Ἑρμᾶ κατασκευαθεῖσῃ χελώνῃ διδάσκει Ὅμηρος (ἐν τῷ εἰς Ἑρμ. ὕμν: ς. 51.)

„ Ἑπτὰ δὲ συμφώνες οἰῶν ἐτανύσσατο χορδάς.

Ὅπερ Ὡράτιος ἅτως ἐξέφρασεν (ἐν τῷ Α'. Βιβλ: Ὠδ: Β'.)

Tuque teſtudo reſonare ſeptem
Callida nervis.

„ (Σὺ δὲ χελώνῃ ἐξηχεῖν ἑπτὰ
„ Νεύροις εἰδυῖα.)

Διὸ Πίνδαρος (Πυθ. Β'.) Φόρμιγγα ἑπτάτυπον ὀνομάζει· καὶ (Νεμ: Ε'.) ἑπτάγλωσσον.

Ἐψαλάσσοντο δ' αἱ χορδαὶ πλήκτρῳ (ἐν Ὕμν: τῷ εἰς τὸν Ἑρμ: ς. 55.)

„ Πλήκτρῳ ἐπειρήτιζε κατὰ μέρος, ἡ δ' ὑπὸ χειρὸς
„ Σμερδαλέον κονάβησε. . . . . .

Ταὐτὸ συχνάκις ἐπαναλαμβάνεται παρὰ τῷ Λυρικῷ Πινδάρῳ, καὶ δὴ καὶ παρὰ τᾷ Ἀνακρέοντι:

„Ἐλεφαντίνῳ δὲ πλήκτρῳ λιγυρὸν μέλος προαύνων·

Ὡς καὶ παρὰ Οὐϊργιλίῳ (Αἰνειάδ. ς'. ς. 647.)

Et pedine pulsat eburno.

„ . . . . . Καὶ πλήκτρῳ δὲ προαύνει, τῷ ξ' ἐλέφαντος.

Ὅθεν Ἀριστοτέλης (ἐν Α'. Πολιτικ.) Εἰ αἱ κερκίδες ἐκέρκιζον αὐταὶ, καὶ τὰ πλῆκτρα ἐκιθάριζεν. Τοσαύτη δ' ἦν περὶ τοῦτο ἡ παρατήρησις, ὥστε οἱ Λακεδαιμόνιοι, ἐπιμαρτυρέντος Πλατάρχου, ψάλτην ἐπιδημήσαντα ἐζημίωσαν, ὅτι δακτύλοις κιθαρίζει. Τὸ δὲ τοιοῦτον πλῆκτρον, μὴ ἔτω λεπτὸν ὑπάρξαι, δῆλον ἐξ ὧν Αἰλιανὸς (ἐν Βιβλ: ΙΒ'.) γράφει: ὅτι τῷ πλήκτρῳ τὸν Λῖνον Ἡρακλῆς διεχρήσατο, ὑφ' ἧ τὴν Μουσικὴν ἐδιδάσκετο. Καὶ ἐξ ὧν Στρατόνικος (παρὰ τῷ Ἀθηναίῳ ἐν τᾷ Η'. Βιβλ.) φησὶν: ὅτι διαφέρει τὸ πλῆκτρον τοῦ σκήπτρου: Ἕτερον, ὦ Βασιλεῦ, σκῆπτρον, ἕτερον δὲ πλῆκτρον· ὡς εἴτις καὶ τετανὶ μέσον χωρεῖν ἐμφέροιτο.

Συνῆπτον δὲ τῇ τῆς κιθάρας ἠχῇ τὴν ἐκ τῆς φωνῆς: ὡς Ἑρμῆς (ἐν τῷ εἰς αὐτὸν Ὕμνῳ. ς. 424.)

„ . . . . Τάχα δὲ λιγέως κιθαρίζων
„ Γηρύετ' ἀμβολάδην, ἐρατὴ δέ οἱ ἕσπετο φωνή.

Παραπλησίως (Ἰλ: Α'. ς. 603.) τοῦ Ἀπόλλωνος τὴν φόρμιγγα πλήσσοντος, αἱ Μοῦσαι

„ . . . . . Ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ.

Καὶ τοῖς Ἀργοναύταις δ' Ὀρφεὺς:

„ . . . . . Ἑλὼν φόρμιγγα λιγείαν,
„ Ἐκ σόματος μελίγηρυν ἰεὶς ἀπέπεμπεν ἀοιδήν.

Ἄειδον δὲ ἄδοντες, διαφόρων πέρι, θείων τε δὴ πραγμάτων, καὶ ἀνθρωπίνων. Οὕτως Ἑρμῆς ἀνύμνει Θεὸς ἀθανάτες, καὶ χθὼν, καὶ ὅπως ἕκαστα ἐπὶ τὸ παντὸς ἐγένετό τε, καὶ διατέτακται. Ὡσαύτως Ὀρφεὺς, παρὰ τῷ Κενταύρῳ Χείρωνι, περὶ τῆς ἀρχῆς ἥδε τῶν ὄντων, καὶ ὅσα συνέκυρσεν ἀνέκαθεν ἄξια μνήμης. Παρὰ δὲ τῷ Οὐιργιλίῳ (Αἰνειάδ. Δ': ς. 744.)

. . . . . Citharâ crinitus Iöpas
Perſonat auratâ, docuit quae maximus Atlas:
Hic canit errantem lunam, ſolisque labores. κξ.

„ . . . . . (Κιθάρῃ δὲ κομήτα Ἰώπας
„ Χρυσέῃ ἐξήχει, τὰ μέγας μυθέσκετο Ἄτλας·
„ Μήνην πλαγκτὴν μέλπεν, ἰδ' ἠελίοιό τε μόχθους. κξ.)

Καὶ ἡ Ἑλένη δὲ ὁμοίως παρὰ τῷ Θεοκρίτῳ (ἐν Εἰδυλλ: ΙΗ'.) ἐγέραιρε τὰς Θεάς:

„ Ἄρτεμιν ἀοίδοισα, καὶ εὐρύσερνον Ἀθάναν.

Ὁ δὲ Δημοδόκος (Ὀδυσ: Θ'. ς. 266.) τὴν Ἄρεως καὶ Ἀφροδίτης μέλπει κλεψιγαμίαν. Καὶ τόγε νεῖκος τὸ Ὀδυσσέως τε καὶ Ἀχιλλέως· (αὐτ: ς. 75.) καὶ τὰ περὶ τὸ ἐπὶ Τροίας δορείᾳ ἵππῳ: (αὐτ: ς. 502.) Καὶ Φήμιος δὲ ἦσε τὰ περὶ τῆς τῶν Ἀχαιῶν ἐπανόδε. (Ὀδυσ. Λ'. ς. 325.) Ἀχιλεὺς δὲ ἄειδε κιθαρίζων, κλέα ἀνδρῶν (Ἰλ Ι'. ς. 189.) ὡς φησὶ καὶ Κικέρων ἐν τοῖς Τσκυλανικοῖς. Καὶ ὁ Κέν-

ταυρος δὲ Χείρων περὶ τῆς μάχης ἄδει τῆς Λαπιθῶν καὶ Κενταύρων. Ὡσαύτως ἐν τῷ Θ'. τῆς Αἰνειάδ. (ς. 217.) Κρηθεὺς:

Semper equos, atque arma virûm pugnasque canebat.

„ (. . Ἵππους τ' ἀνέρων ἤειδε, καὶ ὅπλ' ἰδὲ δήϊος)

Ὅλως δὲ παρὰ τοῖς ἀρχαίοις ἐκράτει τὸ ἔθος, τὰ ἐπὶ τῶν μνήμης ἀξίων μολπὰς συντιθέναι· οἷον ἦν τὸ ἀρχαιότατον ἆσμα ὁ Λῖνος, περὶ ὃ Εὐσάθιος (Ἰλ: Σ'. ς. 570.) καὶ Παυσανίας (ἐν τοῖς Βοιωτικοῖς.) Τοιάνδε καὶ γὰρ ἔσεσθαι τὴν ᾠδὴν, φησὶν Ὅμηρος (Ὀδυσ: Ω'. ς. 199.) περὶ τῆς Ἀγαμέμνονος φονοκτονίας, τῆς ὑπὸ Κλυτεμνήστρης :

„ Στυγερὴ δὲ ἀοιδὴ ἔσσετ' ἐπ' ἀνθρώπους.

Ὡσαύτως δὲ καὶ περὶ τὸ Ὀρέστ, τὸ Κλυτεμνήστραν ἀνηρηκότος, καὶ Αἴγισθον. (Ὀδυσ: Γ'. ς. 204.)

„ Οἵσι κλέος εὐρὺ, καὶ ἐσσομένοισιν ἀοιδήν.

Τὸ τοιοῦτον δ' ἔθος οἷον ἱερὸν παρατηρεῖσθαι τοῖς Λακεδαίμοσι τὸν „ἐς ἀεὶ χρόνον, φησὶν Ἀθήναιος (βιβλ: ΙΔ'.) Τηροῦσι γε νῦν „τὰς ἀρχαίας ᾠδὰς ἐπιμελῶς· πολυμαθεῖς τε εἰς ταύτας „εἰσὶ, καὶ ἀκριβεῖς. Αἰτιᾶται δὲ ὑπὸ ἀκολασίας ἀν' Ἑλλάδα την ἀρχαίαν μουσικὴν παραφθαρῆναι· ἀτὰρ εὐχῆς ἄξιον τίθεται τὸ κατὰ τὴν τῶν παλαιοτέρων συνήθειαν τὰς Θεῶν ὕμνους, καὶ τὰς Ἡρώων ἀνδραγαθικὰς πράξεις, δι' ᾠδῆς αἰνίζεσθαι.

Ἐν ταῖς ἐπιφανεστέραις τῶν Θεῶν ἱεροτελεστίαις ἡ περὶ ἧς ὁ λόγος μελπωρὴ χώραν εἶχεν, ὡς πάρεστιν ἰδεῖν ἐν τῷ εἰς τὸν Ἀπόλλωνα ὕμνῳ· ἐν ᾧ δὴ Ἰάονες λέγονται σὺν γυναιξί τε καὶ τέκνοις συναγείρεσθαι ἐπὶ τῆς Δήλου, καὶ ἐν μολπαῖς τὸν Ἀπόλλωνα ἐπιτέρπειν: καὶ

πρό γε δὴ τῶν ἄλλων οἱ Δηλιάδες νεάνιδες, οἱ τῦ Ε'κατηβελέταο θεράπαναι. (ς. 157.)

„ Αἵ τ' ἐπεὶ ἄρ πρῶτον μὲν Α'πόλλων' ὑμνήσωσιν,
„ Α'υτις δ' αὖ Λητώ τε καὶ Α'ρτεμιν ἰοχέαιραν,
„ Μνησάμεναι ἀνδρῶν τε παλαιῶν, ἠδὲ γυναικῶν
„ Ὕμνον ἀείδουσιν, θέλγουσι δὲ φῦλ' ἀνθρώπων.

Ὕμνος ἦν τὸ τοιόνδε εἶδος τῶν ἀσμάτων ἐκάλει: ἧς ὁ Θεόκριτος (ἐν Εἰδυλ: ΙΖ'.) ἀθανάτων γέρας ἐπονομάζει. Θεοῖς δὲ τῶν τοιῶνδε ὕμνων ἄλλοις ἄλλοι ἀνῆκον, ὡς ἐν ἰδιαιτέροις ὀνόμασι διακρίνονται „παρὰ Πολυδεύκει· (ἐν Α'. Βιβλ: Κεφ: Α'.) Παιᾶνες μὲν γὰρ „οἱ εἰς Α'πόλλωνα ὕμνοι ἀπεκαλοῦντο· ὕπιγγοι δὲ, ἢ οὔπιγγοι, „οἱ εἰς Α'ρτεμιν οἱ Διονύσου Διθύραμβοι· οἱ Δήμητρος „Γ'ηλοι· καὶ οἱ παραπλήσιοι. Ε'γκρίνεται δὲ ὁ τῦ Α'πόλλωνος, ἐξ οὗ καὶ οἱ λοιποὶ Παιᾶνες προσείρηνται. Ε'κείνῳ δ' ἦν οἱ Α'χαιοὶ προσεχρήσαντο, ἐπὶ τῆς δημοτελοῦς, ἧς προσήνεγκαν τῷ Α'πόλλωνι θυσίας: (Γ'λ: Α'. ς. 472.)

„ Εὖ τε πανημέριοι μολπῇ Θεὸν ἱλάσκοντο,
„ Καλὸν ἀείδοντες παιήονα . . . . . .

Η'ν δὲ ἄρα τοῖς πάλαι Η'ρωσιν ἡ περὶ τὴν Μουσικὴν σπουδὴ συνήθης καὶ φίλη, ὡς καταφανὲς ἐξ Η'ρακλέους, καὶ Α'χιλλέως, καὶ Η'τίωνος τῦ Θηβῶν βασιλεύοντος· καὶ ἐκ τῦ Χείρωνος, καὶ ἐξ ἄλλων. Α'λλὰ καὶ ἐφεξῆς ἐν ὑστέροις χρόνοις ἡ Μουσικὴ, τοῖς ἐν ἀρχαῖς ἔσιν ἀνδράσιν ἦν περισπούδαστος· ἥπερ ἐκ Θεμιστοκλέους δῆλον, ὃς παραιτηθεὶς ἐπιχειρῆσαι τῇ λύρᾳ, ἐν ἀπαιδεύτοις λελόγισται. Οἱ δὲ Μουσικοὶ,

ἧς περ ἀοιδὸς Ὅμηρος ὀνομάζει, ἐν παντὶ εἴδει σοφίας ἐτύγχανον ἐνασκέμενοι, ὃ σαφὲς ἐκ τῆ Φημίε καθίσαται, ὃν ἡ Πηνελόπεια (Ὀδυσ: Λ'. ς. 338.) ἔφη πάντα ἐπίσαθαι:

„ Ἔργ' ἀνδρῶν τε Θεῶν τε, τά τε κλείουσιν ἀοιδοί.

Ὅθεν αὐτὸν Εὐσάθιος, Θείων τε καὶ ἀνθρωπίνων πραγμάτων ἐπισήμονα ὀνομάζει· τᾷ ὄντι δὲ οἱ Μουσικοὶ τὸ πάλαι τῆς τῶν Φιλοσόφων ἀπήλαυον ἐπωνυμίας, ὡς ἐπιμαρτυρεῖ ὁ Σχολιαστὴς: (Ὀδυσ: Γ'. ς. 270.) Τὸ ἀρχαῖον οἱ ἀοιδοὶ Φιλοσόφων τάξιν ἐπεῖχον. Καὶ Αἰσχύλος δὲ αὐτὲς Σοφισὰς καλεῖ:

„ Εἶτ' ἔν Σοφισὴς καλὰν παραπαίων χέλυν.

Καὶ Πίνδαρος (Ἴσθμια Ε'.)

„ . . . . Μελέταν δὲ σοφισαῖς
„ Διὸς ἔπατι πρόσβαλον σεβιζόμενοι.

Ὅ τε Σχολιαστὴς ἐπιφέρει: Σοφισὰς καὶ Σοφὲς ἔλεγον τὲς Ποιητάς. Ὅτι δὲ σωφροσύνης αὐτοὶ καὶ ἀρετῆς ἁπάσης καθηγηταὶ ὑπῆρχον, μάρτυς ἐσὶν Ἀθήναιος (ἐν Βιβλ: Α'.) Σῶφρον δέ „τι ἦν τὸ τῶν ἀοιδῶν γένος, καὶ Φιλοσόφων διάθεσιν ἔπεχον. Διὸ καὶ Ἀγαμέμνων ἀποδημῶν, παρέλιπε τῇ Κλυτεμνήσρᾳ, ἀοιδὸν Φύλακα, καὶ παραινετῆρα τινά. (Ὀδυσ: Γ'. ς. 270.) ὃς ἀρετὰς γυναικῶν διερχόμενος, ἀνῆψε τινὰ αὐτῇ πρὸς τὰ καλὰ φιλοτιμίαν, καὶ ταύτῃ συνδιατρίβων, ἀπὸ τῶν φαύλων ἀπῆγε λογισμῶν καὶ διενθυμήσεων· διόπερ Αἴγισθος ἐ πρόσθεν διέφθειρε τὴν γυναῖκα, πρὸ τῆ τὸν ἀοιδὸν ἀποκτεῖναι ἐν Νήσῳ ἐρήμῃ: τοιγάρτοι ἐν γένει ὁ αὐτὸς Ἀθήναιος (ἐν Βιβλ: ΙΔ'.) ἀποφαίνεται τὴν ἀρχαιοτάτην τῶν „Ἑλλήνων σοφίαν ἐν τῇ Μουσικῇ μάλισα ὑφεσηκέναι: τὸ δὲ ὅλον

„ἔοικε (φάσκων) ἡ παλαιὰ τῶν Ἑλλήνων σοφία τῇ Μουσικῇ „μάλιστα δεδομένη· ἐξ ἧς καὶ ἡ Ὁμήρου, καὶ Μουσαίου, καὶ Λίνου Θεολογία, ἐν ῥυθμοῖς μουσικοῖς ὑπῆρχε συντεταγμένη, καθ' ὃν πε „ζῆλον καὶ ἡ Ὁμήρου πᾶσα (φησὶ) κατεσκεύασαι Ποίησις· ὃς διὰ τὸ „μεμελοποιηκέναι πᾶσαν αὐτῆ τὴν ποίησιν, ἀφροντιστὶ τὰς „πολλὰς ἀκεφάλους ποιεῖ στίχους, καὶ λαγαρὰς, ἔτι δὲ „μετρους.

Τὰ δ' ἄλλα κοινῆ ἦν ἡ Μουσικὴ ἐν χρήσει ἐπὶ τῶν ἑστιάσεων, ὡς ἐξ ὧν προείρηται φανερὸν· διὸ καὶ Ὅμηρος τὴν κιθάραν τοῖς εὐωχεμένοις οἷον συνεταιρίζεται, (Ὀδυσ: Ρ'. ς. 271.)

„ . . . Ἦν ἄρα δαιτὶ Θεοὶ ποίησαν ἑταίρην.

Ὁ δ' Διογενιανὸς ἀναφέρει παρὰ Πλουτάρχῳ (Συμποσ: Βιβλ: Ζ' Κεφ: Η'.) Καὶ Πίνδαρος (Ὀλυμπ: Ὠδῇ Α'.)

„ Οἷα παίζομεν φίλαν
„ Ἄνδρες ἀμφὶ θαμὰ
„ Τράπεζαν . . . . .

Ὁ δὲ καὶ Ὡράτιος περὶ τῆς χελώνης ἔφη, ὡς αὕτη ἐστὶ:

Grata nunc, & divitum menſis, & amica templis,

„(Νῦν χαρίεσσ' ἀφέναν δαίταις, νηοῖσι Θεῶν τε.)

Ἀλλὰ καὶ ἐν ἄλλοις ἡ ἀοιδὴ ἐπεπόλαζεν: οἷον ἐν ταῖς παρεμβολαῖς ταῖς τῶν Τρώων: (Γλ: Κ'. ς. 13.) ἦχα

„ Αὐλῶν, συρίγγων τ' ἐνοπή . . . . . .

Καὶ τοῖς ἀγροῖς δὲ, ἐν καιρῷ τρυγητῆ (Γλ: Σ'. ς. 569.)

„ Τοῖσιν δ' ἐν μέσσοισι πάϊς Φόρμιγγι λιγείῃ
„ Ἱμερόεν κιθάριζε . . . . . .

Καὶ οἱ νομεῖς δ' αὐτόθι: (ς. 526.) διῆγον τερπόμενοι σύριγξιν. Ἀλλὰ καὶ Ἀγχίσης ἐν τῷ ταθμῷ βουολέων κιθαρίζει. Εἰς τόδε δ' ἀιήκει, καὶ τὰ Θεοκρίτου βουκολικὰ, καὶ τὰ Μόχου, καὶ τὰ Οὐϊργιλίου, καὶ ἄλλων.

ΚΕΦΑΛ. Ε'.

Περὶ Ὀρχήσεως.

Ἐκ γειτόνων τῇ ἀοιδῇ ἦν ἡ ὄρχησις: ὑφ' ᾧ δὴ ὀνόματι Πλάτων (ἐν τῷ Θεαγένει:) τὴν Μουσικὴν ὁρίσας, ταύτην εἶναι φησὶν, ἣ τῶν „ἀδόντων ἐπισάμεθα ἐν τοῖς χοροῖς· ἄρχειν. Διὸ καὶ παρ' Ὁμήρῳ ἐς ἀεὶ μονονυχὶ συνάπτονται, ἐξόχως ἐν ἐσιόντεσιν, ὧν περ αὐτὰς ἐπαγλαίσματα ὀνομάζει. (Ὀδυσ: Α'. ς. 152.)

„Μολπή τ' ὀρχηστὺς, τὰ γὰρ τ' ἀναθήματα δαιτός.

Ἄτινα Διογενιανὸς ἀπροσάματα ὀνομάζει παρὰ Πλουτάρχῳ· ἔνθεντοι Ἀθήναιος, περὶ τῶν Ὁμηρικῶν λέγων Ἡρώων φησὶν: Ἐχρῶν- „το ἐν τοῖς συμποσίοις καὶ κιθαρῳδοῖς δὲ ὀρχησταῖς: καθ' ὃν δήπου τύπον καὶ Δίων ὁ Χρυσόστομος (ἐν Λόγ: τῷ πρὸς τὸν Ἀλε- „ξανδρ.) τὸν μὲν ἄλλον ἀνθρώπου ἡ μέθη πρὸς ᾠδὴν τρέπει „καὶ ὄρχησιν· παρ' ὑμῖν δὲ τοὐναντίον· ἡ γὰρ ᾠδὴ, μέθην „ἐμποιεῖ καὶ ὄρχησιν.

Καὶν τοῖς ἱεροῖς δὲ τῶν Θεῶν τὴν ὄρχησιν τῇ ἀοιδῇ συνῆπτον, ὡς ἴσμεν τῷ Ἀπόλλωνι γίνεσθαι εἰωθὸς ἐν Δήλῳ· (ἐν ὕμν. ς. 149.) Διηνεκὴς γὰρ ἐκεῖ τελεῖσθαι τὴν ὄρχησιν Λουκιανὸς διδάσκει· (ἐν τῷ περὶ Ὀρχήσ:) οὗ δεῖγμα τὸ παρὰ Πλουτάρχῳ, (εἰς βίον Θησ:)

„ὅτι ἐχόρευτε μετὰ τῶν ἠϊθέων χορείαν, ἣν ἔτι νῦν ἐπιτε-
„λεῖν Δηλίοις λέγουσιν. Οὕτω καὶ αἱ Ἀτθίδες Θυάδες ἐπὶ τὰ ἐν
Δελφοῖς ἱερὰ Βάκχου κατ' ἐνιαυτὸν προσφοιτῶσαι, καθ' ὁδὸν ὀρχεῖσθαι
εἰώθεσαν, ἐξόχως ἐπὶ τῆς Παιάνος, ἣν Ὅμηρος καλλίχορον ἀπεκάλε-
σεν· (Ὀδυσ: Λ'. ς. 580.) καθάπερ σημειοῖ Παυσανίας. (ἐν τοῖς
Φωκικοῖς.) Ἀλλὰ τὰς τῶν Ἑλλήνων ἀρχαίους, εἰς Θεῶν τιμὴν χορείας
συγκροτεῖν εἰωθέναι ἐπὶ τῶν δημοτελῶν μάλιστα πανηγύρεων, ὑπὲρ
ἀριθμὸν εἰσὶν οἱ μαρτυροῦντες ἐν τοῖς ἰδίοις αὐτῶν συγγράμμασιν.

Διττὰς δ' ὀρχήσεως εἴδη παρατετηρηκὼς ἐστὶν Ἀθήναιος παρ' Ὁμή-
„ρῳ: Ὀρχήσεις γὰρ εἰσὶ (φησὶ) παρ' Ὁμήρῳ, αἱ μέν τινες
„τῶν Κυβιστητήρων, αἱ δὲ διὰ τῆς σφαίρας. Ὁ μὲν ἓν Κυβιστητὴρ,
τὸν αὐτὸν ᾧ καὶ ὁ πεταυριστὴς τρόπον, ἐπὶ κεφαλῆς περιεκυλίετο, σπει-
ροειδῶς περιστέλλων τὸ σῶμα, καὶ πόδας δὲ καὶ χεῖρας ἔνθεν τε καὶ
ἔνθεν διεξάγων, καθάπερ Ὀδυσσείας ἐν Δ'. ς. 18)

„. . . . Δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτὰς
„Μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσον.

Ἀλλά γε διὰ σφαίρας ὀρχησαμένη ἀναγινώσκεται Ναυσικάα:
(Ὀδυσ: Ζ'. ς. 100.) σὺν ταῖς ἑαυτοῖς συμπαίζουσα ἀμφιπόλοις.
Ἀγαλλὶς δὲ ἡ Κερκυραία, ἡ τὸ τρόπον τῆς τοιᾶς δὲ χορείας εὑρέτις ᾄδεται,
ὡς Ἀθήναιος μαρτυρεῖ. Παρὰ δ' ἓν Φαίαξιν (Ὀδυσ: Θ'. ς. 3 2.
κξ.) ἡ διὰ τῆς σφαίρας παιδιὰ ἤσκηται, συνεπισυναπτομένης ἅμα
καὶ τῆς ὀρχήσεως. Καί περ ἀπὸ θατέρας θατέραν Ἀθήναιος ἐσὶ διας-
τέλλων· διέξεισί τε χωρὶς τὰς Φαίακας συνιόντας ἐναλλὰξ συνορχεῖσθαι,
ἐν ᾧ ἄλλοι ὄρθιοι ἱσάμενοι τὰς ῥυθμὰς τῇ τῶν δακτύλων συνεπικροτησει
ἐξήχεν.

Ἔσι δ' ἐπίδηλον καὶκεῖνο, ὅτι καὶ σφαίρας ἅτερ τὰς ὀρχήσεις συ-
νίσων, αἰζηοί τε ἅμα καὶ παρθενικαὶ χερσὶν ἐναλήλως ζευγνύμενοι,
ἐπὶ τῆς χοροστασίας, τῆς πρὸς παράδειγμα τὸ τῦ Δαιδάλε παρὰ τὴν

Κνωσσὸν περιγεγραμμένης, ἐν τῇ τῦ Ἀχιλλέως Ἀσπίδι. Παρατηρεῖ τοίνυν ἐν τέτοις Εὐσάθιος, κοινῇ τὸς πλείσες ἠγεῖσθαι, ὅτι πάλαι μὲν ἦν ἔθος τῦ χωρὶς τὸς ἄνδρας, καὶ τὰς γυναῖκας ἐν μέρει κροτεῖν τὰς χορείας· τὸ δὲ δὴ πρῶτον, τὸς συναμφοτέρως διαπαθέντας ἑπτὰ νεανίσκες, καὶ τὰς ἰσαρίθμες νεάνιδας ἀναμὶξ συνορχήσασθαι, ὑφ' ἡγεμόνι τε καὶ χοροστάτῃ τῷ Δαιδάλῳ. Ὁ δ' Ἀλικαρνασσεὺς Διονύσιος (ἐν τῷ Ζ'. Βιβλ: τῶν Ῥωμαϊκῶν Ἀρχαιολογ:) προσεπισημιῆται, ἀρχαῖον ἂν Ἑλλάδα γενέσθαι τὸν τύπον, τῦ νεανίσκον ὀρχεῖσθαι ἔνοπλον, ἥνπερ χορείαν πυρρίχην εἶπον· ἐν γῆν τῇ τοιᾷδε ὀρχήσει χρύσεα „ἔφερον ξίφη, οἱ δὲ, μαχαίρας εἶχον χρυσείας, ἐξ ἀργυ„ρέων τελαμώνων ἐξηρτημένας. Τῦτο δ' ἄρα Κρησὶν ὑπῆρχε „πάτριον, ἢ μαρτυρεῖ Νικόλαος παρὰ τῷ Στοβαίῳ. Οἱ δὲ Κρητῶν „παῖδες ἀγελάζονται κοινῇ, καὶ τὴν ἔνοπλιον πυρρίχην „ἐκπονῦντες, ἣν τινα πρῶτος εὗρε Πύρρος, Κωτωνιάτης „Κρῆς τὸ γένος. Φέρει δὲ τὰ παραπλήσια καὶ ὁ τῦ Ὁμήρε Σχο„λιαστής. (Ἰλ: Π'. ς'. 617.) Ἐπυρρίχιζον γὰρ (φησὶ) τοῖς ἅ„πλοις οἱ Κρῆτες πρὸς ἄσκησιν τῶν πολεμικῶν.

Τὸν τοίνυν τρόπον τόνδε, ἡ ἔρχησις τοῖς παλαιοῖς, οἷον πολεμικήτις ὑπῆρχεν ἄσκησις, προγύμνασμα ὅσα τῦ πολέμε, φησὶν Ἀθήναιος περὶ τῶν Λακεδαιμονίων λέγων: παρ' οἷς, καὶ μετὰ τὸς ἄλλες τῶν Ἑλλήνων ἐπιδιέμεινε. (Βιβλ. ΙΔ'.) Διὸ Σωκράτης τὸς ἄριστα „ὀρχεμένες, ἀρίστες εἶναι ἀπεφήνατο τὸς αὐτὸς καὶ τῇ μάχῃ. Οἱ δὲ „Θεὸς χοροῖς κάλλιστα τιμῶσιν, ἄριστοι ἐν πολέμῳ. Ταύτῃ τοι καὶ Αἰνείας τὴν Μηριόνε ἰσχὺν μεγαλύνει, διότι ὀρχηστὴς ἀγαθὸς ὑπῆρχεν. (Ἰλ: Π'. ς'. 617.)

„Μηριόνη, τάχα κέν σε, καὶ ὀρχηστῆν περ ἐόντα
„Ἔγχος ἐμὸν κατέπαυσε διαμπερὲς, εἰ σ' ἔβαλόν περ.

Ἀλλὰ γὰρ Πρίαμος τὲς ἰδίας υἱεῖς κατελέγχει, (Ἰλιάδ: Ω'. ς'. 261.) καθότι ἦσαν:

„ Ψεῦσαί τ', ὀρχησαί τε, χοροιτυπίῃσιν ἄριστοι.

Αὐτοῖς γεμὴν τρυφερήν τινα καὶ θηλυπρεπεστέραν τὴν ὄρχησιν ταύτην ἐπεγκαλεῖ, οἵα καὶ τῷ Πάριδι τὴν κιθάραν ὁ Ἕκτωρ: (Ἰλ. Γ'. ς. 54.) Ἀμέλει τοι, ὡς μὴ τὰ κλέα τῶν Ἡράων δι' αὐτῆς ᾄδοντι, „καθάπερ Ἀχιλεὺς· ἀλλὰ ἀκόλαστα ἔπη, μέλη μοιχικά τινα, „καὶ οἷα αἱρεῖν γυναῖκας καὶ θέλγειν: ὡς Αἰλιανὸς φησὶν, (ἐν τῷ Θ'. Βιβλ. Κεφ. ΛΗ'.)

ΚΕΦΑΛ. ς'.

Περὶ Γυμνασίων παντοίων.

Ὑπῆρχον δὲ παρ' Ἕλλησι καὶ γυμνασίων γένη παντοῖα: οἷον τὸ Ἅλμα, ὁ Δρόμος, ὁ Δίσκος, ἡ Πάλη, ἡ Πυγμὴ· τὰ εἰς τιμὴν Θεῶν μάλιστα συνισάμενα, ἐν δημοτελέσιν Ἑορταῖς τε καὶ Πανηγύρεσιν, ὡς αὐτοὶ ἐξωνόμαζον ἥπερ (ἐν τῷ εἰς τὸν Ἀπόλ: ὕμν:) περὶ τῶν Ἰώνων εἴρηται.

„ Οἱ δέ σε πυγμαχίῃ τε, καὶ ὀρχηθμῷ, καὶ ἀοιδῇ
„ Μνησάμενοι τέρπουσιν, ὅταν ςήσωνται ἀγῶνα.

Τὸ δ' αὐτὸ χώραν εἶχε καὶ Ὀλυμπιάσιν εἰς τιμὴν Διὸς (Ἰλ. Γ') καὶ Πυθοῖ δὲ, ἢ ἐν Νεμέᾳ, καὶ Ἰσθμοῖ, εἰς τιμὴν Ἀπόλλωνος καὶ Ποσειδῶνος· ἢ (ὡς ἄλλοι φασὶν) Παλαίμονος καὶ Ἀρχεμόρου· ἐν οἷς δὴ τέτταρσι τόποις τῶν συνελεύσεων, ἀγωνίσματα ἐτελεῖτο εἴδει διαφέροντα, ἐπάθλων τοῖς ἀριςεύσασι προκειμένων, ἅπερ Λουκιανὸς συμπερι-

„λαβὼν, ἐν τῷ περὶ Γυμνασίων: Ὀλιμπιάσι μὲν (φησὶ) σέ-
„φανος ἐκ κοτίνου· Ἴσθμοῖ δὲ, ἐκ Πίτυος· ἐν Νεμέᾳ δὲ, Σε-
„λίνων πεπλεγμένος· Πυθοῖ δὲ, μῆλα τῶν ἱερῶν τῷ Θεῷ.
Ἀλλὰ καὶν ταῖς Νεκρικαῖς κηδεύσεσιν ἀνδρῶν τινῶν τῶν ἐν ἀρχαῖς ἐπι-
φανεστέρων, ἔθος ἐκράτει, τοιάδε γυμνάσματα ἐπικαθιζᾶν· ὡς ἰδεῖν
ἐσὶν (Ἰλ: Ψ'. ς.) δὶ ὅλης τῆς Ῥαψῳδίας γεγονὸς ἐπὶ Πατρόκλῳ. Καὶ
ξένου δέ γε χάριν τῶν τινος λαμπροτέρου ἐπιδημοῦντος, ποικίλοι ἆθλοι
παρὰ τῶν ἀρχόντων ἐπετελεῖτο: ὡς Ὀδυσσεῖ συνέβη παρὰ τοῖς Φαί-
αξιν: (Ὀδ: Θ'. ς. 258.) Ἔνθα ἐννέα τὸν ἀριθμὸν διὰ κλήρων ἐτάχ-
θησαν, οἱ καλῶς ἕκασα ἀγωνοθετήσοντες.

„Αἰσυμνῆται δὲ κριτοὶ ἐννέα πάντες ἀνέσαν,
„Δήμιοι, οἳ κατ' ἀγῶνας ἐυπρήσσεσκον ἕκασα.

Ἀλλ' ἐν τοῖς Πατρόκλου κηδευτικοῖς ἀγῶσιν, Ἀχιλεὺς αὐτὸς ἦν
ὁ ἕκασα διατιθεὶς· αὐτὸς γὰρ ἐν λάχει τὸς ἀγωνισομένους ἀντιπαρε-
ξάγων ἀλλήλοις, τὰ προτεθέντα ἔπαθλα ἐπιβραβεύει τοῖς ἀριστεύσεσιν.

Ἅλματι παρὰ τοῖς Φαίαξιν Ἀμφίαλον διενεγκεῖν εἰρηται τῶν ἄλ-
λων· (Ὀδ: Θ'. ς. 128.)

„Ἅλματι δ' Ἀμφίαλος προφερέστερος ἦεν.

Τῶ δὲ δρόμου, τῶ μὲν πεζικῶ, τῶ δὲ ἱππικῶ τελεμένων, πεζοὶ μὲν
ἠγωνίσαντο ἐκ τῶν Φαιάκων ἐκεῖ: Λαοδάμας, Ἅλιος, καὶ Κλυτόνηος:

„Τοῖσιν ἀπὸ νύσσης τέτατο δρόμος· (αὐτ: ς. 121.)
Ὧν δὴ ὁ ἕκατος προέβη πρῶτος (αὐτ: ς. 123.) Παραπλήσιον δὲ συ-
νέβη, Αἴαντί τε τῷ Οἰλέως, καὶ Ὀδυσσεῖ, (Ἰλ: Ψ'. ς. 754.)
ἄλλοτε συμπαραθέσθαι: ὅτε Ὀδυσσεὺς φθάσας προῆλθε, τῶ Αἴαντος
μέντοι παρολισθήσαντος: (αὐτ: ς. 774.)

Καὶ ἐν συνωρίδι δὲ ἵππων πλείονες ἠγωνίζοντο ἅρματι. Ὄρος δὲ αὐτοῖς διφρελατῆσι, ξύλον ἴδρυτο ἀπὸ δρυὸς, ἢ πίτυος, πηχυαῖον τῷ μήκει, ὄρθιον ἑξηκὸς, ᾧ πέτραι δύο προσέκειντο ἑκατέρωθεν: Ὁ δὲ πρῶτος ἀνακάμπτων ὑπὲρ τὸν ὄρον, τὴν νίκην ἤρετο. Ἀλλ' ἐχρῶντο οἱ παλαιοὶ τοῖς ἵπποις καὶ ἁπλῶς ἄνευ διφρε, οἷς συνεζευγμένοις ἐποχέμενοι, ἀπὸ θατέρε ἐπὶ θάτερον ἐναλλὰξ ἐν τῷ τρέχειν μετέβαινον· τῦτο δὲ κελητίζειν ἔλεγον· ὡς ἐν Ἰλ: (Ο'. ς. 683.) Ἔνθα καὶ τέτταρες ἵπποι, ὑφ' ἑνὸς ἀνδρὸς, ἔτως ἐπὶ δρόμον ἐλάυνονται.

„ . . . . Ὁ δ' ἔμπεδον ἀσφαλὲς αἰεὶ
„ Θρώσκων, ἄλλοτ' ἐπ' ἄλλον ἀμείβεται: οἱ δὲ πέτονται.

Ἔστι δὲ Δημήτριος, ὁ παραδὲς τῇ μνήμῃ, ἑωρακέναι ποτὲ τὸν οὕτω μεθιππαζόμενον. Defultores, τὲς τάυτη γε κελητίζοντας οἱ Ῥωμαῖοι ἐκάλεν· (οἷον εἰπεῖν μεταθρώσκοντας.) Ἀλλ' ἵπποις προσεχρῶντο ἐπὶ τέτῳ, μόνον δυσὶν, ὡς ἰδεῖν ἔστι παρὰ Πομπηΐῳ τῷ Σέξτῳ. Ἀλλὰ γὰρ Εὐσαθίῳ δοκεῖ, τετὶ κατὰ πρόληψιν ὑπὸ Ὁμήρε γεγράφθαι· ἐν γὰρ τοῖς Τρωικοῖς οἱ τοιοίδε Κελητισαὶ ἔπω δῆλοι ἐτύγχανον, ὃ ἢ Γελλίῳ σεσημείωται· (Βιβλ: Ι'. Κεφ: Ις'.)

Ἦν δὲ καὶ ἄλλο ἀγώνισμα, τὸ, σῶμα ὁποιονῦν βάρος ἔχον, ἀφιέναι· ὅπερ Ὅμηρος δίσκον ἐκάλει. Ὁ γὰρ δίσκος βαρὺς ἦν λίθος (κατὰ τὸν Σχολιαστὴν·) ὃν ἔριπτον οἱ γυμναζόμενοι: ὃς ἂν δηλονότι πορρωτέρω ἀφήσειε, πρὸς ἀλλήλες ἐρίζοντες· τῆθ' ὃ ἢ σημείοις προσεθεῖσι δῆλον ἐπικαθίσων. Οἷον δὴ Ἐπειὸς, καὶ Αἴας ὁ Τελαμώνιος, καὶ Πολυποίτης πρὸς ἀλλήλες ἐρίσαι λέγονται, ἐκείνες τότε ὑπεράκοντίσαντος. Καὶ Ὀδυσσεὺς δίσκῳ πάντας Φαίακας ὑπερέχεν (Ὀδυσ: Θ'. ς. 106. κξ.) Καὶ τῆ Ἀχιλλέως δὲ τὰ πλήθη, (Ἰλ: Β'. ς. 773.)

„ . . . . . Παρὰ ξηγμῖνι θαλάσσης
„ Δίσκοισιν τέρποντο καὶ αἰγανέῃσιν ἰέντες.

Καθὰ καὶ οἱ Πηνελόπης μνηστῆρες, πάροιθεν Ὀδυσσῆος μεγάροιο: (Ὀδυσ: Δ'. ς. 625.) Προσέκειτο δ' αὐτῇ καὶ ἀκόντια καὶ ἕτερα δόρατα, καὶ βέλη τόξοις ἀφιέμενα, οἷον κατὰ τῆς Πελεάδος τῆς ἀπὸ ἰσῆ νηὸς, μηρίνθῳ ἀνηρτημένης. (Ἰλ: Ψ'. ς. 850.) Καὶ κατὰ τῶν πελέκεων διὰ τῆς ὀπῆς διοϊστευόμενα: (Ὀδ: Φ'. ς. 76. καὶ 421.)

Ἦν δ' ἐν χρήσει τοῖς ἀρχαίοις, καὶ ἡ περὶ τὴν παλαισμοσύνην ἄσκησις· τοιάδε ἦν ἡ μέσον Αἴαντος καὶ Ὀδυσσέως συστᾶσα πάλη· οἱ χερσὶν ἀλλήλων ἀντιδραξάμενοι, τῇ καὶ τῇ διεκρέθησαν φιλονεικοῦντες, πότεροι χαμάζε τὸν ἀντιπαλαίοντα προσβδίσειεν. (Ἰλ: Ψ'. ς. 710.) Ὡσαύτως δὲ διεπαλαίσαντο, Ὀδυσσεύς τε καὶ Ἶρος, ὑς ὑπ' ἐκείνῳ ἄπνευς μονονυχὶ καταβέβληται (Ὀδυσ: Σ'. ς. 31. κξ.)

Ἡ δὲ πυγμαχία ἐξησκεῖτο, τῶν χειρῶν πύξ τὰ ἄκρα συσελομένων, καὶ ἱμᾶσι βοείοις περιασφαλιζομένων, αἷς τισιν ἀμφοτέραις ἀλλήλας πλήσσοντες ἔκοπτον: ὡς ἰδεῖν ἐστὶν, Εὐρυάλε τε μεταξὺ καὶ Ἐπωῦ γεγονὸς (Ἰλ: Ψ'. ς. 660. κξ.) Ὁ μὲν δὴν Θεόκριτος (ἐν Εἰδυλ: ΚΒ'.) φοβερὸν ἔφη ἐν πυγμαχίαις ὑπάρξαι τὸν Πολυδεύκην:

„ Χεῖρας ἐπιζεύξαντα μέσοις βοέεσσιν ἱμᾶσιν.

Ὅπερ ἀριδηλότατα φαίνεται, ἐπὶ τῆς μετὰ Ἄμυκε αὐτῷ πυγμαχίας. παραπλησίως δὲ καὶ παρὰ τῷ Οὐϊργιλίῳ (Αἰνειάδ: ἐν Ε'. ς. 401.)

In medio geminos immani pondere ceſtus
Projecit, quibus acer Eryx in proelia ſvetus.
Terre manum, dextroque intendere brachia tergo.

„ (Αἰνὰς βριθοσύνῃ ἥεσάς δύο ἐίψ' ἀνὰ μέσσον,
„ Τοῖς κρατερὸς ποτ' Ἔρυξ ἐν πυγμαχίῃσιν ἐώθει
„ Ἀθλῶν σὺν τρηχύσσιν ἱμᾶσι βραχίονα τείνειν.)

Τὸ μὲν ἓν πάλαι, ἱμάντας εἶχον οἱ πυγμάχοι, ἐκ δέρματος ὠμῆ βοείης συμπεριπλεκομένους, οἱ ἐπὶ τῷ καρπῷ συνεφίγγοντο, τῶν δακτύλων γυμνῶν λειπομένων, ὡς ἂν τοῖς ὄνυξιν αὐτοῖς ἐξείη διασπαράττειν ἀλλήλους καὶ περιδρύπτειν. Μέλιχας (ἴσ: κατ' ἀντίφρασιν:) οἱ παλαιοὶ εἶπον· ὕστερον δ' οἱ κεστοὶ ἐν χρήσει ἐγένοντο, εἰς ὀξὺ τῆ ἱμάντος ἐκλεπτυνθέντος, ἧς δὴ πρὸς τὸν ἀμφοτέρας τῆς χειρὸς καρπὸν ἀμφιπεριδέντο, ὡς ὁ Παυσανίας γράφει ἐν τοῖς Ἀρναδικοῖς. Ἀλλὰ γὰρ Πολυδεύκης (ἐν Βιβλ: Β'. Κεφαλ: Λ'.) φησὶν, ὅτι ἢ βαλάνοις μολυβδίναις ἐνερραμμέναις οἱ κεστοὶ ἐπετραχύνοντο σκληρυνόμενοι· διὸ καὶ τὰς πύκτας ἔφη σφαιρομαχεῖν.

Τοιγαρῆν ἐπί τε τῆς πάλης, καὶπὶ τῆς πυγμῆς ἀποδυόμενοι τὴν ἐσθῆτα, μέσον τὸ σῶμα περιεζώννυντο. Οὕτω καὶ γὰρ περὶ Ὀδυσσέως τε καὶ Αἴαντος, τῶν εἰς πάλην ἀλλήλοις ἀντεξελευσομένων, Ὅμηρος φθέγγεται: (Ἰλ: Ψ'. ς. 710.)

„ Ζωσαμένω δ' ἄρα τώγε βάτην εἰς μέσον ἀγῶνα.

Καὶ Ὀδυσσεὺς δὲ συμπαλαίσων Ἴρῳ (Ὀδ: Σ'. ς. 66.)

„ Ζώσατο μὲν ῥάκεσιν περὶ μήδεα, Φαῖνε δὲ μηρὼς
„ Καλούς τε μεγάλους τε· Φάνεν δὲ οἱ εὐρέες ὦμοι,
„ Στήθεά τε, σιβαροί τε βραχίονες. . . . . .

Προσεμπεδοῖ δὲ τὸ τῆς Ἑλλάδος τόδε ἀρχαῖον ἔθος, ὁ Ἀλικαρνασσεὺς Διονύσιος ἐν ταῖς Ῥωμαϊκαῖς αὐτοῦ ἀρχαιολογίαις, (Βιβλ: Ζ'.) „Τὰ δὲ πρὸ τούτων, δι' αἰχύνης εἶχον ἅπαντες οἱ Ἕλληνες,

„ὅλα γυμνὰ φαίνειν ἐν ταῖς ἀγωνίαις τὰ σώματα, ὡς „Ὅμηρος τεκμηριοῖ, μαρτύρων ἀξιοπιστότερός „τε καὶ ἀρχαιότατος, ὡς ζωννυμένες τὲς Ἥρωας ποιῶν. Πρῶτος ὤφθη ἑαυτὸν ὅλον ἐν τῷ σταδίῳ ἀπογυμνώσας Ἄκανθος ὁ Λακεδαιμόνιος ἐπὶ τῆς ΙΕ΄. Ὀλυμπιάδος, ὡς ὁ αὐτὸς Διονύσιος ἱστορεῖ. Καὶ Θουκυδίδης δὲ ἐν τῷ Α΄. Βιβλ. διέξεισι, πρώτες τὲς Λακεδαιμονίες ὀλοχερῶς ἀπογυμνωθῆναι, τῶν ἀθλητῶν τὸ πρότερον διαζώμασι τὴν „αἰδὼ καλυπτόντων: Ἐγυμνώθησάν τε πρῶτοι, κὴ εἰς τὸ φα„νερὸν ἀποδύντες, λίπα μετὰ τὲ γυμνάζεθαι „ἠλείψαντο: τὸ δὲ πάλαι κὴ ἐν τῷ Ὀλυμπιακῷ ἀγῶνι „διαζώματα ἔχοντες περὶ τὰ αἰδοῖα οἱ ἀθλη„ταὶ ἠγωνίζοντο. Καὶ προσίθησιν, ὅτι κὴ τῶν βαρβάρων πολλοὶ, κὴ μάλισα οἱ ἀνὰ τὴν Ἀσίαν περιεζωσμένοι ἐν τοῖς ἀγῶσι προήρχοντο ὅπερ δὴ ἔθος, κὴ παρὰ τοῖς Ῥωμαίοις κρατεῖν, ἐκ ἄδηλον.

Παρὰ γᾶν τὰ ῥηθέντα „προσῆν κὴ ἄλλα τοῖς παλαιοῖς Ἕλλησιν, ἐν χρήσει ὄντα παιδιᾶς ἐξασκήματα οἷοι φέρε, **οἱ ἀσραγάλων πεττοὶ**, οἷς φησὶ Πάτροκλος (Ἰλ: Ψ΄. ς. 88.) ὅτι κατέκτανε τὸν Ἀμφιδάμαντος παῖδα ἐν ἀσραγάλων παιδιᾷ::

„Νήπιος, ὃν ἐθέλων, ἐν ἀσραγάλοισι χολωθείς.

Ἤν γὰρ τῷ ὄντι μειρακιῶδες τὸ τοιόνδε παίγνιον, ὡς μαρτυρεῖ Παυσανίας (ἐν τοῖς **Ἠλειακοῖς**) ἔνθα διηγεῖται, τῶν χαρίτων τὴν „μέσην, σὺν ἀσραγάλῳ ζωγραφθμένην:: τὸν ἀσράγαλον εἶναι „λέγων μειρακίων τε καὶ παρθένων, οἷς ἄχαρι ἐδέν„πω πρόσεσιν ἐκγήρως. Τέτων γὰρ εἶναι τὸν ἀσρά„γαλον παίγνιον. Ὅθεν κὴ παρὰ τῷ Ἀπολλωνίῳ (ἐν τοῖς **Ἀργοναυτικ:**) ὅτε Ἔρως καὶ ὁ Γανυμήδης ἀσραγάλοις ἐπαίζετον.

„ . . . . . Ἀμφ' ἀσραγάλοισι δὲ τώδε
„ Χρυσείοις, ἅτε κοῦροι ὁμηθέες ἐψιόωντο.

Οὐδ' ἐκεῖνο δ' ἄδηλον τὸ τῶ Διονυσίῳ (παρὰ Πλετάρχῳ ἐν τῷ περὶ „τῆς Ἀλεξάνδρ: τύχης.) Τὸ τὰς μὲν παίδας ἀσραγάλοις, „τὰς δὲ ἄνδρας ὅρκοις ἐξαπατᾶν. Ἀλλὰ γὰρ οἱ Πηνελόπης μνη„σῆρες: (Ὀδυσ: Α'. ς. 107.)

„ Πεσσοῖσι προπάροιθε θυράων θυμὸν ἔτερπον.

Περὶ δ' Ἀθήναιος ἐν Βιβλ: Α'.)

ΚΕΦΑΛ. Ζ'.

Περὶ Πολέμου.

Ἐπὶ τὰς πολεμικὰς τελευταῖον μεταβῶμεν ἀσκήσεις, ὧν αἱ λοιπαὶ ὑπῆρχον οἱονεὶ προγυμνάσματα καὶ προπαίδευμα. Ἐν ἑνὶ γὰρ τέτῳ οἱ πάλαι Ἕλληνες τὴν ἀρετὴν πᾶσαν ἐτίθεντο, ὡς καλῶς γρά„φει Ἀθήναιος. (Ἐν Βιβλ: ΙΔ'.) Οἱ παλαιοὶ τὴν ἀνδρείαν ὑπε„λάμβανον εἶναι μεγίσην τῶν πολιτικῶν ἀρετῶν, καὶ τάυτῃ „τὰ πολλὰ προσνέμειν, ἐ τοῖς ἄλλοις. Ἅπας δ' ὅστισοῦν ἄριςος εἴρηται, ὁ τῷ Ἄρεϊ κατ' ἐξοχὴν διαπρέπων· ἀνθ' ὅτε γε καὶ διὰ παντὸς εἰώθην ὁπλοφορεῖν, ὡς γράφει Θεκυδίδης, (ἐν „Προοιμ: τῆς Ἱςορ:) Πᾶσα γὰρ ἡ Ἑλλὰς ἐσιδηροφόρει· διὰ „τὰς ἀβρεάκτες τε οἰκήσεις, καὶ ἐκ ἀσφαλεῖς παρ' ἀλλή„λοις ἐφόδες· καὶ συνήθη τὴν δίαιταν μεθ' ὅπλων ἐποιή„σαντο, ὥσπερ οἱ Βάρβαροι. Οἱ δὲ τοῖς Πέρσαις ἰδιαίτερον ἀνα„γράφει Ἀμμιανὸς ὁ Μαρκελλῖν: (ἐν Βιβλ: ΚΓ'.) Ἅπαντες ἓν ἀνα-

μὶξ, καὶν συμποσίοις καὶ ἑορταῖς ἐζωσμένοι ξίφεσι καθορῶνται, ὅπερ ἦν ἔθος ἀρχαῖον ἐν Ἕλλησιν ὂν, πρώτοις Ἀθηναίοις ἀποβαλέσθαι, αὐτὸς ἐστὶ Θουκυδίδης μάρτυς διασημότατος.

Τοῖς δ' ὅπλοις τούτοις κεχρῆσθαι, οὐχ ὅπως πρὸς ἰδίαν ἑαυτῶν ἄμυναν, ἀλλὰ καὶ πρὸς ἑτέρων ἐπήρειαν, σύνηθες καὶ τοῦτο ἐν τοῖς πάλαι χρόνοις ἐκείνοις ὑπῆρχε, καὶ μὲν δὴ, καὶ φέρον εἰς ἔπαινον. Τὸ γάρ τοι βίαν ἐπιφέρειν τοῖς ἀλλοτρίοις χειρὶ ἐνόπλῳ, ἐφ' ᾧ καταχέσθαι ἀπανταχοῦ παρ' Ὁμήρῳ φαίνεται: Καὐτεῦθεν ἀνέφυσαν οἱ πόλεμοι, ὧν πλέα ἐστὶ τῆς Ἑλλάδος τὰ παλαιὰ ὑπομνήματα. Οὕτως Ὀδυσσεὺς ἐπὶ Ἴλιον πλέων, τὴν Κικόνων ἐλεηλάτησε πόλιν, καὶ παρὰ τούτων αὖθις ἀντιπολεμηθεὶς πολλοὺς τῶν ἑταίρων ἀπέβαλεν. (Ὀδυσ: Ι'. ς: 39. κξ.) Ὡσαύτως δὲ (Ὀδ: Ξ'. ς. 263.) αὐτὸς περὶ ἑαυτοῦ διέξεισιν, ὅτι κατάρας εἰς Αἴγυπτον, μετὰ τὸν ἀμφ' αὐτὸν, ἀγρεὺς τὰς ἐκεῖ κατεπόρθησε, καὶ πάντα ἐσύλησεν, ἄνδρας ἀνηρηκὼς ἐκ ὀλίγους. Διὰ δὲ τοῦτο καὶ ἐν ᾅδου διεπυνθάνετο Ἀγαμέμνονος, πῶς ἆρ' ἔθανε; μήποτε ὑπὸ ἀναρσίων ἀναιρεθεὶς ἀνδρῶν; (Ὀδυσ: Λ'. ς. 401.)

„Βοῦς περ ταμνόμενος, ἠδ' οἰῶν πώεα καλά;

Οὕτω καὶ Νέσωρ τοῖς ἐξ Ἤλιδος διεμαχέσατο ἀμφὶ βοηλασίην. (Ἰλ: Λ'. ς. 671.) Διὸ καὶ Ἀχιλλεὺς, (Ἰλ: Α'. ς. 154.) μηδὲν αὐτῷ εἶναι ἔλεγεν, ὅτιπερ ἂν τὸν κατὰ Τροίας πόλεμον ἀναλαβέσθαι αὐτὸν ἐναγάγοι:

„Οὐ γὰρ πώποτε (φησὶν) ἐμὰς βοῦς ἤλασαν, οὐδὲ μὲν ἵππους.

Καὶ Πλούταρχος δὲ (ἐν τῷ Θησεῖ) ἐκδιηγεῖται, ὑπὸ Πειριθόου αὐτὸν ὅπλοις ἀπελαθῆναι, διὰ τὸ ἀπαγαγεῖν τὰς ἐκείνου βοῦς. Ὁμοίως παρ' Ἡσιόδῳ (ἐν τῇ Ἀσπίδι) Ἀμφιτρύων λέγεται Ἠλεκτρύωνα τὸν Θηβῶν Ἄνακτα ἀνηρηκέναι βίᾳ δαμέντα, χωσάμενος περὶ βουσι.

Καὶ ἡ βοῶν ἄρα ἀπαγωγὴ καθίσατο τοῖς ἀρχαίοις πολέμων κυριώτατον αἴτιον.

Ἀλλα ἢ ἡ διαρπαγὴ τῶν γυναικῶν, ἐδέν τι ἧττον κατ' ἐκείνους τοὺς χρόνους, συνεχεῖς μάχας ἀπέτικτεν· οἵαν δὴ, τὴν περὶ ἧς Ὅμηρος ὅλην ἀνεγγεγραφὼς ἐσιν Ἰλιάδα ταύτην. Ἐπειδὴ γὰρ Ἀλέξανδρος ὁ τῦ Πριάμυ, Ἑλένην τὴν Μενελάυ ἄλοχον ἐκ Λακεδαίμονος εἰς Τροίαν ἀπήγαγεν, οἱ ἄριστοι, ἢ τῶν ἀν' Ἑλλάδα δυναστευόντων πρόκριτοι, Τυνδάρεω τῦ τῆς ἁρπαχθείσης τοκέως, ἐν ὅρκοις αὐτὸς συγκαταναγκάσαντος, ὑφ' ἡγήτορι Ἀγαμέμνονι ἐπὶ τὸ Ἴλιον, ἔπλευσαν, ἢ μετὰ πολλάς τε καὶ διαφόρυς μάχας, ἅσπερ ἀλλήλοις συνέβαλον, ἐν ἐνιαυτῷ τελευταῖον δεκάτῳ ἐκπορθήσαντες τὴν πόλιν ἐκ βάθρων ἀνέτρεψαν. Καὶ ταύτην ἀρχὴν γενέσθαι, τῶν μέσον Ἑλλήνων τε ἢ τῶν Ἀσιατικῶν συςάντων πολέμων, οἱ Πέρσαι (παρ' Ἡροδότῳ ἐν τῇ Κλειοῖ) ἀπεφήναντο. Οἱ δὴ, καὶ τὸ μὲν τὰς ἀλλοτρίας ἁρπάζειν γυναῖκας, ὑβριςῶν τε εἶναι ἀνδρῶν καὶ ἀδίκων ἐνόμισαν· τὸ δὲ τὰς ἁρπαγείσας ἀνταπαιτεῖν ἀμυνομένυς, ἀφρόνων· Σωφρονέντων δὲ εἶναι, τῶν τοιέτων μηδὲν ἀλεγίζειν· ἐ γὰρ ἂν τὴν ἁρπαγὴν ἔυται μὴ ἐνδιδῶσαι, ὑπέςησαν. Ὡσάυτως δὲ καὶ Δέριος, (ἐν Β'. βιβλ. τῶν ἱςορ:) τὸν παρ' Ἕλλησιν ἱερὸν λεγόμενον πόλεμον καθιςορεῖ συμβῆναι, διὰ γυναῖκα τινὰ Θηβαίαν, Θεανὼ καλεμένην, τὴν ὑπὸ τινὸς Φωκαέως ἁρπαγεῖσαν. Καὶ Καλλισθένης δὲ περὶ τῦ ἱερῦ γραφει πολέμυ, τὸν Κιρραϊκὸν ἐντεῦθεν τὴν ἀρχὴν εἰληφέναι, διὰ τὸ τὰς Κιρραιέας Μεγισθῶ, τὴν πελάγοντος τῦ Φωκαέως θυγατέρα, καὶ ἄλλας δὲ πρὸς αὐτῇ Ἀχαϊδας, ἀπὸ τῦ Πυθικῦ τεμένυς ἐπανιέσας, πρὸς βίαν ἀπαγαγέσθαι. Τελευταῖον δὲ καὶ Ὡράτιος, ἐν τῇ Γ'. τῶν Σατυρῶν, (Βιβλ: Α'. ς. 107.)

. . . . . Fuit ante Helenam cunnus teterrima belli
Cauſa; ſed ignotis perierunt artibus illi,
Quos Venerem incertam rapientes more ferarum,
Viribus editior caedebat, ut in grege Taurus.

„ (Καὐτῆς πρόσθ' Ἑλένης Cunnus μιαρὴ πρόφασίς γε
„ Γέντο μάχης: αἰδηλοι ὅλοντο δὲ τὰς γὰρ ἄδηλον
„ Κύπριν ἁρπάζοντας, ὁμοίως θήρεσι Ταῦρος
„ Φέρτερος ἰχύϊ, εἰν ἀγέλῃ θρώσκων τις κόπτεν.)

Καὶ τοίνυν Ἀγαμέμνων συνέλοχε τὸ Ναυτικὸν: ἅτε δὴ αὐτὸς μάλιστα τῶν ἐν Πελοποννήσῳ Ἑλλήνων τὸ στυγνακοῦντα προέχων· ὅ τοι τοσούτῳ, διὰ φόβον Τυνδάρεω, τῶν πλειόνων τῆς Ἑλένης μνηστήρων τὴν ἐκστρατείαν ἀναδεξαμένων. Καὶ γὰρ Θουκυδίδης, ἐν τῷ Α'. τῆς ἱστορίας „ παρέδωκε· τὴν στρατιὰν (τὸν Ἀγαμέμνονα) ὑ χάριτι τὸ „ πλεῖον, ἢ φόβῳ, συναγαγόντα ποιήσασθαι. Καὶ πολλοὶ δὲ δήπου, οἱ ἐχ' ἑκόντες ἐπὶ Τροίας στρατεύσαντες ὤφθησαν, ὡς ἐκ τοῦ Ὀδυσσέως δῆλον· ὅπερ ἐμυθεύσαντο, ἐφ' ᾧ μὴ στρατεῦσαι σὺν τοῖς ἄλλοις, τὸν παραπαίοντα προσποιήσασθαι. Ὅπου γε καὶ Ὀδυσσεὺς αὐτὸς, υἱὸς εἶναι Κάστορος τοῦ Κρητὸς πλαττόμενος, σὺν Ἰδομενεῖ ἔφασκε προελθεῖν Γλισάνδε ἐπὶ τὸν πόλεμον, μὴ ἐξὸν αὐτῷ ἀπανήνασθαι. (Ὀδυσ: Ξ'. ς. 238.)

„ . . . . . Οὐδέ τι μῆχος
„ Ἦεν ἀνήνασθαι, χαλεπὴ δ' ἔχε δήμου φῆμις.

Ἀλλὰ γὰρ ἔμπης (Ἰλ: Α'. ς. 766. κξ:) Ὀδυσσεὺς φέρεται συνάμα τῷ Νέστορι, διὰ πάσης ἰὼν τῆς Ἑλλάδος, καὶ τὰς στρατευσομένας κελεύσει τοῦ Ἀγαμέμνονος ἐπαθροίζων, καὶ τὸν Ἀχιλλέα δὲ τῶν Πηλέως ἀνακτόρων ἀπεξάγων. Ὁ δ' Ἀχιλλεὺς ἄλλως, καὶν τῷ Λυκομήδους γυναικῶν, τῷ ἐν Σκύρῳ ἱσόρηται ταῖς θηλείαις ἀνάμικτος παραδοθῆναι συνδιάγειν κρυπτόμενος, ὡς δῆθεν τὰς ἡγεμόνας Ἑλλήνων λήσων. Ὅτι δὲ ἄρα, καὶ διὰ κλήρων βαλλομένων τὰς υἱεῖς ἀφ' ἑκάστων οἴκων μετεπέμποντο, φανερὸν γίνεται ἐκ τῆς Ω'. Ῥαψῳδίας (τῆς Ἰλιάδ. 5. 400.) ἐν οἷς ἑαυτὸν Ἑρμῆς Πολύκτορος υἱὸν λέγει τοῦ Μυρμιδόνος: ὃς ἅπερ, υἱῶν ἑπτὰ ὄντων, εἰς τὸ Ἀχιλλεῖ αὐτὸν συνεσπέσθαι λαχὼν ὁ κλῆρος ἐσήμηνε:

„ Τῶν μεταπαλλόμενος πλήρω λάχον ἐνθάδ' ἔπεσθαι.

Τῷ Πριάμῳ δὲ τὰ πλήθη, ἐκ συμμάχων τὸ πλεῖσον μέρος συνέκειτο τῶν ἐγγύθεν περιοικέντων· καί τοι γε, καὶ ἀπὸ τῶν πορρωτέρω τινὲς προσκέκληντο, οἵτινες (Ἰλ: Ι'. ς. 233. καὶ Μ'. ς. 108.) τηλέκλητοι Ἐπίκουροι ἦκυσαν. Οἷος Μέμνων ἦν ὁ Αἰθιόπων Ἄναξ: (Ὀδυσ: Λ'. ς. 521.) ὃν Παυσανίας (ἐν τοῖς Φωκικοῖς) ἱστορεῖ, ἀπὸ Σέσων πόλεως Περσικῆς, μετὰ δυνάμεως πολυαρίθμου, ἐς Ἴλιον παραγενέσθαι. Τὰ δ' ἄλλα οἱ στρατοὶ ὅλοι, ὅ, τε τῶν Ἑλλήνων, καὶ ὁ τῶν Τρώων, σύν τε τοῖς Ἡγεμόσι, καὶ σὺν ταῖς αὐτῶν ἴλαις ἑκάτερος, ἐπ' ἀκριβὲς καταγεγράφαται ἐν τῷ Β'. τῆς Ἰλιάδος ς. 707. κξ. κξ.

ΚΕΦΑΛ. Η'.

Περὶ Κόρυθος, καὶ Θώρακος, καὶ Κνημίδων, καὶ Ἀσπίδος.

Τῶν ὅπλων, τὰ μὲν εἰς ὀχύρωσιν τοῦ σώματος κατὰ τῖς ὁρμῆς τῶν πολεμίων συνέφερε, τὰ δὲ εἰς ἐπιλάβησιν τῶν ἀντεπιόντων: καὶ τοῦ μὲν πρώτου γένους εἰσὶν ἡ Κόρυς, ἤτοι τὸ Κράνος· ὁ Θώραξ, αἱ Περικνημῖδες, ἡ Ἀσπὶς, ἦγεν ὁ Θυρεός. τὴν μὲν ἓν Κόρυθα ἐπὶ κεφαλῆς ἐφόρεν, ἣν κυνέην συνεχῶς Ὅμηρος ὀνομάζει, διὰ τὸ πάλαι τὸ τοῦ ποταμίου κυνὸς δέρμα, εἰς κεφαλῆς σκέπας ἐν χρήσει „ γενέσθαι, ὡς φησὶν Εὐσάθιος: Δορὰ κυνὸς ποταμίου σκέπουσα „ τὰς κεφαλὰς τοῖς παλαιοῖς. Παρέμεινε δ' ἓν τοῦνομα ἐφεξῆς, καὶ τῆς ὕλης μεταμειφθείσης, (Ἰλ: Κ'. ς. 257.)

„ Ἀμφὶ δέ οἱ κυνέην κεφαλῇφιν ἔθηκε
„ Ταυρείην . . . . . (Καὶ Σ. 335)
„ Κρατὶ δ' ἐπὶ κτιδέην κυνέην. . . . . .

Κόρυθα δηλονότι, ἐξ Ἰντίδος δέρματος πεποιημένην, κατὰ τὸν Σχολιαστήν. Ἐπῆσαν δὲ τὰ πολλὰ τῇ Κυνέῃ, ἐπικείμενοι λόφοι: ἤτοι χαῖται ἵππειοι εἰς κορυφὴν ἐξαιρόμεναι: (Ἰλ: Γ. Σ. 336.)

„ Κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὐτυκτον ἔθηκεν
„ Ἵππουριν, δεινὸν δὲ λόφος καθύπερθεν ἔνευε.

Καὶ ἐν Ἰλ: Τ'. Σ. 381.)

„ . . . . . Ἡ δ' ἀϛὴρ ὡς ἀπέλαμπεν
„ Ἵππουρις τρυφάλεια· περισσείοντο δ' αὔθειραι
„ Χρύσεαι, ἃς Ἥφαιστος ἵει λόφον ἀμφὶ θαμειάς.

Οὕτω καὶ Θεόκριτος, περὶ Ἡέρωνος τοῦ Ἄνακτος λέγων: (ἐν Εἰδυλλ: Ιϛ'.)

„ Ἵππειαν δὲ κόρυν σκεπάσσιν ἔθειραν.

Καὶ παρὰ τῷ Ἀριστοφάνει (ἐν Ἀχαρνεῦσι Σ. 1108.) περὶ Λαμάχου τοῦ Ἀρχηγοῦ:

„ Τὸ λοφεῖον ἐξήνεγκε τῶν τριῶν λόφων.

Οὕτω καὶ Οὐιργίλιος (Αἰνειάδ: Γ'. Σ. 468.) τὰς Ἑλλαδικὰς λοφιὰς κλείζει:

Et conum inſignis galeae, criſtasque comantes
Arma Neoptolemi : : . : . . . . . :

„ (Δαιδαλέᾳ τε κράνος κόνον, ἠδὲ λόφος κομόωντας,
„ Ὅπλα Νεοπτολέμοιο . . . . . .

Καὶ (Αἰνειάδ: Ζ'. ς. 785.) περὶ τῆς Τίρυνθος λέγων:

Cui triplici crinita juba galea alta Chimaeram,
Suſtinet Aetnaeos efflantem faucibus ignes.

„ (Τῇ χαίτῃ τριλόφῳ κράνος αὖπυ χίμαιραν ἀνίσχει,
„ Πῦρ ἀπερευγομένην Αἰτνήϊον ἐκ ξὰ φαρύγγων.)

Σύνηθες δὲ πάλαι τῆτ' ἦν ἔθνεσι πλείοσις, οἷον τοῖς Καρσὶ παρὰ Πλουτάρχῳ (ἐν Ἀρταξέρξῃ:) Καὶ γὰρ αὐτὲς τὲς Κᾶρας, ἀλεκτρυόνας οἱ Πέρσαι, δι ἓς ἐκόσμεν τὰ κράνη λόφοις, ἐκάλεν. Τῷ αὐτῷ δὲ λόγῳ καὶ παρὰ Σουετονίῳ (ἐν τῷ Καίσαρι:) ὁ Γαλλικὸς Λεγεὼν alauda (Κορυδαλὸς) προσείρηται. Τὴν τοίνυν Κυνέην ἱμάντι ἔφερον συνδεμένην ὑπὸ τῷ ἀνθερεῶνι, ὃν ἱμάντα Ὅμηρος ὀχέα κατονομάζει, (Ἰλ: Γ'. ς. 371.) λέγων περὶ τῆς Πάριδος:

„ Ἄγχε δέ μιν πολύμηχος ἱμὰς ἀπαλῆς ὑπὸ δειρῆς,
„ Ὅς οἱ ὑπ' ἀνθερεῶνος ὀχεὺς τέτατο τρυφαλείης.

Ὁ δὲ Θώραξ περὶ τὸ σῆθος ἐτίθετο: ἧπερ (Ἰλ: Γ'. ς. 332.) εἴρηται, ἔνθα περὶ τῆς Πάριδος αὖθις ὁ λόγος:

„ Δεύτερον αὖ, θώρηκα περὶ στήθεσσιν ἔδυνεν.

Παραπλήσια δὲ περὶ τῆς Ἡρακλέους, καὶ Ἡσίοδος (ἐν τῇ Ἀσπίδι)
„ προήνεγκε. Καὶ ὁ Ξενοφὼν δὲ ὁμοίως ἔφη: Θώραξ μὲν γὰρ περὶ τὰ στέρνα ἁρμόζων ἑκάστῳ ἔσῃ. Ὁ δ' Ἡσύχιος Λωρί-

κιον ἑρμηνέυει, λατινίδι φωνῇ, ὡς μὴ πάνυ τὸν Θώρακα τῶν Ἑλλήνων, τῆς Ῥωμαίων Λωρίκης (Loricae) ἀπεοικέναι δοκεῖν. Ὁ μέν τοι Ἀπολλώνιος (ἐν τῷ Γ'. τῶν Ἀργοναυτικ.) προσάπτει τῷ στέρνῳ. Θώρηκα σάδιον: προμήκη δὴ τέτον καὶ ὄρθιον αἰρόμενον, ἅπερ οἴονται: ὁπότε τῶν θωρήκων οἱ ἄλλοι ἐφέροντο ἀλυσίδετοι. Πόρπαις, ἢ ἀγκιστρίοις συμπεπλεγμένοι, οἷος ἦν ὅνπερ Οὐιργίλιος περιάδει: (Αἰνειάδ: Γ'. ς. 259.)

Levibus . . . . hamis consertam, auroque trilicem
Loricam . . . . . .

„(. . . Λεπτοῖς ἀγκίστροις χρυσέοις συναρηρόσι τριπλῆ
„ Θώρακα. . . . . .

Τὰ πολλὰ ὁ Θώραξ ἐκ μετάλλε συνέκειτο στερεωτέρε, οἷον ἐκ χαλκῆ· διὸ καὶ συνεχῶς Θώρηξ χάλκεος παρ' Ὁμήρῳ ἀκέει: (Ἰλ: Ν. ς. 371. καὶ 397.) Ἄλλοτε δὲ συνεκπέπλεκτο καὶ ἐκ λίνε· (Ἰλ: Β'. ς. 529.) ὡς περὶ τῆ Αἴαντος εἴρηται τῆ Οἰλῆος, ὅτι

„ . . . . Ὀλίγος μὲν ἔην λινοθώρηξ.

Καὶ ὑπὸ τῆ Ἀλκαίε δ' ἐπαινῆνται: Θώρηκές τε νέῳ λίνῳ.

Οἷα πε καὶ παρὰ Ξενοφῶντι ἀναφέρεται: λινᾶς θώραξ. Καὶ τοιῷδε ἄρα λόγῳ καὶ Ὅμηρος, χιτῶνα τοῖς ὁπλίταις περιάπτει, ὃν χάλκεον ὀνομάζει, καὶ στρεπτὸν· ὡς εἶναι θώρακα τὸν τοιῆτον (ex annulis tortis) ἐκ δακτυλίων περιστρέπτων:) συγκείμενον. (Ἰλ: Β'. ς. 416.

„ Ἐντόρεον δὲ χιτῶνα περὶ στήθεσσι δαΐξας
„ Χαλκῷ ἐωγαλέον . . . . Καὶ Ἰλ: Κ'. ς. 131.)

ὁ Ἀγαμέμνων . . . . . Ἔνδυνε περὶ σήθεσσι χιτῶνα.
Ὁ δ' αὐτὸς προσεπενδύσατο καὶ δορὰν λεόντιον. (Αὐτ: ς. 23.)

„ Ἀμφὶ δ' ἔπειτα δαφοινὸν ἑέσσατο δέρμα λέοντος
„ Αἰθωνος μεγάλοιο, ποδηνεκὲς . . . . . .

Ὡσαύτως δὲ καὶ Μενέλαος: (αὐτ: ς 29.)

„ Παρδαλέῃ μὲν πρῶτα μετάφρενον εὐρὺ κάλυψε
„ Ποικίλῃ . . . . . .

Ὅπερ ἓν καὶ Πίνδαρος (ἐν Ὠ'δ': Θ'. Πυθ:) προσάπτει Πελίᾳ τῷ Ἄνακτι, παρδαλέαν. Καὶ ὡσαύτως δὲ καὶ Ἡρακλῆς, δορὰν λεόντιον περιβάλλεται παρὰ τῷ Θεοκρίτῳ (ἐν Εἰδυλ: ΚΔ'. κξ.) ὅπως ἂν ᾖ ἔρνος ἐνυαλίᾳ. Καὶ παρὰ τῷ Ὀρφεῖ δὲ, Ἀγκαῖος ἄρκτᾳ δέρμα ἐφόρει:

„ Ἄρκτᾳ λάσιον στέρνοις ἀμπίσχετο δέρμα.

Καὶ παρὰ τῷ Ἀπολλωνίῳ (ἐν τῇ Α'. τῶν Ἀργοναυτικ:)
Ἄργος ἐνδέδυτο δέρματι Τάυρᾳ:

„ Δέρμα δ' ὁ μὲν ταύροιο ποδηνεκὲς ἀμπέχετ' ὤμῳ
„ Ἄργος Ἀγασορίδης λάχνῃ μέλαν . . . .

Ἐνθ' ὁ Σχολιαστὴς, κοινὸν γενέσθαι τότι τὸ ἔθος, τοῖς παλαιοῖς Ἥρωσι πᾶσι παρέδωκε: Σύνηθες (λέγων) τοῖς Ἥρωσι τὸ δερματοφορεῖν· τῷ δ' αὐτῷ λόγῳ καὶ παρὰ τῷ Οὐιργιλίῳ (Ἀινειάδ: Ε'. ς. 37.) Ἀκέστης παρίσταται:

Horridus in jaculis et pelle Libyſtidis urſae
„(Ἔκπαγλος βελέεσσι, δορᾷ τ' ἄρκτοιο Λιβύσσης.)

Ἐν δὲ τῷ Η΄. τῆς Ἀινειάδος (ς. 552:) παρίσησιν ὁ αὐτὸς Οὐϊργίλιος τὸν Ἀινείαν:

Quem fulva leonis
Pellis obit totum, praefulgens unguibus aureis.

„ (Τὸν πάντῃ ἀμπεῖχε δαφοινὸν δέρμα λέοντος,
„ Χρυσείαις ὀνύχεσσι διαπρεπὲς ἀγλαέεσσι.)

Προσήπτετο δ' ἐπὶ τέτοις καὶ ζωστὴρ, ᾧ τας ὁσφύας τὰς αὐτῶν οἱ ὁπλοφόροι συνεῖχον: Ζώνην Ὅμηρος ὀνομάζει καὶ μίτρην. Οὕτως (Ἰλ: Ε΄. ς. 857.) ὁ Ἄρης ἐτέτρωτο:

„ Νείατον ἐς κενεῶνα, ὅθι ζωννύσκετο μίτρην.

Καί γε Ἰφιδάμας τὸν Ἀγαμέμνονα: (Ἰλ: Λ΄. ς. 234.)

„ Ἔνυξε . . . κατὰ ζώνην, θώρηκος ἔνερθεν.

Ἀλλὰ καὶ Μενελάῳ, Πανδάρε τετοξευκότος: (Ἰλ: Δ΄. ς. 186. καὶ 216.) ὁ ζωστὴρ ἐπήμυνε, τῷ μὴ τῷ βέλει τὴν χαλκέρα διαπαρῆναι:

„ Εἰρύσατο ζωστήρ τε παναόλος, ἠδ' ὑπένερθεν
„ Ζῶμα τε καὶ μίτρη, τὴν χαλκῆες κάμον ἄνδρες.

Κατὰ γὰρ τον Σχολιαστὴν „χαλκῆ τις ὑπῆρχε λεπὶς, ἣν „ἐζώννυντο περὶ τὸν κενεῶνα χάριν πλείονος ἀσφαλείας. Ἀλλ' (ἐν Ἰλιάδ: Π΄. ς. 419.) Ἀμιτροχίτωνες προσείρηνται,

„ Οἱ ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμέντες·

Οὓς περ ἀζώστους ἑρμηνέυει Ἀθήναιος. (ἐν Βιβλ: ΙΒ΄) Ἐζώννυντο μέντοιγε οἱ ἐπὶ τὴν μάχην παρασκευαζόμενοι: (Ἰλ: Λ΄. ς. 15.)

„ Ἀτρείδης δ' ἐβόησεν, ἰδὲ ζώννυσθαι ἄνωγε:

Τῦτο δ' ἦν ὁπλίζεσθαι: ὅθεν ὁ Παυσανίας (ἐν τοῖς Βοιωτικ:)

„Τὸ δὲ ἐνδῦναι τὰ ὅπλα, ἐκάλεν ἄρα οἱ παλαιοὶ ζώννυσθαι „καὶ δὴ Ὅμηρον, Ἀρεῖ τὸν Ἀγαμέμνονα ποιήσαντα ἐοικέ„ναι τὴν ζώνην, τὴν τῶν ὅπλων σκευὴν, φασὶν, εἰκάζειν.

Τὸν αὐτὸν δὲ τρόπον καὶ τὰς Ῥωμαίας εἰωθέναι ζώννυσθαι, ἐξ ἄλλων τε δὴ ξυγγραφέων, καὶ ἐκ τοῦ Πλουτάρχου δῆλον, ὃς (ἐν βίῳ τῷ „Κοριολαν.) γράφει ἔτως: Ἦν δὲ τότε τοῖς Ῥωμαίοις ἔθος, „εἰς τάξιν καθισαμένοις, καὶ μέσοις τοῖς θυρεοῖς λαμβά„νειν, καὶ περιζώννυσθαι τὴν Τήβεννον. Μετὰ δὲ τὴν συμβολὴν ἀπετίθεντο τὴν ζώνην. Διὸ καὶ Ξέρξης καθ' Ἡρόδοτον (ἐν Οὐρανίᾳ) φεύγων ἀθήνηθεν, ἐν Ἀβδήροις ἱσόρροπα ἀπολύσασθαι τὴν ζώνην, ὡς ἐν χώρᾳ τῇ ἀπὸ τῶν πολεμίων ἐν ἀσφαλείᾳ καθισαμένῃ· ὡς ἐν ἀδείᾳ ἐών.

Ὡσάυτως δὲ καὶ τὰς κνήμας ὠχύρων οἱ Παλαιοὶ κνημίδας περιβαλλόμενοι, καθάπερ Ὅμηρος ὀνομάζει, τὸν Πάριδός τε καὶ Ἀχιλλέως ἐνοπλισμὸν περιγράφων: (Γλ: Γ. ς. 330. καὶ Π. ς. 131. καὶ Σ. ς. 459. καὶ Τ. ς. 369.)

„Κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε
„Καλὰς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας.

Ἐν πόρπαις ἀργυραῖς δηλονότι συνηρμοσμένας ταῖς κνήμαις. Οὕτω δὲ καὶ Ἡρακλῆς παρ' Ἡσιόδῳ (ἐν τῇ Ἀσπίδι ς. 122.)

„. . . . . Κνημῖδας ὀρειχάλκοιο φαεινὰς
„Ἡφαίστου κλυτὰ δῶρα περὶ κνήμῃσιν ἔθηκε.

Καὶ Ἀλκεὺς παρὰ τῷ Ἀθηναίῳ (Βιβλ: ΙΔ'.) περὶ τοῦ δώμα„τος, ὃ φησὶ τῷ Ἄρει ἠυτρεπίθαι: Χάλκειαι δὲ πασσάλοις κρυπ„τοῖσι περικείμεναι λαμπραὶ κνημῖδες.

Ἐπὶ πᾶσι τῷ Θυρεῷ τὸ σῶμα ὅλον ἐπέσκεπον·

„Μηρούς τε, κνήμας τε κάτω, καὶ στέρνα, καὶ ὦμους·
„Ἀσπίδος εὐρείης γαστρὶ καλυψαμένης.

Ἢ φησὶ Τυρταῖος. Ἐκ δέρματος δὲ βοείᾳ τὰ πολλὰ συνέκειτο: διὸ καὶ ἀσπίδας βοείας συνεχῶς Ὅμηρος ὀνομάζει: (Ἰλ: Ε'. ς. 453. καὶ Μ'. ς. 426.) Πολλαπλῆν δ' ἐπετίθετο δέρμα, ἵνα αἱ ἀσπίδες ἀντέχοιεν ἰσχυρότερον, ἔτι καὶ χαλκείᾳ ἐλάσματος προσυπερεπαγομένῃ, ὃν τρόπον ὁ Ποιητὴς τὴν Σαρπηδόνος ἐξιὶ περιγράφων Ἀσπίδα· (Ἰλ: Μ'. ς. 294.)

„ Αὐτίκα δ' ἀσπίδα μὲν πρόσθ' ἔχετο πάντοσε ἴσην
„ Καλὴν, χαλκείην, ἐξήλατον, ἣν ἄρα χαλκευὺς
„ Ἤλασεν· ἔντοσθεν δὲ βοείας ῥάψε θαμειὰς,
„ Χρυσείης ῥάβδοισι διηνεκέσσιν περὶ κύκλον.

Οὕτως ἂν αὐτὸς φαίην τὴν Αἴαντος ἀσπίδα ἑπταβόειον εἶναι, ἑπταπλασίαις δηλονότι δοραῖς βοείοις πεπυκασμένην· ἐφ' αἷς ἐλατὸς ἦν ὁ χαλκὸς ὄγδοος. (Ἰλ: Η'. ς. 222.)

„ . . . . Σάκος αἰόλον ἑπταβόειον
„ Ταύρων ζατρεφέων, ἐπὶ δ' ὄγδοον ἤλασε χαλκον.

Ἀλλ' ἡ τῆ Αἰνείᾳ ἀσπὶς, πτύχας ἦν ἔχουσα πέντε: δύο μὲν χαλκῆ, δύο δὲ κασσιτέρου, μίαν δὲ χρυσῆ. (Ἰλ: Υ'. ς. 276.)

„ Λεπτοτάτη δ' ἐπέην ῥινὸς βοός . . . . . .

Πέντε δὲ λέγονται εἶναι καὶ τῆς Ἀχιλλέως ἀσπίδος αἱ πτύχες περὶ ἧς (Ἰλ: Σ'. ς. 481.)

„ Πέντε δ' ἄρ' αὐτῷ ἔσαν σάκεος πτύχες.

Καὶ Τεῦκρος δ' ὡσάυτως (Ἰλ: Ο'. ς. 479.)

„ . . . . Ἀμφ' ὤμοισι σάκος θέτο τετραθέλυμνον.

Καθ' Ησύχιον, τετράπτυχον, ἐκ τεσσάρων πτυχῶν τεθειμένον: ἢ, ἐκ τεσσάρων δερμάτων συνεχὸς: ὡς ὁ Σχολιαστὴς φησὶν. Σχήματος δὲ ἦν κυκλοειδοῦς: ὅθεν καὶ εὐκύκλους ἀσπίδας ὠνόμασεν Ὅμηρος. (Ἰλ: Ε'. ς. 453.) Καὶ ἄντυγα πανταχοῦ κλείζει τὴν ἐκτὸς περιφέρειαν· ἢ καὶ ποικίλη ἦν καὶ πολλαπλῆ τις, τοῦ δέρματος κατὰ τὸ ἄκρον προεξέχοντος, ὡς περὶ τοῦ Ἕκτορος εἴρηται: (Ἰλ: Ζ'. ς. 117.)

„Ἀμφὶ δέ μιν σφυρὰ τύπτε, καὶ ἀὐχένα δέρμα κελαινὸν
„Ἄντυξ, ἣ πυμάτη θέεν ἀσπίδος ὁμφαλοέσσης.

Προσῆπτο δὲ καὶ ἱμὰς, ὃν Ὅμηρος τελαμῶνα καλεῖ· ὃν περ καὶ ἀργυροῦν ἐν τῇ Ἀχιλλέως ἀσπίδι φημίζει. (Ἰλ: Σ'. ς. 479.)

„. . . . . Περὶ δ' ἄντυγα βάλλε φαεινὴν,
„Τρίπλακα, μαρμαρέην, ἐκ δ' ἀργύρεον τελαμῶνα.

Ἀπηώρητο δὲ ἡ ἀσπὶς ἀπὸ τῶν ὤμων (Ἰλ: Π'. ς. 303.)

„. . . . . Αὐτὰρ ἐπ ὤμων
„Ἀσπὶς σὺν τελαμῶνι χαμαὶ πέσε τερμιόεσσα.

Ἦν δ' ἐπὶ τὰ ἀριστερὰ κλίνεσα, ὡς ἂν τῇ δεξιᾷ χειρὶ ἐλευθέρᾳ ἔσῃ ἐπεμβαίνοιεν τῷ πολεμίῳ· (Ἰλ: Π'. ς. 106.) ὡς περὶ τοῦ Αἴαντος εἴρηται:

„. . . . . Ὃ δ' ἀριστερὸν ὦμον ἔπαμνε
„Ἔμπεδον αἰὲν ἔχων σάκος ἀιόλον . . . . . .

Ἔνθεντοι καὶ παρὰ Οὐϊργιλίῳ (Αἰνειάδ: Β'. ς. 672.) Αἰνείας:

Hic ferro accingor rurſus, clypeoque ſiniſtram
Inſertabam aptans . . . . . .

„ (Κ'νθαδὶ δεξιτερὴν ἐπὶ ὦπλισα χεῖρα σιδήρῳ,
„ Λαιὴν δ' ἄρσα σάκει.) . . . . . .

Ταύτῃ δὲ καὶ Α'ιλιανὸς (ἐν Βιβλ: ΙΑ'. Κεφ: Θ'.) διέξεισιν, ὅ, τι Σκιπίων τῷ στρατιώτῃ ἔφη, τῷ ἐυεργῆ τὴν ἀσπίδα ἐπιδεικνυμένῳ: „τὸ, μὴ ἐπὶ τῇ λαιῇ, ἀλλ' ἐπὶ τῇ δεξιτερῇ, Ρώμαῖον ἄνδρα „δεῖν πεποιθέναι. Πλίνιος δὲ (ἐν Βιβλ: ΑΓ'. Κεφ: Α'. γράφει: Qui annuli uſum primus inſtituit, cunctanter id fecit, laevisque manibus ac latentibus induit, cum ſi honos ſecurus fuiſſet, dextra fuerit oſtentandus. Quod ſi impedimentum aliquod in ea potuit intelligi, etiam inſertorii uſu argumentum eſt majus, „in laeva fuiſſe, qua ſcutum rapitur. (Ο' πρῶτος „τὴν τῆ δακτυλίε χρῆσιν εἰσενεγκὼν, χολῇ τόδ' ἐπόι„ησε, χερσὶν ἐνάρσας λαιαῖς τε καὶ λανθανέσας· τὸ γὰρ „εἰς τιμὴν βεβαίαν ἔσαν, τῇ δεξιᾷ ἔδει παρεπιδείκνυθαι. „Ὡς εἴγε τι τὸ κωλύον ἐν τούτῃ εἶχεν ὑπεννοεῖθαι, καὶν „αὐτῇ τῇ χρήσει τῆ τελαμῶνος (inſertorii) ὁ λόγος ὁ τῆ „κωλύματος μείζων ἐν τῇ λαιᾷ εἴη, δι' ἧς περ τὸ σάκος „αἴρεται.) Inſertorium δὲ δήπε Πλίνιος ὀνομάζει, τὸν καθ' Ο'μηρον τελαμῶνα: εἰ μὴ βελοίμεθα νοεῖν αὐτὸν τὲς Κανόνας, ἓς ἐν τῇ Α'σπίδι καλεῖ, τῇ τῆ Γ'δομενέως ἐκείνῃ (Γ'λ: Ν'. ς. 407.) ἦν,

„ Δινωτὴν Φορέεσκε, δύω κανόνεσσ' ἀραρεῖαν.

Καὶ (Γ'λ: Θ'. ς. 192.) ἐν τῇ τῆ Νέσορος, ἣν ἐξαίρει:

„ Α'σπίδα Νεσορέην, τῆς νῦν κλέος οὐρανὸν ἶκει·
„ Πᾶσαν χρυσείην ἔμεναι, κανόνας τε καὶ αὐτήν.

Τὰς γᾶν τοιάτας Κανόνας, ὁ μὲν Σχολιαστὴς, ῥάβδους ἄπεν, αἷς ἐκράτυν τὰς ἀσπίδας. Ὁ δὲ Εὐσάθιος, ἐξ ἀρχαιοτέρων δόξης, ῥάβδους ἀναφορέας τῆς ἀσπίδος· ὅπω γὰρ ἔυρητο τὰ ὄχανα: τετέσιν, οἱ δι' ἱμάντων πόρπακες. Ὁ δὲ Ησύχιος, Κανόνες, φησὶν, αἱ τῆς ἀσπίδος ῥάβδοι, ἀφ' ὧν ὁ τελαμὼν ἐξῆπτο.

ΚΕΦΑ'Λ. Θ'.

Περὶ δόρατος, καὶ ξίφους, καὶ τόξου, καὶ ἄλλων ὅπλων.

Ἐν τοῖς εἰς λώβην τῆ πολεμίᾳ συντελοῦσιν ὅπλοις πρῶτον τέτακται τὸ δόρυ, ὑφ' ᾧ μόνῳ τῇ κλήσει καὶ τὰ λοιπὰ πάντα πολλάκις ὑποσημαίνεται. Ὑφίστατο δὲ τοῦτο ἐκ ξύλου τοῦ πολλοῦ Μελίης: ὅθεν Μελίην τὸ δόρυ ὁ Ποιητὴς συνεχῶς ὀνομάζει: ἰδίᾳ δὲ τὸ τοῦ Ἀχιλλέως· (Ἰλ: Τ'. ς. 390.)

„ Πηλιάδα μελίην, τὴν πατρὶ Φίλῳ τάμε Χείρων·
„ Πηλίου ἐκ κορυφῆς, Φόνον ἐμμεναι Ἡρώεσσιν·

Ἐνθεντοι Πλίνιος (Βιβλ. Ιϛ'. Κεφ. Ιϒ'.) περὶ Μελίας τοῦ δένδρου λέγων: Procera haec ac teres, pennata et ipsa folio, multumque Homeri praeconio, et Achillis hasta nobilitata.

„(Πρόμηκες (φησὶ) τὸ φυτὸν τοῦτο, ἢ στρογγύλον, πτι-
„λωτόν τε ἔχον τὸ φύλλον, ἐν λόγῳ πολλῷ καθεξὸς, ἐπί-
„σημον ὑπό τε Ὁμήρου, καὶ διὰ τὸ Ἀχιλλέως δόρυ.) Ἡ δὲ
αἰχμὴ ἡ τοῦ δόρατος ἦν χαλκίνη, ἐξ ἧς καὶ χάλκεον ἔγχος τὸ
ὅλον προσείρηται. Ἦν δὲ τότε καὶ τὸ κάτω ἐκ χαλκοῦ εἰς ὀξὺ ἀπο-
λῆγον, ὡς ἂν τῇ γῇ τὰ δόρατα ἐμπηγνύμενα ὄρθια ἱστῶνται. Σαυ-
ρωτῆρα Ὅμηρος ὀνομάζει: (Γλ: Κ'. ς. 153.) Ἡσύχιος δὲ, τὸ
ἔγχατον σιδήριον τοῦ δόρατος· καὶ ἔτω δὲ καὶ Πολυδεύκης:
(Βιβλ. Α'. Κεφ: Ε'.) Εὐσάθιος δὲ, ὑπὸ τῶν ἀρχαίων φησὶν εἰ-
ρῆσθαι: τὸ ἐν ἑτέρῳ ἄκρῳ τοῦ δόρατος ἔγχατον ὀπίσθιον
„σιδήριον: προσίθησι δ' αὐτὸς, ὅτι τὸ σιδήριον κοῖλον ἦν ἐξ
„ἄκρου ὀξὺ· ᾧ ἐντιθέμενον τὸ ὀπίσω ἄκρον τοῦ δόρατος, ὀρ-
„θὸν αὐτὸ ἑστᾶναι ποιεῖ, πηγνύμενον κατὰ γῆς: (πάντως
δὴ) κατὰ σκόλοπα, ἤγουν σαυρὸν· ὥστε εἶναι, οἷον τινὰ
σαυρωτῆρα. Ὅπως ἂν ἕν καὶ ἔχοι τὸ περὶ τότε, ἀλλ' ἐκεῖνο γε
δῆλον, τὸ Σαυρωτῆρι τὰς παλαιὰς εἰωθέναι τὰ δόρατα ὄρθια ἐφι-
στάνειν, ὁσάκις ἂν τοῦ πολεμικοῦ μόχθου πάυσαιντο· ὡς ἰδεῖν ἐστὶ Διο-
μήδην τε, καὶ τὰς ἀμφ' ἐκεῖνον καθεύδοντας, ἔνθ' εἴρηται:

„ . . . . . Ἔγχεα δέ σφιν
„Ὀρθ' ἐπὶ σαυρωτῆρος ἐλήλατο. . . . .

Ταυτὰ τηρεῖσθαι τοῖς Γλυριεῦσι ἐπ' αὐτοῦ παρέδωκεν Ἀριστοτέλης,
(ἐν τῷ περὶ τῆς Ποιητικ. Τέχν.) Καὶ παραπλήσιόν τι δὲ, ἢ παρ'
Ἑβραίοις κρατῆσαι, ἐκ τῆς Α'. τῶν Βασιλ: ἔυδηλον. Ἄλλως τε δὲ, ἢ
ἐπὶ τῶν δοράτων ἵσαντο οἱ ὁπλῖται ἐπικλινθέντες, ὥσπερ Ἀχιλλεὺς ἤδη
κατάκοπος: (Γλ: Χ'. ς. 225.)

„ Στῆ δ' ἀρ' ἐπὶ μελίης χαλκογλώχινος ἐρεθὰς.

Ἦν δὲ δοράτων τὸ εἶδος διττὸν: τὸ μὲν, ὅπερ ἐγγύθεν, τὸ δ' ᾧ „πόρρωθεν ἀπεμάχοντο (Στραβ: ἐν Βιβλ. Ι'.) Διττὴ γὰρ ἡ τῶν „δοράτων χρῆσις: ἡ μὲν ἐκ χειρὸς, ἡ δ' ὡς παλτοῖς. Παρ' Ὁμήρῳ ἓν οἱ Εὐβοεῖς ἐπάινε ποτὲ τυγχάνεσιν, (Ιλ: Β'. ς 543) ἐν οἷς περιάδοντας.

„ Ἀιχμηταὶ, μεμαῶτες ὀρεπτῆσι μελίῃσι
„ Θώρηκας ἐΐξειν δηΐων ἀμφὶ σήθεσσι.

Τὸ δ' Ἀχιλλέως δόρυ τοιοῦτον ἦν, οἷον ἐθὲις ἔιχε δονεῖν πλὴν αὐτοῦ μόνε. Ἐκ δὲ τοῦ ἑτέρε εἴδες ὑπῆρχε τὸ Ἕκτορος ἔγχος, ὃ κατ' Ἀχιλλέως προῆκεν: (Ιλ: Χ'. ς. 293.)

„ Στῆ δὲ κατηφήσας, ἀδ' ἀλλ' ἔχε μείλινον ἔγχος.

Τῷ τοι ἡ δραξάμενος τοῦ ξίφες, αὐτῷ ἐπενέβη. Οὕτω δὲ δὴ ἡ Πάρις τε καὶ Μενέλαος ἐν ἀλλήλοις λαχόντες, πότερος πρότερος ἀφίοι τὸ δόρυ: ἐπεὶ ἐγένετο ἑκατέρωθεν, συνέβαλον ξίφει· (Ιλ: Γ'. ς. 340. κξ:) ὡσάυτως παρὰ τῷ Θεοκρίτῳ (ἐν Εἰδυλ: ΚΒ':) Κάςωρ καὶ Λυγκεὺς συνέςρεψαν μὲν ἀμοιβαδὸν τὰ δόρατα πρὸς ἀλλήλες· τῶν δ' ἐν τοῖς ὁμφαλοῖς τῶν ἀσπίδων διαθραυθέντων, τὰ ξίφη ἐσπάσαντο.

„ Τὼ δ' ἄορ ἐν κολεοῖσιν ἐρυσσαμένω φόνον ἄυτις
„ Τεῦχον ἐν ἀλλήλοισι. . . . . .

Τὸ δέ τοι ξίφος ἔφερον ἀπὸ ὤμων ἱμάντι ἀπηρτημένον: (Ιλ: Β'. ς. 45. καὶ Λ': ς. 29.) ὡς περὶ Ἀγαμέμνονος εἴρηται:

„ Ἀμφὶ δ' ἄρ' ὤμοισι βάλλετο ξίφος ἀργυρόηλον: καὶ (Ὀδυσ: Β': ς. 5.) περὶ τοῦ Τηλεμάχε:

„ . . . . . Περὶ δὲ ξίφος ὀξὺ θέτ' ἄμῳ·

Ἡσίοδος δ' ἐν τῇ τῦ Ἡρακλέυς Ἀσπίδι (ς. 222.) ἔχει::

„ Ὧμοισιν δέ μιν ἀμφὶ μελίνδετον ἄορ ἔκειτο
„ Χάλκεον ἐκ τελαμῶνος. . . . . .

Ἀπέλιπε δὲ τὸ ξίφος ἐπὶ τῆς πλευρᾶς· διὸ καὶ πανταχῦ εἰρηται τὸς πολεμιςὰς σπᾶθαι τὸ ξίφος παρὰ μηρῦ· ὡς ἐν Ἰλ: Α'. ς. 190.) καὶ ἀλλοθι.

„ . . . . . Φάσγανον ὀξὺ ἐρυσσάμενος παρὰ μηρῦ.

Οὕτω δὲ καὶ παρὰ Οὐιργιλίῳ (Αἰνειάδ: Ι'. ς: 124.)

Aineías . . . . . Ocyus enſem
Eripit a femore.

„ . . . . . Ὦκα μάλ' ἄορ
„ Παρὰ μηρῦ σπάσατο. . . . . .

Καὶ (ἐν τᾷ Η': δὲ τῆς Αἰνειάδος ς. 459.) ὁ Τύργος::

Lateri atque humeris Tegaeum ſubligat enſem;

„ (Ἀμφ' ὤμοισιν ἑοῖσι Τεγαῖον βάλλετο ἄορ.)

Ἀπὸ δὲ τῦ κλεῦς τῦ ξίφυς, ἀπηρτημένην ἔφερον μάχαιραν, ὥσπερ Ἀτρείδης: (Ἰλ: Γ'. ς. 272.)

„ Ἀτρείδης δὲ ἐρυσσάμενος χείρεσσι μάχαιραν
„ Ἣ οἱ παρ ξίφεος μέγα κλεὸν αἰὲν ἄορτο
„ Ἀρνῶν ἐκ κεφαλῶν τάμνε τρίχας. . . . . .

Εἰκὸς δ' αὐτὲς, καὶ ἐπὶ τῆς δωτὸς τῷ μαχαιρίῳ τᾷ δε προσκεχρῆθαι, μηδεμιᾶς παρ' Ἕλλησι φωνῆς ἄλλης, εἰς τὴν τότε δήλωσιν δεξιῶς ἐχέσης. Τὸ δ' ἔθος τῦτο τοῖς παλαιτέροις Γάλλοις Ποσειδάνιος.

ἀπονέμει παρ' Ἀθηναίῳ: (ἐν Βιβλ: ΙΔ':) ὅπερ ἔν γε καθ' ἡμᾶς πολλοῖς τῶν στρατευομένων ἴσμεν ἐν σύνηθες.

Μετὰ δὴ τὸ ξίφος ἦκει τὸ τόξον, ὃ παραπλησίως ἀπὸ τῶν ὤμων ἔφερον ἠρτημένον, μετὰ τῆς Φαρέτρας, τῆς τὲς ἰὸς Φερέσης· οἷοσπερ Ἀπόλλων ἀνεφάνη: (Ἰλ: Α'. ς. 45.)

„ Τόξ' ὤμοισιν ἔχων, ἀμφηρεφέα τε Φαρέτρην.

Οὕτω δέτοι καὶ Ἡρακλῆς παρ' Ἡσιόδῳ (ἐν τῇ Ασπίδι ς. 131.)

„ . . . . . Κοίλην δὲ περὶ στήθεσφι Φαρέτρην,
„ Καββάλετ' ἐξόπιθεν.

Καὶ παρὰ Οὐιργιλίῳ δὲ, τῇ τε παρθενικῇ Καμίλλῃ (Αἰνειάδ: ΙΑ'. ς. 652.) καὶ τᾷ τῆς Κυβέλης Ἱερεπόλῳ τᾷ Χλωρεῖ: (Αὐτοθ: ς. 774.)

Aureus ex humeris sonat arcus:
„ Κλάγγε τε ἐξ ὤμοιν χρυσᾶς βιός. . . . . .

Τῆς δὲ δὴ τοξείας ὑπογραφική τις εἰκὼν παρίσταται, (Ἰλ. Δ. ς. 104.) ἔνθα Μενέλαον ἔτρωσε τοξεύσας ὁ Πάνδαρος. Τὰ μὲν ἔν τε τόξε κέρα Αἰγὸς ἦν ἀγρίας, χρυσῇ δ' ἐπέκειτο κορώνη, ἐν ᾗ ἐνετίθεντο οἱ οἰστοὶ· ἡ δὲ δὴ νευρὰ ἑτέροθεν ἦν ἐκ βοός. Ὁ γὰρ τοξεύσων αὐτὴν τᾷ μαζῷ προσάγει, ἥπερ εἰώθεσαν καὶ αἱ Ἀμαζόνες. Τὰ νῦν μέντοιγε ἄχρι καὶ ὠτὸς τε δεξιε προσεφέλκεται, φησὶν Εὐσάθιος. Ὁ δὴ καὶ Πέρσας ποιεῖν ἐπιμαρτυρεῖ Προκόπιος. (ἐν τῷ Α'. Βιβλ. τε „Περσικ. Πολέμ.) Ἕλκεται δὲ αὐτοῖς κατὰ τὸ μέτωπον „ἡ νευρὰ, παρ' αὐτὸ μάλιστα τῶν ὤτων. τὸ δεξιόν. Τὸ γὰρ βέλος σίδηρον Ὅμηρος μετονομάζει, ἀπὸ τῆς ἀκμῆς δηλονότι τῆς σιδήρῳ ἐποξυνομένης πρὸς τὸ ἀσφαλέστερον. Ἄλλως γε μὴν καὶ φαρμάκῳ ἐπεχείρετο τὰ βέλεμνα δηλητηρίῳ „ὡς δῆλον (ἐκ τῆς Α': Ὀδυσ. ς. 261.) Ἐνθ' Ὀδυσσεὺς, εἰς Ἔφυραν λέγεται ἀπελθεῖν,

„ Φάρμακον ἀνδροφόνον διζήμενος, ὄφρα οἱ εἴη
„ Γὰς χρίεσθαι χαλκήρεας . . . . .

Οὕτω δὴ καὶ Ο'υιργίλιος (Θ'. τῆς Αἰνειάδ. ς. 779.) τὸν θηρολέτην εἰσάγεται Α'μυκον . . . . Quo non felicior alter Ungere tela manu, ferrumque armare veneno.

„ (. . . . . Τοῦ Φέρτερος ἄτις
„ Ἦδει χάλκεα τόξα χυμοῖς δηλήμοσι χρίειν.)

Τετὶ μέντοι Παρθυαίοις μᾶλλον καὶ Σκύθαις συνηθέστερον ἦν, ἢ Ε'λλησιν. Α'λλὰ γὰρ ἐ μόνοις οἴοις, τοῖς ἐκ τόξε προϊεμένοις ἐτύγχανον χρώμενοι, ἀλλὰ καὶ βελέμνοις ἑτέροις, μάλιστα τοῖς ἀκοντίοις, ὥσπερ Ο'μηρος ὀνομάζει τοῖς ἐκ χειρὸς βαλλομένοις. *)

Προσεχὴς ἦν ἡ ΣΦενδόνη τᾷ τόξῳ: ἦν ὁ Ποιητὴς ἀποκαλεῖ ἐύςροφον οἷος ἄωτον (Γ'λ: Ν'. ς. 599. καὶ ς. 716.) Ε'νθα τὲς Λωκρεὲς, φησὶ, μηδαμῶς ἀσπίσι κεχρῆσθαι, μηδ' ἔγχεσιν, ἀλλὰ τόξοις τε καὶ σφενδόναις. Τᾷ δ' αὐτῷ ἐρίῳ ἡ χεὶρ Α'γήνορος περιδέδετο, ἔγχει τραυματισθεῖσα.

„ Α'υτὴν δὲ ξυνέδησεν ἐϋςρόφῳ οἷος ἀώτῳ
„ ΣΦενδόνῃ, ἣν ἄρα οἱ θεράπων ἔχε ποιμένι λαῶν.

Δελικώτερον δ' ἦν τοῦ ὁπλισμᾶ τότε τὸ εἶδος εἶναι ὁ Κύρος ἔφασκε, παρὰ τῷ Ξενοφῶντι, ἐν τῷ Ζ'. τῆς Κυροπαιδείας, καὶ τᾷ δὲ χρῆσθαι ἐβέλετο τὸν ὄχλον τὸν ἄοπλον.

*) Η" ἀφιεμένοις

Ο' δὲ Μακεδὼν Ἀλέξανδρος, παρὰ τῷ Κερτίῳ (ἐν Βιβλ. Δ'.) τὰ τῶν πολεμίων σίφη ἐξαίρων: Intuerentur (φησὶ) barbarorum inconditum agmen, aliud nihil praeter jaculum habere; alium fundâ saxa vibrare, paucis justa arma esse. „(Ἴδοιεν ἂν τὸν ἀκατάσκευον στρατὸν τῶν βαρβάρων: „τὸν μὲν, μηδὲν ἢ ἀκόντιον ἔχειν, τὸν δὲ σφενδόνῃ πέτρας „ἀναπάλλειν· ὀλίγοις ὅπλα τάγε εἰκότα παρεῖναι.)

Ἀλλὰ καὶ οἱ Ἥρωες αὐτοὶ λίθες συνέστρεφον ἀπὸ χειρὸς σφενδονίζοντες: ὅτω καὶ γὰρ Ἀγαμέμνων (Ἰλ. Ν'. ς. 265. καὶ 541.) μαχόμενος παρίσταται:

„Ἔγχεσί τε, ἄορί τε, μεγάλοισί τε χερμαδίοισι.

Καὶ Αἴας δὲ τὸν Ἕκτορα (Ἰλ: Η'. ς. 268. καὶ Ξ'. ς. 410.)

Πέτρῳ μυλοειδεῖ βάλλεν. Καὶ Ἕκτωρ τὸν Ἐπειγέα: (Ἰλ: Π'. ς. 571.) καὶ Πάτροκλος Σθένελον: (Ἰλ: Π'. ς. 587.) Οὕτω δὲ καὶ παρὰ Πινδάρῳ (Ω'δῇ: Δ'. Νεμ.) Πέτρῳ ἀπεκτάνθησαν δυοκαίδεκα Ἥρωες. Καὶ τὸν Μαρδόνιον δὲ, Ἀνὴρ Σπαρτιάτης ἐν τῇ μάχῃ ἀπέκτεινε, λίθῳ τὴν κεφαλὴν πατάξας, ὡς ἐστὶ παρὰ Πλατάρχῳ μαθεῖν (ἐν βίῳ Ἀριστείδ:) Ἀπὸ δὲ τῶν τειχέων μάλιστα εἰώθεσαν πέτρας κατὰ τῶν ἐπιόντων πολεμίων ἐπαφιέναι: καθάπερ οἱ Δαναοί: (Ἰλ. Μ'. ς. 154.)

„ . . . . . Χερμαδίοισιν ἐϋδμήτων ἀπὸ πύργων
„ Βάλλον, ἀμυνόμενοι σφῶν τ' αὐτῶν, καὶ κλισιάων,
„ Νηῶν τ' ὠκυπόρων. . . . . .

Καὶ παρὰ Οὐϊργιλίῳ δὲ (Αἰνειάδ. Θ'. ς. 512.) οἱ Τεῦκροι:
Saxa quoque infesto volvebant pondere.
„(Πρὸς δ' ἐπὶ κῦ βρίθια μάλ' ἀναιδεῖς λᾶας ἐκυλίνδων.)

Ἱστορεῖ δὲ καὶ Ἡρόδοτος (ἐν Οὐρανίᾳ) τὸς Ἀθηναίους, κατὰ τῶν τοῖς πυλῶσι τῆ Ἄτεος ὑποδυομένων βαρβάρων λίθος μυλοειδεῖς ἐπικυλίσαι. Καὶ τόν δε δὴ τὸν τρόπον ἐν Ἄργει ἀνηρῆθαι Πύρρον τὸν Ἠπειρώτην φησὶν Ἱέρωνος ἐν Βιβλ: ΚΕ'. Qui dum Antigonum in urbem clauſum expugnare conatur, inter confertiſſimos violentiſſime dimicans, ſaxo de mnris ictus cecidit. „(Ὅστις ἐν ᾧ Ἀντίγονον ἐγκαθειρχθέντα τῷ Ἄτει ἐκπο„λεμῆσαι ἐπείγεται, ἐν πυκνοτάταις ἴλαις σφοδρίτατα „μαχόμενος, πέτρῳ ἀπὸ τῶν τειχέων βληθεὶς πέπ„τωκεν.)

Ἐχρῶντο δὲ καὶ πελέκεσιν, ἔσπερ ἀξίνας Ὅμηρος ὀνομάζει. Τοιῷ δε δὴ ὅπλῳ Πείσανδρος ἀπήντησεν Ἀγαμέμνονι ξιφήρει ἐφορμηκότι: (Ἰλ: Ν'. ς. 612.) Καὶ ἐν τῇ διαμάχῃ δὲ τῇ παρὰ τὸν σόλον (Ἰλ: Ο'. ς. 711.)

„Ὀξέσι δὴ πελέκεσσι καὶ ἀξίνῃσι μάχοντο.

Ἔνθα καὶ κοντοῖς προσεχρήσαντο: (ς. 388.)

„Μακροῖσι ξυσοῖσι, τά ῥα σφ' ἐπὶ νηυσὶν ἔκειτο.
„Ναύμαχα, πολλήεντα, κατὰ σῶμα εἱμένα χαλκῷ.

Τελευταῖον δὲ καὶ ῥοπάλῳ ἐν πολέμοις κέχρηνται, οἷον Ἀρηίθοος, ὅτῳ Κορυνήτης τεθείκειν, ὅτι ἐχὶ τόξῳ, ἢδ' ἔγχει ἐμάχετο, ἀλλὰ σιδηρέῳ ῥοπάλῳ (Ἰλ. Η'. ς. 141.)

„Ἀλλὰ σιδηρείῃ κορύνῃ ἐήγνυσκε Φάλαγγας.

Τοιοῦτος ἦν καὶ περιφήτης ἐκεῖνος ὁ Κορυνήτης ἐπικληθεὶς παρὰ Πλεταέρχῳ, ὁ μόνῳ ἐνωπλισμένος ῥοπάλῳ, ὅπερ αὐτοῦ ἀφεῖλε Θησευς νικήσας, ὡς διέξεισι καὶ ὁ Σικελιώτης Διόδωρος, ἐν τῷ Δ'. Βιβλ.)

ΚΕΦΑΛ. Γ.

Περὶ τῆς ὕλης τῶν ὅπλων, καὶ τοῦ εἴδους αὐτῶν.

Τὰ πλείονα τῶν πάλαι Ἡρώων ὅπλα, ἐκ χαλκοῦ Ὅμηρος κατασκευάζει: ᾗ καὶ τῶν ποιητῶν οἱ ἀρχαιότεροι Ἕλληνές τε καὶ Λατῖνοι παρηκολουθηκότες εἰσί. Πολὺς δὲ τοῦτο ἐπισυνιστῶν ἐστὶ καὶ Παυσανίας ἐν τοῖς **Λακωνικοῖς**. Καὶ χάλκεια μὲν ὑπάρξαι τὰ τῶν παλαιῶν ὅπλα ἐπιβεβαιῶται ἐκ τῆς Πασάνδρου **ἀξίνης**, καὶ τοῦ πελέκεως τοῦ Μέμνονος, τῶν ἐκ χαλκοῦ ὄντων καθ' Ὅμηρον (Ἰλ: Ν'. ς. 612.) Προσέτι δὲ, καὶ ἐκ τῆς Ἀχιλλείου **Μελίας**, τῆς ἐν τῷ κατὰ Φακέλλιδα Ἱερᾷ τῆς Ἀθηνᾶς, ἀνατεθειμένης· καὶ δὴ καὶ ἐκ τοῦ Μεμνονείου ξίφους, τοῦ ἐν τῷ Ἀσκληπιοῦ τεμένει παρὰ τοῖς Νικομηδεῦσι περισωζομένου· τοῦ μὲν ξίφους ὁλοχάλκου πεφυκότος, τῆς δὲ Μελίας, τοῦ τε κατωτάτου μέρος, τὸ ἄκρον τὸ τῆς αἰχμῆς μόνον. Ἀλλὰ καὶ Πλούταρχος (ἐν τῷ Θησέως Βίῳ) διέξεισιν, ὅτι Κίμων ὁ Μιλτιάδου, τὸν Θησέως ἀνευρὼν τάφον, τὸν ἐν Σκύρῳ τῇ Νήσῳ, ἐντεῦθεν μετὰ τῶν λειψάνων, καὶ αἰχμὴ περιέτυχε παρακειμένη χαλκῆ, καὶ ξίφει, ἅπερ Ἀθήναζε ἐπὶ τριήρους μετεκομίσατο. Ὁμοίως δὲ Ἡρόδοτος (ἐν τῇ **Εὐτέρπῃ**) εἰς μνήμην παρέδωκεν, Γώνων τε καὶ Καρῶν τινὰς, κατὰ ληῖσίαν ἐπ' Αἰγύπτου προελθεῖν **ὁπλισθέντας χαλκῷ**. Εἰς τοῦτο δὲ φέρει, καὶ ὁ Διονύσιος ὁ Ἁλικαρνασσεὺς, (ἐν τῷ Δ'. τῶν Ῥωμαϊκ: Ἀρχαιολ:) „γράφει: ὅτι Σέρβιος ὁ Τύλλος ἐκέλευσεν, ἐκκρίτῳ „τινὶ Φυλῇ ὅπλα ἐπιδοθῆναι χαλκᾶ: Ἀσπίδας Ἀ„γολικὰς, καὶ δόρατα, καὶ κράνη χάλκεα, καὶ θώ„ρακας, καὶ κνήμας, καὶ ξίφη. Εὐθυντοὶ καὶ Λίβιος (ἐν τῷ Α'. Βιβλ:) Arma his imperata, galea, clypeus, ocreae, „lorica, omnia ex aere. (Ὅπλα τοῖς δ' ἐντέταλτο, κυνέ„ην ἔχειν, καὶ ἀσπίδα, καὶ κνημῖδας, καὶ θώρακα,

„πάντα ἐκ χαλκῦ.) Ἀμέλει τοι γὰρ ἡ τοῦ χαλκοῦ χρῆσις προτέρα ἐν ἀνθρώποις ἦν τῆς τοῦ σιδήρου, ὡς Ἡσίοδος μαρτυρεῖ: (ἐν τοῖς ἔργοις) ἔνθα περὶ τῶν διαφόρων τοῦ Κόσμου ἡλικιῶν, ἤτοι χρονικῶν προόδων, πραγματεύεται:

„ Τοῖς δ' ἦν χάλκεα μὲν τεύχη, χάλκειοι δέ τε οἶκοι,
„ Χαλκῷ δ' ἐργάζοντο, μέλας δ' οὐκ ἔσκε σίδηρος.

Προσεμπεδοῖ δὲ τοῦτο Λακρήτιος (ἐν τῷ Ε'. Βιβλ:)

Arma antiqua manus, ungues, dentes que fuere,
Et lapides, et item ſylvarum fragmina rami,
Et flammaeque ignes, poſt quam ſunt cognita primum,
Poſterius ferri vis eſt, aerisque reperta;
Sed prius aeris erat, quam ferri cognitus uſus.

„ (Ὅπλα πάλαι χεῖρες τ', ὄνυχές τε, ὀδόντες τ' ἔσσαν·
„ Καὶ λᾶες θ', ὑλῶν τε θραύσματα αὐτὰρ πρέμνα·
„ Καὶ πυρὸς φλόγες· ὡς τάδε πρῶτον δῆλα δὲ γέντο,
„ Εἶτα σιδήρου δ' ἐγνώσθη μένος, ἠδέ τε χαλκοῦ·
„ Χαλκοῦ δ' ἡ χρῆσις προτέρη ἦν, ἠὲ σιδήρου.)

Ἔνθεν τοι καὶ μετὰ τὸ τὴν σιδήρου χρῆσιν ἐπικρατῆσαι, ἡ τοῦ χαλκοῦ τιμὴ προσέτι διέμεινε, καὶ τὰ τῶν Ἡρώων τεύχη ἐκ χαλκοῦ ἐτεκταίνετο. Μᾶλλον δὲ καὶ αὐτὸς ὁ σίδηρος τῇ τοῦ χαλκοῦ κλήσει ὑπεσημαίνετο: χαλκεὺς γὰρ προσείρηται καὶ ὁ τὸν σίδηρον κατεργαζόμενος, ἡ Ἀριστοτέλης φησὶν, ἐν τῇ Ποιητικῇ. Οὗ παρ' Ὁμήρῳ (Ὀδυσ: Α'. ϛ. 184.) ὑπόδειγμα ἡ τῶν μετάλλων θατέρου μετάληψις ἐπὶ θάτερον: Ἐν οἷς Μέντης φησὶ περὶ ἑαυτοῦ ὅτι πλέων ἐπὶ οἴνοπα πόντον.

„ Εἰς Τεμέσην μετὰ χαλκὸν, ἄγω δ' αἴθωπα σίδηρον·

Καὶ χαλκεὺς ἔν ἐρηταί πω, ἀξίνην σίζουσαν ἐν ὕδατι βάπτων . . . . . τὸ γὰρ αὖτε σίδηρόν γε κράνος ἐσὶ C. δή τινας ἐνήγαγεν, εἰς τὸ, Γεηρὰ, ἤτοι Κεράμεια ἑρμηνεῦσαι τὰ Κράνη, ἅπερ Ὅμηρος χάλκεα εἶπεν. Οὕτω καὶ Πλέταρχος (εἰς βίον Καμίλλ.) ἐχαλκεύσατο φησὶ, κράνη τοῖς πλείοις ὁλοσίδηρα.

Ἀλλὰ γὰρ ἀπὸ τῦ χαλκῦ τὸν σίδηρον ὁ Ποιητὴς εὖ μάλα διέκρινεν ἐπὶ τῆς τῶν Ἡρώων ἐφοπλίσεως· Παρατετηρηκὼς γάρ ἔοικε· τὴν μὲν τῦ σιδήρυ χρῆσιν ἐπὶ τοῖς ἀμυντηρίοις τῶν ὅπλων χεδὸν συνέλκειν, τὸν δὲ χαλκὸν ἀναμὶξ καὶν τοῖς λοιποῖς ὑποτίθεσθαι. Ἀμέλει τοι γὰρ, ὡς μετ' Ἀριστοτέλην γέγραφε Πλέταρχος, (ἐν Γ'. Βιβλ: τῶν συμποσιακ:) αἱ διὰ τῦ χαλκῦ τρώσεις ἧττον εἰσὶν ἀλγειναὶ, ῥᾷον δ' ἀπέσιμοι· ὥσε τὲς μεγαλοψύχυς ἐκείνυς Ἥρως, χαλκῷ κατὰ τῦ πολεμίυ ἐπιέναι, ἢ σιδήρῳ αἱρεῖσθαι. Προσῆν δὲ καὶ Κασσίτερος τῇ τῶν Ἡρώων ὁπλίσει, ὡς τῷ τῦ Ἀγαμέμνονος θώρακι, (Γλ: Λ'. ς. 25.) καὶ ταῖς Ἀχιλέως κνημῖσι, (Γλ: Σ'. ς. 612.) καὶ τῇ Αἰνείυ ἀσπίδι, καὶ τοῖς Διομήδες δὲ ἅρμασιν· (Γλ: Ψ'. ς. 503.) καὶ ἄλλοις τοιέτοις. Καὶ χρυσῦ δὲ, καὶ ἀργύρυ, πολλή τις ἁπανταχῦ ἐπὶ τῶν Ἡρωϊκῶν ὅπλων ἐπιφαίνεται χρῆσις. Ἀλλὰ γὰρ (ἐν τῇ Γλ: Β'. ς. 872.) Ἀμφίμαχος διαψέγεται:

„ Ὃς καὶ χρυσὸν ἔχων, πόλεμόν δ' ἴεν, ἠΰ τε κέρη.
„ Νήπιος . . . . . .

Οὕτω τοι καὶ τοῖς Πέρσαις ἐν μάχαις χρυσοφορεῦσιν, εἰς ψόγον „τρέπεται παρὰ τῷ Πλετάρχῳ (ἐν Βίῳ Ἀριστείδ:) Ἐθῆτος „ποικίλματα, καὶ χρυσὸς, ἐπὶ σώμασι μαλακοῖς, καὶ ψυ„χαῖς ἀνάνδροις. Κατ' ἔθος γε μὴν τὸ ἐκείνων κεκοσμῆθαι καὶ τὸς Ὁμηρικὸς Ἥρως Δίων φησὶν ὁ χρυσόστομος (ἐν λόγ. Β'. τῶν περὶ „Βασιλείας.) Οὔκουν μέντοι φαίνεται χρυσοφορίας ἐπαινῶν „Ὅμηρος, καὶ ταῦτα εἰς πόλεμον, ψελίων τε καὶ στρεπτῶν, „ἔτι δὲ χρυσῶν φαλαρίων, καὶ χαλινῶν, ὁπόσα τὸς Πέρ„σας φασὶν ἐπιτηδεύειν.

Τῆς δὲ δὴ τῶν ὅπλων στιλπνότητός τε καὶ αἴγλης λίαν ἐπιμελῶς εἶχον οἱ Ἥρωες, ἔχ ἕτω καλλωπισμὸς χάριν, ὡς εἰς τὸ κατάπληξιν τισὶ τοῖς ἐχθροῖς ἐμποιεῖν. (ὡς Ἰλ: Ν'. ς. 340.) εἴρηται:

„. . . . . Ὅσσε δε ἄμερδεν
„Αὐγὴ χαλκείη κορύθων ἀπὸ λαμπομενάων.

Ταύτῃ δέ τοι καὶ τὰ αὐτῶν ὅπλα διαφόροις γραφαῖς κατεποίκιλλον. Τοιῦτος ἦν ὁ τῦ Ἀγαμέμνονος θώραξ: ὃν δέκα μὲν εἶμοι ἐκ μέλανος κυανῦ μετάλλα, δυωκαίδεκα δ' ἐκ χρυσῦ, εἴκοσι δ' ἐκ καστιτέρω διέστιζον:

„Κυάνεοι δὲ δράκοντες ὠρορέχατο προτὶ δειρὴν
„Τρεῖς ἑκάτερθεν . . . . . .

Ἐπί γε τῆς ἀσπίδος δὲ μάλιστα τετὶ χώραν εἶχεν, οἵαν δὴ πρὸ τῶν ἄλλων Ὅμηρος ὑπέγραψε τὴν Ἀχιλλέως, ὑπὸ Ἡφαίστω ἀπεξεργαθεῖσαν, καὶ εἰκόσι παντοίαις κατηγλαϊσμένην καὶ διαπρέπουσαν, (Ἰλ: Σ'. ς. 478. κξ) ἤ τινι παραπλησίᾳ καὶ ἣν ἐν ἰδιαιτέρῳ ποιήματι (ἣ ἐπιγραφὴ ἀσπὶς Ἡρακλ:) Ἡσίοδος ἐφιλοτεχνήσατο. Καὶ ἦν προσέτι, καὶ τῷ Αἰνείᾳ ὑπὸ τῦ αὐτῦ Ἡφαίστω τεκτονηθεῖσαν, Οὐϊρ-

γιλιος (Αἰνειάδος Η'. ς. 729.) παρεσήσατο. Ἀλλὰ καὶ ἡ Ἀσπὶς ἡ τῦ Τύρνε τὴν Γῆ γεγραμμένην παρίση, καὶ τὸν ἄργον φερεὸν, καὶ τὸν ποταμὸν Γναχον, οἶνον προχέοντα. Οὕτω γὰρ εἰώθεν, ἐπὶ τῆς ἀσπίδος ἀεὶ δηνεκές τι προφέρειν σύμβολον. Γράφει δ' ἔν Σέρβιος, (ἐν τῷ Β': τῆς Αἰνειάδ':) ἐπὶ μὲν τοῖς Ἕλλησιν σάκεσι τὸν Ποσειδῶνα φιλεῖν εἰκονίζεσθαι, ἐπὶ δὲ τοῖς Τρώων τὴν Ἀθηνᾶν. Ἀλλὰ γὰρ Ὀδυσσέα, Δελφῖνα φέρειν ἐπὶ τῦ σάκες ἐπίσημον, ὁ Πλάταρχος (ἐν τοῖς περὶ ἀγχινοίας) φησίν. Ἀγαμέμνονα δὲ τὸν Φόβον, Λέοντος κεφαλῆ φέρειν ἐξικαζόμενον, Παυσανίας (ἐν τοῖς Ἠλειακοῖς) διηγεῖται. „Καὶ Πλάταρχος δ' ἆυθις λέγει, ὅτι τὸν Ἀλκιβιάδην διεσήμαι„νεν ἀσπίδος διαχρύσε ἡ ποίησις, ἀδὲν ἐπίσημον τῶν „πατρίων ἐχέσης, ἀλλ' Ἔρωτα κεραυνοφόρον.

Πρώτισοι δὲ τῦ τοιέτε ἔθες εὑρεταὶ λέγονται γενέσθαι Κᾶρες· Παῤ „Ἡροδότῳ (ἐν τῇ Κλειοῖ.) Καὶ γὰρ ἐπὶ τὰ κράνεα λόφες „ἐπιδέεσθαι, Κᾶρες εἰσὶν οἱ καταδείξαντες, καὶ ἐπὶ τὰς „ἀσπίδας τὰ σημεῖα ποιέεσθαι: καὶ ὄχανα ἀσπίσιν ἔτοι „εἰσὶν οἱ ποιησάμενοι πρῶτοι.

Καὶ ταῦτα μὲν περὶ τῆς τῶν πάλαι τῆς Ἑλλάδος Ἡρώων ἐξοπλίσεως ἐκ τῶν Ὁμήρε εἰρήσθω, οἷς οἱονεὶ Κορωνίδα προσαπτέον τὸ ὑπὸ Πλατάρχε σημειωθὲν: ὅτι τὲς γενναιοτάτες ἐκεῖνος ἄνδρας καὶ μαχικωτάτες ἀρίσα εἰς μάχην καθοπλισθέντας ἐξῆγεν, ὡς μὴ προπε„τῶς, μὴ δ' εἰκῇ τὸ ζῆν προΐεσθαι. Ὅθεν Ὅμηρος (φησὶν) ἀεὶ „τὲς θαρραλεωτάτες καὶ μαχιμωτάτες ἄνδρας, „ἓυ καὶ καλῶς ὡπλισμένες ἐξάγει πρὸς τὲς ἀγῶ„νας. (ἐν βίῳ Πελοπίδε.)

ΚΕΦΑΛ. ΙΑ'.

Περὶ τῶν Ἵππων.

Καὶ τῶν ἵππων δὲ, πολλή τις ἦν τοῖς Ἥρωσιν ἐν πολέμῳ ἡ χρῆσις, διὸ πανταχῆ ἱππόδαμοι προσείρηνται καὶ ἱπποπορισαὶ ἐξ ὧν ἐπεξήσκων ἵππων, καὶ ποικίλοις καλλωπίσμασιν ἐπεκόσμων. Καὶ χρυσήνιοι δ' ἐνίοτε ἐπικέκληνται διὰ τὰς χρυσέας χαλινὰς· οἷος ἦν ὁ τῆ „Μασισίᾳ, ὅς τις καθ' Ἡρόδοτον (ἐν τῇ Καλλιόπῃ) ἵππον ἦν ἔχων „Νισαῖον χρυσοχάλινόν τε καὶ τἄλλα καλῶς κε„κοσμημένον. Τᾷ μέντοι Μύδονι τὰ χαλινά, ἐλέφαντι κατηγλάϊσο. (Ἰλ: Ε'. ς. 583.)

„Ἡνία λευκὰ ἐλέφαντι χαμαὶ πέσον. . . . . .

Ἦν δέ πε τοῖς ἵπποις τὸ Παρήϊον ἐλεφάντινον, καὶ φοινικῆν πορφυρόχρων: (Ἰλ.: Δ'. ς. 142.) Βασιλεῦσι μάλιστα διαφέρον, ὡς λέλεκται: Βασιλῆϊ δὲ κεῖται ἄγαλμα. Ἦν δὲ καὶ σπαρτίον περίχρυσον, δι' ἧ συνεξέλλοντο αἱ κόμαι, αἱ ἐπὶ τοῖς μετώποις τῶν ἵππων διαχεόμεναι· ὅπερ Ὁμήρῳ μὲν Ἄμπυξ ὠνόμασο, (Ἰλ. Χ'. ς. 469.) „Εὐσαθίῳ δὲ διημήνευτο: Σειρὰ κατάχρυσος, τὰς περὶ „τὸ μέτωπον τρίχας τῶν ἵππων συνδέσα (ἐξ ἧ καὶ „οἱ ἵπποι χρυσάμπυκες ἦκεσαν. (Ἰλ. Ε'. ς. 558. καὶ ς. 790.) Καὶ μὲν δὴ, καὶ τὴν αὐτῶν χαίτην τὴν τῇ ζεύγλῃ περὶ τὸν ζυγὸν ἀναδεμένην. (Ἰλ. Ρ'. ς. 440. καὶ Τ'. ς. 406.)

„. . . . . Θαλερὴ δὲ μιαίνετο χαίτη,
„Ζεύγλης ἐξερίπᾶσα παρὰ ζυγὸν . . . . . .

Τὰς δὲ δὴ τῶν ἵππων χαίτας ἡ ὕδατι εἰώθεσαν πλύνειν, ἐπιχέοντες ἔπειτα καὶ ἔλαιον, ὅπερ Ἀχιλεὺς φησὶν ὑπὸ Πατρόκλε πολλάκις τοῖς ἑαυτῆ ἵπποις γενέσθαι: (Ἰλ. Ψ'. ς. 281.)

„ . . . Οἳς σφῶϊν μάλα πολλάκις ὑγρὸν ἔλαιον
„ Χαιτάων κατέχευε λοέσσας ὕδατι λευκῷ.

Ἵν' ἅτως θαλερώτεροί τε καὶ ἑιλπιότεροι φαίνοιντο· Ἐφέρβοντο δ' αὐτοῖς οἱ ἵπποι, (Ἰλ: Β. ς. 776.)

„ Λωτὸν ἐρεπτόμενοι, ἑλαόθρεπτόν τε σέλινον.

Οἱ δὲ τῆ Πανδάρε ἤθιον (Ἰλ: Θ'. ς. 760)

„ . . . . . Κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας.

Οἱ δὲ τῆ Διομήδες, καὶ σῖτον: (Ἰλ: Κ'. ς. 569.)

„ . . . . . Μελιηδέα πυρὸν ἔδοντες.

Ταὐτὰ γέγραπται καὶ περὶ τῶν Ἕκτορος ἵππων· παρ' ὅσον, ὅτι τούτοις παρέχετο εἰς ποτισμὸν καὶ οἶνος, ὃν Ἀνδρομάχη ἐνεκίρνα. (Ἰλ: Θ'. 189.) Τὸ δὲ τοῖς κατίχνοις τῶν ἵππων οἶνον ἐγκεραίνειν πιέσθαι καὶ Κολεμέλλας παρέδωκεν.

Ἐμάχοντο δὲ καὶ δι' ἵππων, ἀλλ' ἐκ ἄλλως, ἢ ἅρματι ἐπιζεύκτων, καὶ τούτῳ διαφόροις ἐπικοσμήμασι διασήμῳ: οἷον (Ἰλ. Κ'. ς. 438.) τὸ Ῥήσε φαίνεται:

„ Ἅρμα δέ οἱ χρυσῷ τε καὶ ἀργύρῳ εὖ ἤσκητο.

Οἷαπερ ἦν καὶ τὰ τῆ Διομήδες: (Ἰλ. Ψ'. ς. 503.

„ Ἅρματα δὲ χρυσῷ πεπυκασμένα, καασσιτέρῳ τε.

Παραπλησίως καὶ παρὰ Κερτίῳ (ἐν τῷ Γ'. Βιβλ.) τὰ Ὀρσῖνος τῆ Πέρσε ἅρματα χρυσῷ τε καὶ ἀργύρῳ κεκόσμητο. Καὶ παραπετάσ-

μασι δὲ ἐπεσκέπετο τὰ ἅρματα : (Γλ: Ε'. ς. 195.) ὡς οἱ Λυκάονος ἔνδεκα δίφροι :

„ Καλοὶ, πρωτοπαγεῖς, νεοτευχέες· ἀμφὶ δὲ πέπλοι
„ Πέπτανται . . . . . .

Καὶ τὰ Ἀχιλλέως δὲ, (Γλ: Β'. ς. 777.) ἔρηται :

„ . . . . . Ἅρματα εὖ πεπυκασμένα. . . . .

Δύο δὲ τὰ πλεῖστα τοῖς ἅρμασι προσεζεύγνυντο ἵπποι, ὡς τοῖς τοῦ Λυκάονος : (Γλ. Ε'. 195.)

„ . . . . . Παρὰ δέ σφιν ἑκάστῳ δίζυγες ἵπποι
„ Ἕστᾶσιν. . . . . .

Δύω δ' ὡσάυτως ἦσαν καὶ οἱ ἐν τῷ ἅρματι τοῦ Ἀχιλλέως, (Γλ : Τ'. ς. 400.) ἐπιζευγνύμενοι :

„ Ξάνθος, καὶ Βαλίας, τηλεκλυτὰ τέκνα Ποδάργης.

Παραπλησίως δὲ καὶν τῷ Ζ'. Βιβλ. τῆς Αἰνειάδ : ς. 280.),

Abſenti Aeneae currum, geminosque jugales.
„ (Αἰνείᾳ δίφρον δ' ἀπεόντι, δύω ζυγίω τε.)

Προσετίθετο δ' ἐνίοτε καὶ τρίτος ἵππος, παρήορος Ὁμήρῳ καλόμενος· ὁ παρεζευγμένος, ἢ φησὶν Εὐσάθιος : (ἦγεν ὁ ἐγγὺς ὢν τῶν συζύγων, ἢ ζυγίων·) προσιθεὶς, ὅτι ἐ συνεσφιγμένως καὶ σεβρῶς οἱ παρήοροι τῷ ἅρματι συνεδέντο, ὥσπερ οἱ σύζυγες, ἄφετοι δὲ ἐώθεσαν παραείρεσθαι, ἢ παραζεύγνυσθαι. Τὸν δ' ἱμάντα ᾧ συνείχοντο παρηορίαν Ὅμηρος ἀπεκάλει: (Γλ: Θ'. ς. 87.) ἥπερ ἀποτέτμηκε Νέστωρ, τῷ ἵππῳ δεινῶς αὐτῷ τρωθέντος, ἵνα μὴ καὶ τοῖς ἄλλοις γένηται κώλυμα :

„ Ὄφρ' ὁ γέρων ἵπποιο παρηορίας ἀπέτεμνε
„ Φασγάνῳ αἴσσων . . . . . .

Τοιόσιος ἦν καὶ ὁ Σαρπηδόνος παραζύγιος ἵππος, ὃν ὡσάυτως ἐπιτρωθέντα φθάσας ἀπέκοψεν Α'υτομέδων, (Ἰλ: Π'. ς. 474.)

„ Αἴξας ἀπέκοψε παρήορον. . . . . .

Μέμνηται δὲ τῶ τοιότε ἔθος Διονύσιος ὁ Ἁλικαρνασσεὺς, (ἐν Ζ'. τῶν „Ῥωμαϊκ: Ἀρχαιολογ.) Ἀρχαῖον (τῶτο) ἐπιτήδευμα καὶ Ἡρωϊ„κὸν, ᾧ ποιῶ τὸς Ἕλληνας Ὅμηρος ἐν ταῖς μάχαις χρω„μένες. Δυσὶ γὰρ ἵπποις ἐζευγμένοις, ὃν τρόπον ζεύγ„νυται συνωρὶς, τρίτος παρείπετο σειρᾶος ἵππος, „ἑυτῆρσι συν-εχόμενος, ὃν ἀπὸ τῶ παρηορῆσθαι καὶ „συνεζεῦχθαι, παρήορον ἐκάλεν οἱ παλαιοί. Προσί„θησι δ' ἕν, ὅτι ἐπ' αὐτῶ τόδε τὸ ἔθος κατήργητο, παρὰ δὲ τοῖς Ῥωμαίοις ἔτι διεσώζετο. Ἅλως τε δὲ καὶ τέσσαρες ἵπποι, ἐν τῷ Ἕκτορος ἅρματι συνεζευγμένοι φαίνονται παρ' Ὁμήρῳ: (Ἰλ: Θ'. ς. 185.) Οὕτω γὰρ πρὸς αὐτὸς Ἕκτωρ προσφθέγγεται:

„ Ξάνθε τε, καὶ σὺ Πόδαργε, καὶ Αἴθων, Λάμπε τε δῖε:

Ἅλ' οἱ παλαιοὶ τῶν Κριτικῶν οἴονται, τὰ πρότερα δύο τῶν ὀνομάτων, ἐπίθετα εἶναι τῶν δευτέρων· (οἱ δὲ φασὶ, τὰ Ξάνθε, καὶ Λάμπε εἶναι τὰ κύρια·) δισσὸς μόνον ἐπιγινώσκοντες ὄντας τὸς ἵππος· καὶ τοιῶδε λόγῳ ἐπερειδόμενοι: ὅτι ἐπὶ δυϊκῷ τῷ ἀριθμῷ Ἕκτωρ ἐλάλει: Νῦν μοι τὴν κομιδὴν ἀποτίνετον. Ἅλλοθεν μέντοι γε δῆλον, ὅτι καὶ ἡ τῶ τετρώρε χρῆσις, ἐκ ἦν Ὁμήρῳ, ἀγνοεμένη, (ὡς ἐκ τῆς Ν'. Ὀδυσ: ς. 81.) ἐςὶν ἰδεῖν: ἔνθα εἴρηται, τὴν Φαιάκων Ναῦν ἑίμφα θέειν·

„ Ἠδ' ὥς τ' ἐν πεδίῳ τετράοροι ἄρσενες ἵπποι.

Εἰς τὸ γᾶν τὸς ἵππος ἰθύνειν, ἐπὶ τῶ δίφρε καθῆτο ὁ διφρελάτης, ἐλαύνων τῇ μάστιγι· παρὰ τέτῳ δ' ὁ παραιβάτης ἵστατο.

μαχόμενός τε ἐκ τῦ ἅρματος, καὶ ἅμα ὑπαγορεύων, οἵπερ ἂν ἄρα ἐκεῖνος τὸ ἅρμα τρέψαιτο, ὡς (ἐν τῇ Θ'. Γ'λ:) σημειοῖ Εὐσάθιος· Καὶ τόγε δὴ πρῶτον τῶν εἰρημένων δίο ἔργων ἐπλήρᾳ, ἀνδρῶν τῶν ἐν ὑπεροχῇ τις: οἷον Πάνδαρος ὁ τῦ Λυκάονος· καί τοι γε τῷ παραιβάτῃ Αἰνείᾳ κατά τινα λόγον ὑποχωρήσας: (ἐν Ε'. Γ'λ: ς 230.) Καὶ Νέσωρ δὲ, ἐν τῷ Διομήδες ἅρματι: (Γ'λ: Θ'. ς. 116.) Ὁμοίως δὲ καὶ οἱ δύο τῶν υἱῶν Πριάμε: ὅ τε Νόθος, καὶ ὁ Νόμιμος, ὧν ἐκείνε διφρελατῆντος, ἧτος ἐμάχετο: (Γ'λ: Λ'. ς. 103.) Ἀλλὰ καὶ Ἕκτωρ (Γ'λ: Ρ'. ς. 430.) παντόιως ἔχαιρε διφρελατῶν:

„ Πολλὰ μὲν ἅρ μάσιγι θοῇ τὰς ἵππας ἐλάυνων,
„ Πολλὰ δὲ μειλιχίοισι προσήυδα, πολλὰ δ' ἀρειῇ.

Τό γε μὴν ἔργον τόδε, τοῖς Περσῶν Ηγεμόσιν ἐλογίζετο ἐκ ἐυπρεπὲς, νόμῳ αὐτοῖς ὂν βασιλικῷ ἀπηγορευμένον, τὸ ἅπτεσθαι τῶν χαλινῶν, ὡς ἐκ τῦ Διοδώρε δῆλον, (Βιβλ: ΙΖ'.) ἔνθα Δαρεῖος ὑπὸ ἀνάγκης ἀγόμενος τῆς ἐχάτης, τὰς τῶν ἵππων ἡνίας ἀνέλκυσε. Τἆλλα δὲ καὶ ἀπὸ τῦ ἅρματος ἀπεπήδων, ὡς μαχεσόμενοι, καθὰ Μενέλαος κατὰ τῦ Πάριδος: (Γ'λ: Γ'. ς. 29.)

„ Αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἅλτο χαμᾶζε.

Ὡσάυτως δὲ καὶ Ἕκτωρ: (Γ'λ: Λ'. ς. 211.)

„ . . . Ἐξ ὀχέων σὺν τεύχεσιν ἅλτο χαμᾶζε,
„ Πάλλων δ' ὀξέα δῦρα, κατὰ στρατὸν ᾤχετο πάντῃ.

Οὕτω δὲ καὶ παρὰ Ησιόδῳ, (ἐν τῇ ἀσπίδι) Ηρακλῆς τε καὶ Κύκνος πολεμησείοντες:

„ . . . . Ἐυπλεκέων δίφρων θόρον αὖψ' ἐπὶ γαῖαν.

Καὶ παρὰ Οὐιργιλίῳ δὲ: (Αἰνειάδ: Γ'. ς. 453.)

Defiluit Turnus bijugis, pedes apparat ire.

„ (Τύρνος δ' ἐλθεῖν ἐκ δίφρε πεζὸς κατὰ ἅλτο.)

ΚΕΦΑΛ. ΙΒ'.

Περὶ Νηῶν.

Ἐπὶ τῇ τῦ πολέμυ παρασκευῇ καὶ τὸ Ναυτικὸν ἐπανήκει· Ναυσὶ γὰρ Ἕλληνες ἔπλευσαν ἐπ' ἐκπορθήσει Τροίας, ἑκατὸν ὀγδοήκοντα ἢ ἓξ ἐπὶ ταῖς χιλίαις, ὡς ἐκ τῦ Καταλόγυ, τῦ ἐν τῇ Β'. Ῥαψῳδίᾳ τῆς Ἰλιάδος πάρεσιν ἐκλογίσασθαι καὶ τοι Θεκυδίδης διακοσίας πρὸς ταῖς χιλίαις ἐξαριθμεῖ. Ἐν αὐταῖς ἓν ἐμάχοντο ὅπλοις προσχρώμενοι ναυτικοῖς, οἷα τὰ ξυσὰ ὑπῆρχε τὰ ναύμαχα: (Ἰλ: Ο'. ς. 389.) Τῷ δ' ὄντι Ἀχιλλεὺς ἔφη: (Ἰλ: Ι'. ς. 328.) ὅτι πόλεις δυωκαίδεκα αὐτὸς τῷ ναυτικῷ τῷ ἑαυτῦ ἐξεπόρθησε:

„ Δώδεκα δὲ σὺν νηυσὶ πόλεις ἀλάπαξ' ἀνθρώπων.

Καὶ Ὀδυσσεὺς δ' ἀνακηρύττει, ἐν ναυμαχίαις ἐννέα ἡγεμονεῦσαι· (Ὀδυσ: Ξ'. ς. 230.)

„ Ἐννάκις ἀνδράσιν ἦρξα, καὶ ὠκυπόροισι νέεσσιν
„ Ἄνδρας ἐς ἀλλοδαπάς . . . . . .

Οὕτω δ' οἱ πάλαι πειρατικοὶ, ναῦς ἁπανταχῦ ἄγοντες παρεσκευασμένας παντοίων εἴδεσιν ὅπλων, ὧδε κἀκεῖσε περιήεσαν λωποδυτῦντες· καὶ μάχαις ἐπαχθεσάταις κατὰ γῆν τε καὶ θάλασσαν, ἄνω καὶ κάτω πάντα ἦγον τε καὶ ἔφερον, ὡς ἐκ τῶν Ὁμήρυ πολλαχῦ γίνεται δῆλον, ἢ ὑπὸ τῦ Θεκυδίδυ δὲ ἐν Προοιμίοις τῦ Α'. Βιβλ: προσεμπεδῶται: ὃς δὴ καὶ παρέδωκε, κατὰ τὸν ἐκείνων τρόπον, καὶ τὰς τῶν Ὁμηρικῶν Ἡρώων νῆας κατεσκευᾶσθαι· ἤτοι δήπυ σεσανιδωμένας, ἤτοι ἐχὶ κεκαλυμμένας σανίσιν, ἀλλ' ἀποκεκοιλωμένας ἔτως, ὥστε τὴν εἰς μάχην παρασκευὴν σὺν αὐτοῖς κάτω ἐν τῇ νηὶ ὑποκεῖσθαι, καθάπερ ὁ Σχολιαστὴς ἀναπτύσσει. Ἐκ μὲν ἓν τῶν τῦ

τοιάτε γένες ἀνθρώπων αἱ ναυμαχίαι τὴν ἀρχὴν προῆλθον, αἱ ὕστερον ἐν Ἑλλάδι τεθρυλλημέναι. Τέτων πρώτην Ἴωνες μετῆλθον σὺν Κύρῳ, ἔπειτα δὲ Πολυκράτης διὰ τέτων νήσες πολλὰς ἑαυτῷ καθυπήγαγεν. Ἐφεξῆς δὲ Φωκεῖς Καρχηδονίες μάχῃ ναυτικῇ ὑπερέχον· εἰς ὃ τελευταῖον ἐπὶ τῦ Μηδικῦ πολέμε, Δαρείε τε δὴ καὶ Ξέρξε βασιλευόντων, ἐν ὀλίοις μείζοσιν οἱ ναυτικοὶ προήχθησαν πόλεμοι, ὡς διέξεισι Θεκυδίδης. Ἀλλὰ τῶν νηῶν αἱ μὲν πρότεραι, προμηκέσεραί τε ὑπῆρχον, καὶ μακροτέραις ταῖς εἰρεσίαις προσελαυνόμεναι, αἳ καὶ ὁτὲ μὲν ἐν πλείοσιν, ὁτὲ δ' ἐν ἐλάττοσι τᾷ ἀριθμᾷ κώπαις προήγοντο. Ἐν μὲν ἓν τῇ Ὀδυσσ: Γ. ς. 522.) μνεία γίγνεται νηὸς ἐικοσόροιο. ἐν δὲ Ἰλιάδ: Β. ς. 719:) ἑρέται ἐν νηῒ ἑκάστῃ ἐνῆσαν πεντήκοντα· οἱ αὐτοὶ καὶ τόξων εὖ εἰδότες μάχεσθαι, ἐπὶ τῶν γε τῦ Φιλοκτήτε νηῶν. Αἱ δὲ δὴ τοιαῦται νῆες, πεντηκόντοροι παρ' Ἕλλησιν ἐκαλῦντο, ἐν πολλῇ μάλα χρήσει κοινῇ τυγχάνσαι: ἐν οἵαις πρώτες τὲς Φωκαεῖς πλεῦσαι, Ἡρόδοτος ἱστορεῖ: (ἐν τῇ Κλειοῖ.)

„Οἱ δὲ Φωκαεῖς ἔτοι, ναυτιλίῃσι μακρῇσι πρῶτοι Ἑλλήνων
„ἐχρήσαντο, καὶ τόν τε Ἀδρίην, καὶ τὴν Τυρσηνίην, καὶ
„τὴν Ἰβηρίην, καὶ τὴν Ταρτησσὸν, ἔτοι εἰσὶν οἱ καταδείξαν-
„τες. Ἐναυτίλλοντο δὲ, ἐς ροδογύλλῃσι ναυσὶν, ἀλλὰ πεντηκοντόροισιν. Τοιάυτη ἦν ἡ Ἀργὼ πεντηκόντορος, ὡς ἐκ τῦ ἀριθμῦ δηλῦται τῶν Ἀργοναυτῶν, οἵτινες ὑπῆρχον αὐτερέται. Καί τοιγε Θεόκριτος (ἐν τῷ Ὕλᾳ) τριακοντάζυγον λέγει ναῦν τὴν κώπαις δηλονότι τριάκοντα ἑκατέρωθεν προσωθεμένην. Ἦν δὲ δήπε τῶν τοιῶνδε νηῶν τὸ εἶδος παρεμφερὲς τῇ Galeae (Τριήρει:) τῇ παρὰ πολλοῖς ἔθνεσι καθ' ἡμᾶς ἐν χρήσει. Ἀλλ' αἱ Τριήρεις αἷς οἱ παλαιοὶ θαμὰ προσεχρῶντο, ὕστερον τῶν Ἡρώων ἔυρηνται, καὶ πρῶτον δὴ ἐν Κορίνθῳ, ὡς Θεκυδίδης παρέδωκεν.

Αἱ τοίνυν νῆες εἰώθεσαν γράφεσθαι, καὶ χροιαῖς ποικίλαις διαλαμπρύνεσθαι· ὅθεν Ὅμηρος Μιλτοπαρήῖος ἐκάλεσεν (Ἰλ: Β'. ς.

637.) καὶ Φοινικοπρῴρες (Ὀδυσ. Λ'. ς. 123. καὶ Ψ'. ς. 271.) Καὶ ἔτω δὲ καὶ Οὐιργίλιος (Αἰνειάδ: ἐν τῷ Η'. ς. 95.) Pictas carinas (γραπτὰς τρόπεις) ἄδει. Ἔνθα Σέρβιος: Homerus meminit, quod naves pingebantur rubrica (Ὅμηρος μνημονέυει τὰς νῆας μίλτῳ κεχρῶσθαι.) Καὶ τὸ ἔθος δὲ „τόδε ἀρχαιότατον εἶναι φησὶν Ἡρόδοτος, (ἐν τῇ Θαλ:) Τὸ δὲ „παλαιὸν ἅπασαι αἱ νῆες ἦσαν μιλτοπάρῃοι. Καὶν τοῖς ὑστέροις δὲ χρόνοις κοινῇ ἐκράτησε τὰς ναῦς περιχρωματίζεσθαι. Ὁ γᾶν Σενέκας (ἐν Ἐπις. ΟΖ'.) Navis bona dicitur, non quae ſpecioſis coloribus picta eſt, nec cui argenteum roſtrum eſt, nec „cujus tutela ebore celata eſt. (Ναῦς ἀγαθὴ λέγεται, „ἐ.χ ἡ ἐυανθέσι χρώμασι καταγεγραμμένη, ἔϑ' ἧς τὸ „ἔμβολον ἐσὶν ἀργυρᾶν, ἔϑ' ἧς τὸ σκέπας (ἢ τὸ πρόβλημα) „ἐλέφαντι διαγέγλυπται.) Εἰώθεσαν δὲ καὶ εἰκόνας τινὰς ταῖς νήεσιν ἐπιζωγραφεῖν, ἐξ ὧν ἂν παρείη καὶ ἐπονομάζεσθαι. Οὕτω παρὰ Οὐϊργιλίῳ (Αἰνειάδ: Ε'.) αἱ νῆες, Πίρις τε, καὶ Κένταυρος, καὶ Χίμαιρα ἐπεκλήθησαν. Καὶ ἡ Ναῦς δὲ, ἐν ᾗ ἡ Εὐρώπη διεπορθμεύθη, ὠνομάζετο Ταῦρος, ὡς ὑπὸ Ἀγαθαρχίδε τῦ Κνιδίε (ἐν τοῖς Εὐρωπαϊκοῖς) παραδέδοται. Οὕτω καὶ τὸ παρὰ τῷ Λεκιανῷ πλοῖον ἑκατέρωθεν ἦν ἔχον, τὴν ἐπώνυμον τῆς νεὼς Θεὸν Ἴσιν. Ἀλλ' εἰωθότες ἦσαν τὰς Θεῶν εἰκόνας ἐπὶ ταῖς ναυσὶ παρισᾷν, καὶ χάριν ἀσφαλείας τε καὶ προσασίας: ὡς τοῖς γε Φοινίξιν οἱ Παταϊκοὶ προβάλλοντο· (παρ' Ἡροδότῳ ἐν τῇ Θαλ:) „τοῖς οἱ Φοίνικες ἐν τῇσι πρώρῃσι τῶν Τριήρεων περιάγεσι. Παραπλήσιον δέ τι καὶν ταῖς Ὀμηρικαῖς Ναυσὶ, καὶ ὁ Σχολιαστὴς παρεσημειώσατο: (Ἰλ: Ι'. ς. 241.) ἔνθα Ἕκτωρ μεγαλαυχῶν καθηπείλει

„ἀποκόψειν τὰ τῶν νηῶν ἄκρα κόρυμβα. Ἐπειδὴ (φησὶν „ὁ Σχολιαστὴς) ἐπὶ τῶν ἀκροστολίων ἦσαν ἀγάλματα καὶ „εἰκόνες τῶν Θεῶν· ἐκκλίνων ἓν τὴν τῶν Θεῶν ὀργὴν τοῦτο „ποιεῖ. Ταῦτα μέντοιγε, κατὰ τὰς ναυμαχίας μάλιστα, οἱ παλαιοὶ εἰώθεσαν ἀφαιρεῖν: ὡς δῆλον ἐξ ὧν Διόδωρος φησὶν ὁ Σικελιώτης: (ἐν „Βιβλ: Κ'.) ὅτι οἱ Ῥόδιοι ταχέως, τὰ μὲν ἀκροστόλια πε„ριέσπασαν, ὕλην δὲ ξηρὰν, καὶ βάδας ταῖς ναυσὶν ἐνέγ„τες ἐνέπρησαν. Διδάσκει δ' ὁ αὐτὸς, ὅτι καὶ τέτοις αἱ τὴν νί„κην ἀράμεναι νῆες διεκοσμῆντο: Αὐτὸς δὲ (ὁ νενικηκὼς) τὰς ἰδίας „ναῦς κοσμήσας τοῖς ἀκροστολίοις, καὶ τὰς ἁλόσας ἐφελ„κόμενος, τὸν πλοῦν ἐποιεῖτο. Παραπλησίως καὶ παρὰ Πλε„τάρχῳ (ἐν Βίῳ Θεμιστοκλ:) ἱστορεῖται, ὅτι Λυκομήδης ὁ τῶν „Ἀθηναίων Τριήραρχος, τὴν πρώτην ἀφείλετο τῶν Ξέρξε ναῦν: ἧς τὰ „παράσημα περικόψας, ἀνέθηκεν Ἀπόλλωνι δαφνηφόρῳ.

ΚΕΦΑΛ. ΙΓ'.

Περὶ τῆς Πολιορκήσεως.

Κατ' ἀρχὰς, αἱ τῶν Ἑλλήνων ἅπασαι πόλεις ἀμοιρεῦσαι τειχῶν, πολλαῖς ἐυέφοδοι ὑπῆρχον διαρπαγαῖς, ἃς κατ' ἀλλήλων τὸ πάλαι ἀμοιβαδὸν ἐποιοῦντο, καθάπερ ἐν τῷ Α'. τῆς συγγραφῆς, Θεκυδίδης ἐπιμαρτυρεῖ. Κατὰ τῶν τοιούτων δ' ἐφόδων ὕστερον, τείχη ἀνοικοδομεῖν ἐπεβάλοντο, πύργοις ἐνασφαλιζόμενοι, ὡς περὶ τῆς Θηβαίων πόλεως μάρτυς ἐστὶν Ὅμηρος, τῆς ἔτω κατοχυρωθείσης ὑπ' Ἀμφιονός τε καὶ Ζήθυ: (Ὀδυσ: Λ'. ς. 262.)

„ Οἳ πρῶτοι Θήβης ἕδος ἔκτισαν ἑπταπύλοιο,
„ Πύργωσάν τ', ἐπεὶ ἄ μὲν ἀπύργωτόν γ' ἐδύναντο
„ Ναιέμεν εὐρύχορον Θήβην . . . . . .

Α'μέλει τοι ὑπὸ τῶν Φλεγύων θαμὰ ἐπηρεαζόμενοι, καθάπερ ὁ Σχολιαστὴς φησί. Διὰ δὲ τᾶτο καὶ Λαομέδων τείχεσι περιβαλεῖν τὸ Τρώων ἄστυ ἠνάγκασαν, εἰς ὅπερ δὴ, τὴν παρ' ἑαυτᾷ ἐργασίαν καὶ Πο-
„σειδὼν κατεβάλλετο: ὡς γὰρ ὁ Σχολιαστὴς Ὁμήρᾳ διέξεισι, Πο-
„σειδὼν, καὶ Α'πόλλων προσάξαντος Διὸς Λαομέδοντι θη-
„τεῦσαι, ἐπὶ μισθῷ τεταγμένῳ, τὸ τεῖχος κατασκευάζεσι. Κοινῇ γᾶν Ὅμηρος τὰς πόλεις, εὐπύργους τε, καὶ εὐτείχεας χαίρει ἀποκαλῶν, διά τε τὸν περιτειχισμὸν καὶ τὰ πυργώματα, οἷς ὠχυρᾶντο καὶ κατησφαλίζοντο. Εἰωθὸς δὲ ἦν ἔτι καὶ χῶμα ἐκ γῆς ἐπιφορεῖν ἐγγὺς τῶν τειχῶν· ἦ τοιᾶτον ἦν τὸ Τροίας, ἧς τὸ τεῖχος ἀμφίχυτον εἴρηται. (Ἰλ: Υ'. ς. 145.)

Ἐντεῦθεν αἱ πολιορκίαι, αἷς ἂν τὰ ἄστεα ἐκπολεμοῖτο. Τοιαύτην δ' ἡ Τροίας ἡ ἐπὶ δεκαετίαν παρατείνασα: ἀλλ' ἄτω, φησὶ Θουκυδίδης, χήτει ἀνδρῶν, ἢ διὰ χρημάτων ἔνδειαν· ἐπεὶ στρατὸν ἐπήγαγον ἐλάσσονα, ἢ ὅσον ἐκεῖ τεαφήσεσθαι ἔχειν πολεμᾶντα ἐπίστευον· οὐδέ γε πάσῃ προσεχρήσαντο τῇ τῶν δυνάμεων πληθύϊ, ὁπόση αὐτοῖς παρῆν, ἀλλ' ἐπὶ τῆς χερρονήσε ἐτράποντο γεωργεῖν, καὶ εἰς τὸ λῃστεύειν, τᾷ ἐπισιτισμᾷ σφίσι μὴ ἐπαρκᾶντος.

Ἐκ τᾶτε τοίνυν οἱ Τρῶες ἐπὶ μακρὸν ἄτω τᾷ χρόνῳ ἀντέσησαν Ἕλλησιν, ἀνδρῶν ἀνθισάμενοι διασκεδαννυμένων ὀλιγοστῷ πλήθει, ὡς ὑπῆρχον ἰσάριθμοι. Ἕλληνες δ' ἐν τᾶτῳ τὰς περιξ χώρας τὰς ἰμορέσας ἔνθεν κἀκεῖθεν πορθᾶντες κατελήϊζοντο, ἵνα μὴ τοῖς Τρωσὶν εἰς ἀντίληψιν ἅσιν, ἧ φησὶ Πλάταρχος, τὰ περὶ Ὁμήρᾳ διεξιών. Τοιγαρᾶν καὶ Α'χιλεὺς, ὁ ἐν Ἕλλησιν ἡγεμονέυων διεκαυχᾶτο, τῷ μὲν ναυτικῷ

πόλεις τῶν ἐναντίων ἐκπεπορθηκέναι δυωκαίδεκα, πεζομαχῶν δὲ, τῶν περὶ Τροίαν ἑτέρας ἕνδεκα: ἐν αἷς καὶ ἡ Λεσβιὰς ἦν, ἀφ' ἧς τὴν Βρισηίδα ἐξηνδραπόδισεν. (Γλ: Τ'. ς. 60.)

Ἦν δ' ἔθος καὶ τὰς παρεμβολὰς αὐτὰς τείχεσι περιβάλλειν καὶ περιφράττειν· τετὶ γὰρ Ἕλληνας δράσαι αὐτίκα, ὡς ἐπὶ Τροίας ἀφικοντο, Θουκυδίδης φησὶν: Ἐπειδὴ δὲ ἀφικόμενοι μάχῃ ἐκράτησαν: δῆλον δὲ, τὸ γὰρ ἔρυμα τῷ στρατοπέδῳ ἐκ ἂν ἐτειχίσαντο. Τοῦτο δ' ὁ Σχολιαστὴς λέγει αὐτοὺς πεποιηκέναι, διὰ τὰς τῶν βαρβάρων ἐπιδρομάς. Τὸν αὐτὸν δὲ τοῦτον τρόπον, καὶ τὸ μέγα τεῖχος ἐκεῖνο, πρὸς τῷ τέρματι τῆς πολιορκήσεως ὑπὸ τῶν Ἑλλήνων κτισθῆναι διέξεισιν Ὅμηρος, (Γλ: Θ'. ς. 533.) ἐπεὶ ἐκ τῆς πόλεως οἱ Τρῶες ἐκθρώσκοντες ταῖς παρεμβολαῖς ταῖς αὐτῶν ἐπενέβαινον. Ἦν δὲ τὸ ὀχύρωμα τοιόνδε, οἷον Ὅμηρος (Γλ: Μ'. ς. 55. κξ.) αὐτὸ περιγράφει:

„ . . . . . Τάφρος γὰρ ἦν
„ Εὐρεῖ' ἔτ' ἄρ ὑπερθορέειν χεδὸν, ἔτε περῆσαι
„ Ῥηϊδίη· κρημνοὶ γὰρ ἐπηρεφέες περὶ πασαν
„ Ἔσασαν ἀμφοτέρωθεν· ὕπερθεν δὲ σκολόπεσσιν
„ Ὀξέσιν ἠρήρει, τὰς ἔσασαν υἷες Ἀχαιῶν
„ Πυκνὰς καὶ μεγάλας, δηΐων ἀνδρῶν ἀλεωρήν. κτ.

Καί τοι γὰρ ἔ με λανθάνει πλάσμα ὂν τόδε, ἔτω πως πρὸς Ὁμήρε ἐπινοηθὲν: (ἢ τῶν παλαιῶν ἔδοξέ τισιν· οἷον Σράβωνι, (ἐν βιβλ: ΙΓ'.) παρ ᾧ Ἀριστοτέλης: Ὃς δὲ πλάσας Ποιητὴς ἠφάνισε, φησὶν:) Ἀλλ' ἐν αὐτῷ τούτῳ ὁ Ποιητὴς σαφὲς καθίστησιν, ὡς καὶ τοῖς ἀρχαίοις ἦν ἐν χρήσει τὸ ἔθος τὸ τὰ στρατόπεδα ἔτω κατοχυρῶν καὶ κατασφαλίζειν, ἐν παραπλησίαις ταῖς περιστάσεσιν.

Ἐν δὲ ταῖς παρεμβολαῖς ἔτι ἡ κλισίαι ἴσαντο, ἐν αἷς οἱ Ἥρωες παρὰ ταῖς Ναυσὶ κατεσκήνων, οἵα περ ἦν ἡ τοῦ Ἀχιλλέως, ἡ ἐν τῇ Ω΄. Ῥαψῳδίᾳ τῆς Ἰλιάδος (ς. 448.) περιγραφομένη.

„ . . . . . ἥπερ ὑψηλὴν
„ . . . Μυρμιδόνες ποίησαν ἄνακτι,
„ Δοῦρ' ἐλάτης κέρσαντες ἀταρ καθύπερθεν ἔρεψαν
„ Λαχνήεντ' ὄροφον, λειμωνόθεν ἁμήσαντες·
„ Ἀμφὶ δέ οἱ μεγάλην αὐλὴν ποίησαν ἄνακτι
„ Σταυροῖσι πυκινοῖσι· θύρην δ' ἔχε μοῦνος ἐπιβλὴς
„ Εἰλάτινος. . . . . .

Αὐτῷ δ' Ἀχιλλεῖ, καὶ τῷ Τελαμῶνος Αἴαντι, ἐν ἐσχάτοις πέρασιν ἦν ἡ σκήνωσις: ὅτι (Ἰλ: Θ΄. ς. 226.) ὑπῆρχον ἔτοι τῶν λοιπῶν διαφέροντες.

„ . . . . Ἠνορέῃ πίσυνοι, καὶ κάρτεϊ χειρῶν.

Ὀδυσσεὺς δὲ καθεσήκει ἐν μέσῳ τῶν Νηῶν, ὡς ἐν τόπῳ ἀσφαλεστέρῳ, καί γε κατὰ τὴν ἐν αὐτῷ φρόνησιν ὡς τὸ περισώζεσθαι δεξιωτέρῳ. Πρὸ δὲ δὴ τῶν σκηνωμάτων σκοπὸς ἵστατο, ὅθεν ἂν πάντα προορῷεν τὰ πράγματα, ὅπερ ἦν ἔργον τῷ Νέστορι: (Ἰλ: Ξ΄: ς. 8.)

„ Αὐτὰρ ἐγὼν ἐλθὼν τάχα εἴσομαι εἰς περιωπήν.

Καὶ Φυλακαὶ δὲ νυκτὸς ἐγίνοντο ἐπιμελῶς, διατασσομένων διὰ τῆς παρεμβολῆς ἐγρηγόρων, καὶ πυρσῶν ἁπανταχῆ ἐξαπτομένων, ὅπερ ἦν ἐπιτάσσων καὶ Νέστωρ (Ἰλ: Ι΄. ς. 65.)

„ . . . . . Φυλακτῆρας δ' ἔκαστοι
„ Λεξάσθων παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐντός.

Ἀλλα καὶ οἱ Ἡγεμόνες αὐτοὶ νυκτὸς διέτρεχον διὰ τῶν παρεμβολῶν ἐπισκοπήσοντες, εἰ ὀρθῶς αἱ Φυλακαὶ εἶχον, ὁ Νέστωρ σὺν Ὀδυσσεῖ, καὶ Διομήδει ποιῆσιν. Ὡσάυτως δὲ καὶν ταῖς Ρυτύλων παρεμβολαῖς παρὰ Οὐιργιλίῳ (Αἰνειάδ. Θ'. ς. 166.)

Collucent ignes, nocdemque cuctodia ducit
Inſomnem ludo. . . . . .

„ . . . . . (Πυρὰ δ' ἐκσελάγιζε
„ Οὖροι δ' ἐγρηγορτὶ ἀθύρμασι νύκτα διῆγον.)

Καὶ ἐδ' οἱ πολιορκέμενοι δὲ ἄλλως ἔδρων: διεκελέυετο καὶ γὰρ Πρίαμος: (Ἰλ: Η'. ς. 371.)

„ Καὶ Φυλακῆς μνήσαθε, καὶ ἐγρήγορθε ἕκαστος.

Ὁμοίως δὲ καὶ Ἕκτωρ (Ἰλ: Θ'. ς. 517.) διὰ κηρύκων ἀγγέλει

„ Παῖδας πρωθήβας πολιοκροτάφους τε γέροντας.
„ Λέξασθαι περὶ ἄστυ, θεοδμήτων ἐπὶ πύργων·
„ Θηλύτεραι δὲ γυναῖκες ἐνὶ μεγάροισιν ἑκάστη
„ Πῦρ μέγα καιόντων, Φυλακὴ δέ τις ἔμπεδος ἔστω.

Καὶ ς. 529.)

„ Ἀλλ' ἤτοι ἐπὶ νυκτὶ Φυλάξομεν ἡμέας αὐτούς.

Καὶ κατὰ δὴ τόδε τὸ ἔθος, καὶ Ξενοφὼν (ἐν τῷ Γ'. τῆς Κύρε παιδ.)

„ γράφει· Καὶ τότε μὲν δεῖπνοποιησάμενοι, καὶ φύλα-
„ κας καταστησάμενοι, καὶ πυρὰ πολλὰ πρὸ τῶν
„ φυλάκων καύσαντες, ἐκοιμήθησαν.

Πρὸς δ' ἔτι καὶ κατάσκοποι ἑκατέρωθεν διεπέμποντο, διασκοπεύσοντες τὰ παρὰ τοῖς πολεμίοις διαπραττόμενα: ὡς ἐν τῷ Κ'. τῆς Ἰλ:

ς. 526. καὶ 561. ἀναγινώσκομεν. Καὶ παρὰ Ο᾽υϊργιλ: ἐν τῷ Θ᾽. τῆς Αἰνειάδος, ὡσάυτως. Τοῖς δὲ Τρωσὶ, καὶ αὐλοὶ ϗ σύριγγες νυκτὸς περιηχεῖν εἴθιτο, ὧν (ἐν τῷ Κ᾽. τῆς Ι᾽λ: ς. 13.) Α᾽γαμέμνων ἤκουσε. Τοῖς γὰρ βαρβάροις τοῦτο πάλαι σύνηθες ὂν, ἐξ Η᾽ροδότε (ἐν τῇ Κλειοῖ) δῆλον, ἐν οἷς Α᾽λυάττης ὁ Λυβῶν ἀνάσσων ἐστρατεύετο,

„ὑπὸ συρίγγων τε καὶ πηκτίδων, καὶ αὐλῶ γυναι-
„κείῳ τε καὶ ἀνδρείῳ. Καὶ σάλπιγγος δὲ χρῆσιν ἐπὶ τῆς πολιορκίας ἐπισημειῶται Ο᾽μηρος: (Ι᾽λ: Σ᾽. ς. 219.

„Ὡς δ᾽ ὅτ᾽ ἀριζήλη φωνὴ, ὅτε τ᾽ ἴαχε σάλπιγξ,
„Α᾽συ περιπλομένων δηΐων ὑπὸ θυμοραϊξέων.

Α᾽λλ᾽ ὁ Σχολιαστὴς βέλεται, τόδε κατὰ πρόληψιν ὑπὸ Ο᾽μήρε „εἰρῆθαι: ἐπεὶ ὀδέπω ἡ σάλπιγξ ἔυρητο παρὰ τοῖς „παλαιοῖς· κόχλῳ γὰρ θαλασσίῳ ἐσάλπιζον.

ΚΕΦΑ᾽Λ. ΙΔ᾽.

Περὶ τῆς Μάχης.

Τὸ κύριον καθ᾽ αὐτὸ τῶ πολέμε ὑφίστατο ἐν τῇ μάχῃ· ἐν ᾗ κρείττονας τῶν Τρώων ὀρθῆναι τὸς Ε᾽λληνας αὐτίκα ἐγκαθορμισαμένες, Θεκυδίδης φησίν. Ο᾽ δὲ Πλάταρχος ἱστορεῖ, ὅτι ἐν ἐκείνῃ τῇ συμβολῇ ἀνῄρηται Πρωτεσίλαος: περὶ ὃ (Ι᾽λ: Β᾽. ς. 698.) λέγεται. Μετὰ τάυτην οἱ διαπρεσβεύσοντες δεῦρο τὴν Ε᾽λένην ἀποδοθῆναι, ἀπεσάλησαν, Μενέλαός τε καὶ Ο᾽δυσσεὺς: (Ι᾽λ: Ρ᾽αψωδ: Π᾽.) Τῶν δὲ Τρώων τὴν ἀπόδοσιν ἀπαυηναμένων, εἰς μάχην αὖθις οἱ Ε᾽λληνες αὐτὲς προσεκάλεσαν, ἐν ᾗ καὶ τάυτῃ κρείττες ἐγένοντο. Ε᾽ντεῦθεν γῦν τῶ στρατῶ ἀπομεριθέντος, πολλὰς συνεκρότηταν ὑσμίνας ἀλλήλοις, ἐν αἷς καὶ Τρῶες

θαμὰ ὑπερέχον, Ἀχιλλέως μάλιστα τῶ πολεμεῖν ἀποχομένε, καὶ τ- σῶτον, ὥστε καὶ τὸ πλεῖστον μέρος τῶ ἄστεος προεξελθεῖν, καὶ τὴν αὐτῶν παρεμβολὴν τῇ τῶν Ἑλλήνων συνάψαι, καὶ κατηρειπότος τῶ Ἑλληνικῶ προτειχίσματος, τὰς ναῦς κατεμπρῆσαι παρασκευάσαθαι (Ἰλ: Θ'. ς. 177.) Τὰς δὲ τοιαύτας εἰσβολὰς ὑπὸ τῶν πολιορκεμένων εἰωθέναι γίνεθαι, Ὅμηρός τε αὐτὸς ἐστὶ παριστῶν: (Ἰλ: Θ'. ς. 55. καὶν τοῖς ἑξῆς ἐν τῇ τῶ Ἀχιλλέως Ἀσπίδι) καθάπερῶν καὶ ἐν τῇ τῶ Ἡρακλέες Ἡσίοδος.

Πρὸ μὲν ἓν τῶ τὴν μάχην συνάψαι, ἀρισᾶν εἰώθεν, πρὸς τὸν ἐκ τῶ πολέμε μόχθον ἐπιρωννύμενοι. Ἐπιτάσσει δὲ τοῖς Ἕλλησι τόδε Ὀδυσσεὺς: παραινῶν γὰρ Ἀχιλλεῖ (Ἰλ: Τ'. ς. 156.)

„(Μὴ) νήϊας ὄτρυνε προτὶ Ἴλιον ὖιας Ἀχαιῶν,
„Τρωσὶ μαχεσσομένους . . . . . προσίθησιν (αὐτ: ς. 160.)
„Ἀλλὰ πάσαθαι ἄνωχθι θοῇς ἐπὶ νηυσὶν Ἀχαιὺς
„Σίτε καὶ οἴνοιο· τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή.

Οὕ δὴ καὶ Πλάτων ἐπιβεβαιοῖ, (ἐν τῷ Α'. τῶν Νόμων.) Καὶ Λίβιος δὲ, (ἐν τῷ Θ'. τῶν αὐτῶ.) γράφων: In Romanorum militaribus inſtitutis fuiſſe poſitum, ut milites paſti educerentnr in aciem. „(Ἐν ταῖς Ῥωμαίων στρατιωτικαῖς „διατάξεσι τεθεσπίθαι, τὲς στρατιώτας τροφῆς ἤδη με„τειληχότας ἐπὶ τὴν μάχην ἐξάγεθαι.

Καὶ ἡ τῆς παρατάξεως δὲ διάθεσις, ἡ τοῖς τῶν Ἑλλήνων ἀρχαίοις συνήθης περιγράφεται: (Ἰλ: Δ'. ς. 295.) ἔνθα Νέστωρ:

„Ἱππῆας μὲν πρῶτα σὺν ἵπποις καὶ ὀχεσφι,
„Πεζὲς δ' ἐξόπιθεν στῆσεν, πολέας τε καὶ ἐθλὲς,

„Ἔρκος ἔμεν πολέμοιο· κακὸς δ' ἐς μέσσον ἔλασσεν,
„Ὕφρα καὶ ὃν ἐθέλων τις ἀναγκαίῃ πολεμίζῃ.

Ἀλλὰ γὰρ τῶθ' ὑπὸ τῶν παλαιῶν διαφόρως ἐννοηθῆναι γράφει Εὐσάθιος: Οἱ μὲν γὰρ τὰ πρῶτα, ἀντὶ τοῦ δεξιοῦ κέρως ἐξεδέχοντο· τὸ δ' ὄπιθεν, ἀντὶ τοῦ ἀριστεροῦ· ἔλεγον δὲ τὴν Φάλαγγα ἐπὶ μετώπου, ἐχὶ κατὰ βάθος τεταγμένην. Ἀλλ' Ἡρόδοτος, καὶ Ἀπίων, ἠγοῦντο τὴν τοιάνδε διάθεσιν γενέσθαι κατὰ πλινθίον· τετράσιν ἐν τάξεσι μακραῖς ἰσαρίθμοις· ὧν μεταξὺ καὶ ὁδόν τινα χωρεῖν μέσην, δι' ἧς ἂν ἐξείη τοῖς βουλομένοις ἔρχεσθαί τε καὶ ἐπανέρχεσθαι.

Ὁ δὲ Πλάταρχος (ἐν τῷ περὶ Ὁμήρου) ὑπέθετο: ἠγεῖσθαι μὲν τοὺς ἱππεῖς, ἕπεσθαι δὲ ὄπιθεν τοὺς πεζούς, ὅπερ ἔοικεν ἀληθέστερον· τῷ δ' Εὐσαθίῳ ἔδοξε, δυοῖν μέσον στρατιωτῶν, ἕνα τῶν νεωτέρων τετάχθαι, ὡς ἂν πρὸς τῶν γεραιοτέρων ἐπὶ τὸ οἰκεῖον καθῆκον ἐφέλκοιτο. Εἶναι δὲ τοῦτο ὅπερ Ἀβριανὸς ἔφη (ἐν τοῖς Ἰνδικοῖς) τὸ ἐπὶ τριῶν ταχθῆναι Φάλαγγα. Τὸ δὲ δὴ τὸν στρατὸν κατὰ τὴν συμπλοκὴν ἐμπλατύνεσθαι, δῆλον ἐκ τοῦ (ἐν τῷ Ν'. τῆς Ἰλιάδ: ς. 308.) εἰρημένου: ὅτι Μηριόνης ἦν ἐνδοιάζων, πότερον ἐπὶ τὸ δεξιὸν, ἢ ἐπὶ τὸ ἀριστερὸν μέρος, ἢ ἐπὶ τὸ μέσον τοῦ Τρωϊκοῦ σίφους ἐπορέσειεν.

„Ἠ ἐπὶ δεξιόφιν παντὸς στρατοῦ, ἢ ἀνὰ μέσσους,
„Ἠ ἐπ' ἀριστερόφιν . . . . . .

Ἐπὶ δὲ τοῦ γενναιοτάτου τοὺς στρατιώτας συνῆφθαι δείκνυσιν Ὅμηρος, ἐπειδὰν φησὶν: (Ἰλ: αὐτ: ς. 150.)

„Φραξάντες δόρυ δουρὶ, σάκος σάκει προθελύμνῳ·
„Ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ.

Οὗπερ ἓν καὶ τῷ Π'. τῆς Ἰλιάδ: ς. 215.) ἐπανείληπται, ἐν οἷς τὰ Ἀχιλλέως, σίφη ἐξάγεται. Οὕτω δέ τι καὶ Οὐιργιλίῳ πέφρασται (Αἰνειάδ. Ι'. ς. 361.

Concurrunt; haeret pede pes, denſusque viro vir.

„ (Πὲς ποδὶ δ' ἠρείρισο θαμειὼς, ἀνδρὶ δέ τ' ἀνήρ.)

Ἀλλὰ καὶ Νέσωρ ὡσάυτως κελέυει τὲς ἵππες ἐν τάξει συνεχεῖθαι, ὥστε μὴ τῷ πεζικῷ συναναθροεῖθαι. Καὶ ἔτως ἄρα (Γλ: Λ'. ς. 150.

„ Πεζοὶ μὲν πεζὲς ὅλεκον φεύγοντας ἀνάγκη,
„ Ἵππᾶς δ' ἱππῆας. . . . . .

Τῆς μὲν ἓν συμβολῆς ἀρχομένης, ἠυχοντο τοῖς Θεοῖς ὁτίως ὑπὲρ τὲ νίκην ἄραθαι, ὅπερ ἐπὶ πάσαις ἐσὶ μαρτυρέμενον ταῖς δήρισιν, ὅσαι τε ὑπὸ τὲ στρατὲ σύμπαντος συνεκροτὲντο, καὶ ὅσαι ἰδιαίτερον ὑπό τινων τῶν στρατευομένων. Προὐτίθεντο δὲ κατὰ διάνοιαν ἐυχόμενοι, καὶ τὰ τεύχη μάλιστα τὰ τῶν πολεμίων καθιερώσειν, ὡς ἐσὶ δῆλον ἀπό τε Ἕκτορος (Γλ: Η'. 82.) καὶ Ὀδυσσέως (Γλ: Κ'. ς. 292. καὶ ς. 439. καὶ 460.) καὶ διὰ τὲτο δὴ καὶ Ἱεροπόλες, καὶ Μάντεις ἐπὶ τὲ στρατὲ ἔχοντες ἦσαν, οἵπερ ἂν θύματα τοῖς Θεοῖς προσάγοιεν· ἐκ δὲ τῶν σπλάγχνων τῶν θυομένων, καὶ τῆς πτήσεως τῶν οἰωνῶν, καὶ τῶν ἄλλων μαντευμάτων τὸ βέλημα τὸ τῶν Θεῶν ἐκδιδάσκοιεν. Ἦν δ' ἔθος προσέτι, καὶ τὸν Μαντιπόλον αὐτὸν δάφνῃ τε περιεσεμμένον, καὶ δᾷδα φέροντα ἐπὶ τῆς συμβολῆς προηγεῖθαι· οὗ μέντοι ἀπεχόμενοι οἱ πολεμικοὶ διετέλεν, ὡς Εὐσάθιος παραδίδωσιν (ἐν Γλιάδ. Μ'.)

Πρὸς δὲ δὴ τέτοις, καὶ οἱ στρατηγῆντες εἰώθεσαν δημηγορεῖν τοῖς στρατοῖς παρατεταγμένοις, πολεμεῖν ἐυψύχως προτρέποντες ἀλλήλες ὑπαιθεμένες, καὶ τὴν ἐκ τῆς νίκης προτιθέντες ἔυκλειάν τε καὶ λυσιτέλειαν. Εἴσι δ' ἓν ὅτε καὶ ἀπειλὰς προσετίθεσαν· ὥσπερ Ἕκτωρ (Γλ: Ο'. ς. 348.)

„ Ὃν δ' ἂν ἐγὼ ἀπάνευθε νεῶν ἐτέρωθι νοήσω
„ Αὐτὲ οἱ θάνατον μητίσσομαι. . . . . .

Μέμνηται δὲ τὲ τοιέτε καὶ Ἀριστοτέλης (ἐν τοῖς Η'θικοῖς Βιβλ: Γ'. Κεφ. Ζ'.) ἔνθα δὴ ἱσορεῖ καί τινας τῶν στραταρχέντων, τάφρες

κατόπιθε τῶν στρατευομένων ὀρύξαι, ἤτι τοιοῦτον ἐμπόδιον ἐπιμηχανήσασθαι, δι' ὃ μάχεσθ' ἂν ἀναγκάζοιντο. Ὥσπερεῖν καὶ τὸν Μακεδόνα Ἀλέξανδρον, τῷ ποταμῷ τὸν ἑαυτοῦ στρατὸν συνείρξαι, ὁ Σικελιώτης Διόδωρος (ἐν τῷ ΙΖ'. τῆς ἱστορ:) παρέδωκεν.

Οὐ μόνον δ' ἐν ῥήμασιν, ἀλλὰ καὶ τῷ καθ' ἑαυτὸς ὑποδείγματι οἱ στρατηγοῦντες τῶν στρατευομένων προῆσαν. Πρῶτοι γὰρ ἐν μάχαις αὐτοὶ παρ' Ὁμήρῳ παρίστανται· ὡς ἰδίᾳ πάρεσιν ἰδεῖν (Ἰλ: Ν'. ς. 490. κξ.) ἔνθα Αἰνείας, καὶ Δηΐφοβος, καὶ Πάρις, καὶ οἱ λοιποὶ τῶν Τρώων προέχοντες προῆγον (. . . . Αὐτὰρ ἔπειτα

„Λαοὶ ἔπονθ', ὡσεί τε μετὰ κτίλον ἕσπετο μῆλα.
„Πιόμεν' ἐκ βοτάνης . . . . . .

Καὶ τῶν ἡγεμόνων δὲ οἱ δυνάμει διαφέροντες, πολλαχοῦ τῆς Ποιήσεως ἐναβρύνονται ἀκοῦσαι πρόμαχοι.

Κατὰ δὲ δὴ τὴν ἐν τῇ μάχῃ συμβολὴν, μεγάλη τις κραυγὴ ἐξεγείρετο· ἥνπερ ὁ Ποιητὴς (Ἰλ: Γ'. ς. 3.) ἐξεικάζει Γεράνων κλαγγῇ. καὶ (Ἰλ: Δ'. ς. 452.) ποταμοῖς χειμάῤῥοις κατ' ὄρεσφι ῥέουσι· καὶ (Ἰλ: Ε'. ς. 598.) καὶ θαλάσσης δὲ κύμασιν . . . . ὁππότ' ἐπείγῃ ἴς ἀνέμοιο· (Ἰλ: Ο'. ς. 381. κξ.) Τοῦτο δὲ καὶ ἀλαλητὸν ὀνομάζει: (Ἰλ: Δ'. ς. 436.) Ὅπερ δὴ ὄνομα καὶ τοῖς ὕστερον Ἕλλησι παρέμεινεν: ὧν ἐν ταῖς ἱστορίαις, ἀλαλάζειν ἄρηνται οἱ ἐν ταῖς μάχαις ἀλλήλοις συμβάλλοντες: ἀπὸ τῆς φωνῆς ἴσως ἀλαλὰ ἐπαναλαμβομένης. Ἀλλὰ Σεῖδας ἐλελεῦ φησὶν αὐτοὺς ἐπιφωνεῖν εἰώ-„θεναι: Οἱ προσιόντες (λέγων) εἰς τὸν πόλεμον τὸ ἐλελεῦ „ἐφώνουν μετά τινος ἐμμελοῦς κινήσεως. Τὸ δ' ἔθος, τόδε, πᾶσι μονονοχὶ πάλαι τοῖς ἔθνεσι παρατετήρηται. Οὕτω καὶ γὰρ Τάκιτος

μὲν τοῖς Γερμανοῖς τὸ Barritum ἀπέδωκεν· ὁ δὲ Λίβιος τοῖς Γάλλοις τὸ ululatum, καὶ cantum more ſuo. (Ὀλολυγμόν τε, καὶ ἆσμα τὸ αὐτοῖς σύνηθες.) Ὁ δὲ Κούρτιος τοῖς Πέρσαις: trucem et inconditum clamorem: (Φονικόν τι καὶ ἄκοσμον κράυγασμα. Ἐν τούτῳ δὲ μάλιστα τὰ τῶν Βαρβάρων γένη ἐπίσημα. Ὅθεν Φῆσος: Barbaricum clamorem (Βαρβαρικὴν κραυγὴν) τὴν τῆς στρατιᾶς ἐξωνόμασε. Γράφει δὲ καὶ Πλούταρχος, ὅτι Ὅμηρος (Ἰλ: Γ'. ς. 8. καὶ Δ'. ς. 429.) σιγὴν τοῖς Ἕλλησι περιάπτει, ὁπότε οἱ Βάρβαροι Τρῶες, βοὴν ἐξῆρον δεινήν τε καὶ ἔκπαγλον. Οὗτοι μὲν γάρ: (Ἰλ: Δ'. ς. 433. κξ.)

„ . . . Ὡς δ' ὅτε πολυπάμμονος ἀνδρὸς ἐν ἀυλῇ
„ Μυρίαι ἐσήκασιν . . . . . .
„ Ἀζηχὲς μεμακυῖαι, ἀκούσασαι ὅπα ἀρνῶν·
„ Ὣς Τρώων ἀλαλητὸς ἀνὰ στρατὸν εὐρὺν ὀρώρει.

Οἱ δὲ, ἤτοι οἱ Ἕλληνες, τἐναντίον. (Ἰλ: Γ'. ς. 8. καὶ Δ'. ς. 429.)

„ Οἱ δ' ἄρ' ἴσαν σιγῇ, μένεα πνείοντες, Ἀχαιοὶ,
„ . . . . . Ἀκὴν ἴσαν, (ἀδέ κε Φαίης
„ Τόσσον λαὸν ἕπεσθαι, ἔχοντ' ἐν στήθεσιν αὐδὴν)
„ Σιγῇ δειδιότες σημάντορας . . . . . .

Τετὶ δὲ καὶ τοῖς Λακεδαίμοσι σύνηθες ἦν, τὸ μετὰ σιγῆς καὶ κόσμου ἐπὶ τῆς μάχης προϊέναι, ἐφ' ᾧ τῶν ἡγεμόνων αὐτοῖς ἐπικελευόντων, ῥᾴον ἔχοιεν ἐπακούειν. Ἐνθεντοι καὶ συνεδράυθησάν ποτε ὑπὸ Ἀθηναίων, θρᾷν ἐπεχειράντων: τὰ ἐν αὐτοῖς παραγγελλόμενα ἐκ ἐσακούοντες, ὡς ὁ Θουκυδίδης (ἐν τῷ Δ'.) φησὶν.

Ἀλλ' ὅτι ἄρα καὶ ἑκατέρωθεν ἔθ' ὅτε ὑπὸ τῶν στρατῶν κραυγὴ διεγείρετο, δῆλον ἐκ τῆ Ν'· τῆς Ἰλ: ς. 169. καὶ 540. Καὶ ἐκ τῆς Ἰλ: Η'. ς. 267. οἱ Μυρμιδόνες ὀνομασὶ κατὰ τῶν Τρώων ὁρμήσοντες:

„Ἐκ νηῶν ἐχέοντο· βοὴ δ' ἄσβεστος ὀρώρει.

Πολλαχῆ δ' ἀπὸ τῆς μεγαλοφωνίας οἱ Ὁμηρικοὶ Ἥρωες ἐπαινῆνται: Βοὴν ἀγαθοὶ λεγόμενοι· τὸ δὲ ἐστὶ, κατὰ τὸν Σχολιαστὴν: πολεμισαί. Ἀμέλει τοι γὰρ ἡ κραυγὴ, ἐ μικρὰ συμβάλλεται, εἰς καταπτόησιν τῆ πολεμίε, καθάπερ ἔκτωρ μέγα βοήσας, τὲς Δαναῶν ἱππῆς κατέπληξεν: (Ἰλ: Ο'. ς. 346.) ἠ Ἀχιλεὺς τὲς Τρώας: (Ἰλ: Σ'. ς. 228.) Οὕτω δὲ ἄρα καὶ ὁ Κάτων, τὸν ἀγαθὸν στρατιώτην „φοβερὸν ἐβέλετο εἶναι, ἐ χαρὶ μόνον, καὶ πληγῆ, ἀλλὰ καὶ „τόνῳ φωνῆς, καὶ ὄψει προσώπε. Ὅλως δὲ ὁ πόλεμος ὅλος ἁπανταχῆ ὑπὸ τῆ Ὁμήρε κραυγῆς ἐμπίπλαται καὶ θορύβε· διὸ καὶ Φύλοπις εἴρηται, κατ' Εὐσάθιον, οἱονεὶ φύλων ὄψ.

Πρὲπήλακιζον δ' ἀλλήλες ἐν μάχαις ἀμοιβαδὸν, καὶ πρὲκαλῆντο ἰδίᾳ οἱ Ἡγεμόνες. Ὁ δ' Ἕκτωρ διαφερόντως τῆτο ἐποίει, αἰτέμενος τῶν τινα ἐν Δαναοῖς ἡγεμονευόντων ἐξιέναι, ὅτῳ ἂν ἐς δῆριν συμβάλοιτο. Κλήρων δ' ἐπὶ τέτῳ βαλλομένων Αἴας λαχὼν σεσημείωται· (Ἰλ: Η'. ς. 182.) Παραπλήσιόν τι δὲ παρὰ Πλετάρχῳ παρατετήρηται ὑπὸ „Τιμολέοντος διαπραχθὲν: Βελόμενος γὰρ καὶ ἕτος κληρῶσαι „τὲς ἡγεμόνας, ἔλαβε παρ' ἑκάστε δακτύλιον· ἐμβαλὼν „δὲ πάντας εἰς τὴν ἑαυτῆ χλαμύδα, καὶ μίξας, ἔδειξε τὸν „πρῶτον κατὰ τύχην γλυφὴν ἔχοντα τῆς σφραγίδος, „τροπαῖον: μεθ' ὃ αὐτίκα ἐγένετο ἡ τῶν πολεμίων ἐξέλα„σις, καὶ παρὰ πόδας ἡ νίκη.

Ἡ δὲ δὴ μάχη, τὰ πλεῖστα, τῆς νυκτὸς ἐπικαταλαμβανέσης διεπεραίνετο. (Ἰλ: Σ'. ς. 241.)

„ Ἠέλιος μὲν ἔδυ, παύσαντο δὲ δῖοι Ἀχαιοὶ
„ Φυλόπιδος κρατερῆς, καὶ ἐμοὶτε πολέμοιο.

Καὶ Ἰλ: Β'. ς. 386.

„ Οὐ γὰρ παυσωλή γε μετέσσεται, ἀλλ' ἠβαιὸν,
„ Εἰ μὴ νὺξ ἐλθοῦσα διακρινέει μένος ἀνδρῶν.

Οὕτω καὶ Σαλλύστιος ἐν τῷ περὶ τοῦ Ἰουγουρθίου πολέμου: Utrinque proelium nox diremit. (τὴν μάχην ἑκατέρωθεν ἡ νὺξ διέλυσεν.) Ἀλλὰ καὶ Πλούταρχ: (ἐν τῷ Κράσσῳ·) ἴσορρεῖ τοῖς Παρθυαίοις ἐκ εἶναι πάτριον νυκτομαχεῖν.

ΚΕΦΑΛ. ΙΕ'.

Περὶ τῶν ἐν τῇ μάχῃ τραυματιῶν.

Οἱ ἐπὶ τῆς συμβολῆς τραυματίαι ὑπὸ ἀκεσόρων ἐθεραπεύοντο· τοιοῦτος ἦν Μαχάων: (Ἰλ: Δ'. ς. 218.) ὃς εἰς θεραπείαν Μενελάου τρωθέντος μετακληθεὶς, ἐξείλκυσε τὸν ὀϊστὸν αὐτῷ, ἔπειτα

„ Αἷμ' ἐκμυζήσας, ἐπ' ἀρῇ ἤπια φάρμακα εἰδὼς
„ Πάσσε . . . . . .

Ὡσαύτως καὶ Παιήων: (Ἰλ: Ε'. ς. 900.) ἐπὶ τῇ Ἄρεως τρώσει.

„ . . . . Ὀδυνήφατα φάρμακα πάσσων
„ Ἤπεσατ' . . . . . .

Καὶ Εὐρύπυλος δὲ: (Γλ: Λ'. ς. 827. κξ.) καθικετεύει Πάτροκλον:

„ Ἀλλ' ἐμὲ μὲν σὺ σάωσον, ἄγων ἐπὶ νῆα μέλαιναν·
„ Μηρῶ δ' ἔκταμ' ὀϊστὸν, ἀπ' αὐτῶ δ' αἷμα κελαινὸν
„ Νίζ' ὕδατι, ἐπὶ δ' ἤπια φάρμακα πάσσε
„ Ἐσθλὰ, τά σε προτὶ φασὶν Ἀχιλλῆος δεδιδάχθαι·
„ Οὓν Χείρων ἐδίδαξε . . . . . .

Οἷπερ ἦν καὶ ἐποίησε Πάτροκλος (αὐτ: 843.) Καὶ γὰρ

„ . . . . . Ἑκὼν μηρῶ τάμνε μαχαίρη
„ Ὀξὺ βέλος περιπευκὲς· ἀπ' αὐτῶ δ' αἷμα κελαινὸν
„ Νίζ' ὕδατι λιαρῷ· ἐπὶ δὲ ῥίζαν βάλε πικρήν.

Ἥτις δὴ ῥίζα, τοῖς μὲν Ἀχίλλεια λέγεται, τοῖς δὲ ἀριστολοχία, ἣ γε ἴσχαιμος: ὅτι ἐπιπασσομένη παραὶ χρῆμα τὴν ῥύσιν ἴσχει τῶ αἵματος. Ἀλλὰ καὶ παρὰ τῷ Οὐϊργιλίῳ (Αἰνειάδ: ΙΒ'. ς. 420.)

Fovit ea vulnus lympha longaevus Iapys
Ignorans, subitoque omnis de corpore fugit
Quippe dolor . . . . . .

„ (Τοίοις ἄρ' γηραιὸς ἐν ὕδασιν Ἴαπις ἕλκος
„ Ἄλθεεν ἀγνοέων, ὀδύνη δ' ἄπο ὤχετο πᾶσα.)

Ὁμοίως δὲ καὶ Νέστωρ Μαχάονα βεβλημένον, ὑπὸ Ἀλεξάνδρε

„ Γῶ τριγλώχινι . . . . κατὰ δεξιὸν ὦμον: (Γλ: Λ'. ς. 506.) ἐπὶ τῶν ἰδίων ὀχέων ἐπιβιβάσας ὑπεξήγαγε θεραπευθησόμενον: (Αὐτ: ς. 517. κξ.) Ἔνθα δὴ καὶ οἶνος ἐκέλευσε δοθῆναι

αὐτῷ πιεῖν πραμνείᾳ. Ὁ μὲν γὰρ οἶνος ταῖς φλεγμοναῖς ἐσὶν ἐναντιώτατος, ἧ φησὶν Ἀθήναιος ἐν Βιβλ: Α'. Τίς δὲ ἆρα ἦν „καὶ ἡ τῦ χλιαρῦ ὕδατος ὄνησις, διδάσκει Εὐσάθιος: τὸ μὲν θερ„μὸν (λέγων) εἰ καὶ πραΰνει τὰς ἀλγηδόνας, αἵματος ἐσὶν „ἀγωγὸν· τὸ δ' αὖ ψυχρὸν φρίκην ἐμποιεῖ· ἄριστον δ' ἦν καὶ „ἐνταῦθα τὸ μέσον. Ὅγε μὴν Ἕκτωρ ἐκ τῆς τῦ λίθε βολῆς μο„νονεχὶ ἀποπνεύσας, ὕδατι ποταμίῳ περιχυθεὶς ἐπανέψυξεν. Οὕτω δὲ καὶ ὁ Κωμικὸς Ξέναρχος, παρὰ τῷ Ἀθηναίῳ (ἐν τᾷ ς'. Βιβλ:) φησὶ:

τὸς δὲ ἦν ὑπέσησαν πληγὴν καιρίαν λειποψυχήσαντας ἁλιεῖς, ὕδατι περιβρεχομένυς εἰώθεναι ἐπαναψύχεσθαι. Τοιῷδε λόγῳ καὶ παρὰ τῷ Πλαύτῳ (ἐν Ἀμφιτρύωνι) ἡ Βρομία λέγει:

Vae miſerae mihi! animo male eſt: aquam velim
Corrupta ſum, atque abſumpta ſum.

„(Οἴμοι τῇ ἀθλίᾳ! λειποθυμῷ· ὕδως ἐθέλοιμι:
„Διέφθαρμαι, καὶδεδαπάνημαι.

Διδάσκει δὲ τόδε τ' ἀλέξημα Ἱπποκράτης, ἐν τῷ περὶ τῆς τῶν „ὑγρῶν χρήσεως: κατὰ ἀηρέων ἐν λειποθυμίαις τὸ ψυ„χρὸν καταχεόμενον ὠφελέει. Καὶ ταῦτα δὴ τὰ ἰατρικὰ παρ' Ὁμήρῳ τὰ τοῖς παλαιοῖς εἰωθότα ἐν χρήσει γίγνεσθαι: ἐξ ὧν ἀναφαίνεται, ὅτι καὶ οἱ ἄριστοι τῶν Ἡρώων τὴν Ἰατρικὴν ἐγυμνάζοντο τέχνην, σὺν αὐτῇ καὶ τὴν χειρεργικὴν παρασυνάπτοντες.

Οἱ ἐν τῇ μάχῃ θνήσκοντες, παρερρίπτεντο πρὸς τῶν πολεμίων, θηρσί τε καὶ πτηνοῖς σπαραχθησόμενοι: τετὶ γὰρ πρὸς ὕβριν τὴν ἐχάτην, καὶ ἀπειλεῖν εἰώθεν θαμὰ, καὶ πράττειν· ὡς ἐν προοιμίοις τῆς Ἰλιάδ: (Α'. ς. 3.) ἡ Ἀχιλλέως μῆνις λέγεται, ὅτι

„ Πολλὰς ἰφθίμους ψυχὰς ἄϊδι προΐαψεν
„ Ἡρώων· αὐτὰς δ' ἑλώρια τεῦχε κύνεσσιν
„ Οἰωνοῖσί τε πᾶσι . . . . . .

Οὕτω δ' ὁ αὐτὸς Ἀχιλλεὺς περὶ τὸν Ἕκτορα πεσόντα δρᾶσαθαι πρόθετο, (Ἰλ: Ψ. ς. 183. κξ.) περὶ τὰ Τρωϊκὰ τείχη, τὸ ἐκείνε πτῶμα, διὰ τῶ ἰδίε περισύρων ζεύγες, τὸ καὶ πολλοῖς ἔτι κατατρώσεσιν ὑπὸ τῶν Ἀχαιῶν ἐπιδιασπαραχθέν. Ἦν γὰρ, ὡς ὁ Σέρβιος φησὶν, ἔθος, τὰς ἐκ τῶν πολεμίων ἀναιρεθέντας ἡγεμόνας, ἅπαντα τὸν στρατὸν προσεπιτιτρώσκειν: (ἐν ΙΑ΄. τῆς Αἰνειάδ:) ἔνθα καὶ Οὐϊργίλιος ἔφησε:

. . . . . Mezentii bis ſex thoraca petitum
Perfoſsum que locis . . . . . .

„ (Θώρακα Μεζέντοιο τετύχθαι δωδεκάτρητον.)

Ἀλλὰ καὶν ἑτέρων πτώμασι παρὰ τὰ θανατηφόρα τραύματα προσέτι, νῦν μὲν χεῖρας, νῦν δὲ καὶ κεφαλὴν ὁρῶμεν παρ' Ὁμήρῳ ἀποτετμῆθαι: (Ἰλ: Λ΄. ς. 146. καὶ Ν΄. ς. 202. καὶ Σ΄. ς. 176.) Παραπλησίως δὲ (Αἰνειάδ: Θ΄. ς. 333.) Νῖσος τὴν Ῥαμνήτε κεφαλὴν ἀπέκοψε· τῶδ' ὁ καὶ αὐτῷ ἐξ ἀμοιβῆς ὕστερον παθεῖν συνέβη, σὺν Εὐρυάλῳ, ὧν τὰς κεφαλὰς ἀμφοτέρων οἱ Ῥυτύλοι ἐφεξῆς ἐκτεμόντες ὑσσοῖς ἐνέπειραν. Τετὶ δὲ τοῖς Ἀσιατικοῖς Βαρβάροις σύνηθες ἦν, ὡς ἐκ τῶ Ξέρξε καὶ τῶ Μαρδονίε, παρ' Ἡροδότῳ (ἐν τῇ Καλλιόπῃ) σαφὲς καθίσταται, τῶν Λεωνίδε τῶ τῶν Σπαρτιατῶν Ἄνακτος τὴν κεφαλὴν ἀποτεμόντων, καὶ τὸν κορμὸν ἀνασκολοπισάντων. Αὐτὸ δὲ τῶτο Μαρδονίῳ ἔπειτα ἀποκταθέντι, Παυσανίας, Λάμποντος τῶ ἀνεψιῶ ἀπαιτῶντος παρητήσατο· ὅτι ἡ τοιάδε ἀνοσιεργία, τό τε κόσμιον τῆς πατρίδος, καὶ τὸν τῆς νίκης ἔπαινον ἀποτρίψειεν. Νεκρῷ (φήσας) λυμαίνεσθαι, πρέπει μᾶλλον Βαρβάροισι ποιεῖν,

ἥπερ Ἕλλησι πᾳὰνόνοισι δὲ ἐπιφθονέομεν. Ἀξιάγαστον δὲ καὶ ὅπερ Ἀρχίλοχος ἀπεφθέγξατο:

„ Ζῶντας κολάζειν, ἀ θανόντας εὐσεβὲς·
„ Οὐ γὰρ ἐθλὰ κατθανοῦσι κερτομεῖν ἐπ' ἀνδρᾶσι.

Καὶ αὐτὸς δὲ Ὅμηρος (Ὀδυσ: Χ'. ς. 412.

„ Οὐχ ὁσίη, κταμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι.

Τῷ τοι καὶ βέλτιον Ἀχιλλεὺς διεπράξατο, ὅτε Ἠετίωνα τὸν Θηβῶν Ἄνακτα, τὸν ὑπ' αὐτῆ ἀναιρεθέντα τύμβῳ τετίμηκεν· (Ἰλ: Ζ'. ς. 416. κξ.) ὃν τινα καὶ Ἀννίβας ὕστερον ἀπεμιμήσατο, Μάρκελλον ἐπικηδεύσας, (παρὰ Πλατάρχῳ) καὶ ἄλλοι.

Ἐνθεντοι καὶ ἔρις ἐν στρατιώταις ἀνωρίνετο μεγίστη ἐπὶ τοῖς ἰδίοις πεσοῦσιν, ἐφ' ᾧ τῶν πολεμίων αὐτοὺς ἐξαρπάσαθαι· ὡς δῆλον περί τε τὸν νεκρὸν Σαρπηδόνος: (Ἰλ: Π'. ς. 629.) καὶ περὶ τὸν Πατρόκλου (Ἰλ: Ρ'. χ. 120.) οὓς ἔνθεν μὲν Τρῶες, ἔνθεν δ' Ἀχαιοὶ ἐξαφελέσθαι, ἐκ ἄνευ πολλῆς ἀνδροκτασίας κατηγωνίσαντο. Ταὐτὸ δὲ καὶ μέσον Περσῶν ἐγένετο καὶ Ἑλλήνων, τῆ Μισιτίδι ἀναιρεθέντος καθ' Ἡρόδοτον. Ἐνίοτε δὲ καὶ δι' ἐξαγοράσεως τὰ τῶν πεπτωκότων ἐν τῷ πολέμῳ ἀνερύετο σώματα, ὥσπερ ὑπὸ τῆ Πριάμου τὸ τῆ υἱῆ Ἕκτορος: (Ἰλ: Ω'. ς. 555.) Καὶ ἐπὶ ἴσης μετὰ ταῦτα τῇ ἐκτιμήσει τὸ τῆ Ἀχιλλέως ὑπὸ τῶν Ἑλλήνων, ὡς ὁ Λυκόφρων μάρτυς ἐστὶν (ἐν τῇ Ἀλεξάνδρᾳ)

„ Αὖτις τὸν ἀντίποινον ἐγχέας ἴσον
„ Πακτώλιον σαθμοῖσι τηλαυγῆ μύδρον.

Οὕτω καὶ Νῖσος παρὰ Οὐϊργιλ: (Αἰνειάδ: Θ'. ς. 213.)

Sit qui me raptum pugnâ, praeliove redemptum
Mandet humo solitâ . . . . . .

„ (Εἰή δ' ὅς τε πεσόντα με λυσάμενος δι' ἀπίνων
„ Ἦχοι δῶ ἐθίμῳ . . . . . .

Καὶ συνθήκη δὲ συνίσατο περὶ τῆς τῶν πεσόντων ἀναιρέσεως εἰς ἐνταφιασμόν, τῆς δηϊοτῆτος ἐκπεραν θείσης, ὑπὲρ ἧς Ἕκτωρ ἐσπέδασεν: (Ἰλ: Η'. ς. 407.) Ὅπερ δὴ ἦθος ἁπανταχῆ ἐν ταῖς Ἑλλήνων ἁπάντᾳ ἱσορίαις, τὲ διὰ συνθήκης, οἷς περ ἂν ἡττηθῆναι γένοιτο τὰ πτώματα τῶν ἰδίων ἀναιρεθέντων, μετά γε τὴν ὑσμίνην ἐπαναρύεσθαι, ἐν κηρυκείῳ διαπεμπομένε τὲ αἰτησόντος. Τὲς δὲ τοιέτους, νεκρὲς ὑποσπόνδες, Θεκυδίδης τε καὶ Ξενοφῶν ὀνομάζεσι. Τετονὶ δὲ τὸν τρόπον διεπράχθησαν, καὶ αἱ μεταξὺ Τρώων τε καὶ Ἑλλήνων ἀνοχαὶ, ἐπὶ ἐνταφιασμῷ τῶν νεκρῶν: (Ἰλ: Η'. ς. 395. κξ.) ἐν ᾧ δὴ τὲς Γάλλες ἐχ ὁμοίες τοῖς Ἕλλησιν ἐπισημειῆται γενέσθαι Παυσανίας ἐν τοῖς Φωκαϊκοῖς· Οἱ μὲν γὰρ Ἕλληνες, τές τε αὐτῶν ἔθαπτον, „καὶ ἐσκύλευον τὲς βαρβάρες. Οἱ Γαλάται δὲ, ὑπὲρ ἀναι„ρέσεως τῶν νεκρῶν ἐπεκηρυκεύοντο· ἐποιῆντο τε ἐπίσης „γῆς σφᾶς τυχεῖν, ἢ θηρία τε αὐτῶν ἐμφορηθῆναι, καὶ „ὅσον τεθνεῶσι πελέμιον ἐςὶν ὀρνίθων.

ΚΕΦΑΛ. Ις'.

Περὶ τῶν ἐν πολέμοις λαφύρων.

Τῆς ἐν πολέμοις λείας τὸ πρᾶτον καὶ μέγισον ἦν, ἡ τῶν παρὰ τοῖς πολεμίοις ὅπλων ἀφαίρεσις, ἧς τοσάδε ἐπὶ τῆς Ἰλιάδος τὰ δείγματα, ὅσα γε αἱ ὑσμίναι τε καὶ ἀνδροκτασίαι. Τὰ δ' ὅπλα οἱ νικήσαντες, τῇ μὲν εἰς ἴδιον κλέος τε καὶ ὄφελος ἀπεκομίζοντο, τῇ δὲ καὶ ἵνα κατ'

ἐυχὴν τοῖς Θεοῖς ἱερώσωσι. Καὶ τάυτη τοίνυν οἱ Ἕλληνες, τῆς μάχης τέρμα λαβόσης, ἀποδύεν τῶν ὅπλων τὰς πελεμίδας ἐώθεν, τρόπαιόν τε ςησάμενοι, καὶ τὰ σκῦλα εἰς ἰδίας τε καὶ δημοσίας ἀφελόμενοι χρήσεις. Ἀλλὰ Πλάτων (ἐν τῷ Ε'. τῶν περὶ πολιτ:) ἀνελεύθερον „εἶναι, καὶ ὑπαρᾶς τινος Φιλοχρηματίας ἡγεῖτο, γυναικείας τε καὶ σμικρᾶς διανοίας, τὰ τῶν νεκρῶν, καὶ μάλιςα τὰ Ἑλλήνων σώματα ἀπογυμνᾶν, καὶ τὰ λάφυρα ἐν τοῖς τεμένεσιν εἰσάγειν. Διὸ καὶ τοῖς Λακεδαιμονίοις ὑπο Λυκέργε ἀπηγόρευτο τὸ τοιᾶτον, ὡς Αἰλιανὸς „μαρτυρεῖ (ἐν τῷ ς'. Βιβλ:) λέγων, ὅτι ἂν ἐξῆν ἀνδρὶ Λάκω„νι, ἀδὲ σκυλεῦσαι τὸν πολέμιον. Καί περ Ἀργείας τε καὶ Μαντινέας τροπώσαντες, ἂν ἐπ' ἀκριβὲς παρατετηρηκέναι λέγονται τὸ παράγγελμα. (παρὰ Θεκυδίδ: ἐν τῷ Ε'.)

Παρὰ τὰ ὅπλα δὲ, καὶ χρυσὸς ἔτι, καὶ χαλκὸς, καὶ σίδηρος, καὶ τ' ἄλλ' ἀγαθὰ τῶν πολεμίων εἰς λείαν ἦκεν, κατὰ γὰρ τὸ τᾶ πολέμε δίκαιον, τῷ νικῶντι πάντα ὑπείκει: ὡς Ξενοφὼν ἐν τῷ Γ'. τῆς παιδείας, καὶ Πλάτων ἐν τᾷ Α'. τῶν Νόμων, Φασὶν ἀποφαινό„μενοι: πάντα τὰ τῶν νικωμένων ἀγαθὰ τῶν νικώντων „γίγνεθαι. Καὶ αὐτοὶ δὲ προσέτι οἱ πολέμιοι Ζωγρίαι καθεζῶτες, μέρος τῆς λείας συνίσων· ἃ γὰρ ἐς τὸ διηνεκὲς ἀναιρᾶντες ὑπῆρχον, ἀλλὰ τὰς ἀνδραποδισθέντας διέσωζον, ἤτοι σφίσιν αὐτὲς δελεύειν κατέχοντες, ἢ καὶ ἄλλοις διαπιπράσκοντες. Ἀπεδίδην δ' ἐξ αὐτῶν καὶ τοῖς οἰκείοις τοῖς ἐκείνων, τὴν τιμὴν τῆς ἀξαγορᾶς ἀποτίνεσιν: ὡς Ἀχιλλεὺς τὴν Ἠετίωνος ἄλοχον: (Γλ: Ζ'. ς. 327.)

„ . . . Ἀπέλυσε λαβὼν ἀπερείσι' ἄποινα.

Τᾶτο καὶ περὶ τῆς Χρυσηΐδος θυγατρὸς αὐτᾶ, ὁ γεννήτωρ ἐπαγγετείνετο Χρύσης (Γλ: Α' ς. 20.) καὶ Πρίαμος περὶ τᾶ υἱέος: (Γλ:

Ω'. χ. 502.) Οὕτω δὲ καὶ παρὰ τοῖς ὕστερον Ἕλλησι λύτρων καταβαλλομένων, οἱ ἀνδραποδιζόντες ἐξηγοράζοντο ἐπὶ ἐκτιμήσει τῇ τεταγμένῃ. Μνᾶν, Ἀριστοτέλης εἶπεν, (ἐν Ε'. τῶν Ἠθικ: Κεφ: Ι'.) νόμιμον τὸ μνᾶς λυτρῶσθαι. Ὁ δὲ διαφερόντως Ἀθηναίων μεταξὺ καὶ Λακεδαιμονίων συγκείμενον κρατεῖν Ἡρόδοτος εἰς μνήμην παρέδωκεν.

Ἐπὶ τῇ τῶν λαφύρων διανομῇ, πολὺς ἐγίνετο ὁ περὶ τῆς ἰσότητος λόγος, μή τις γε δὴ τῆς δικαίας μερίδος παρακρέοιτο. Οὕτως Ὀδυσσεὺς ἐποίει λεηλατήσας τὲς Κίκονας: (Ὀδυσ: Ι'. ς. 42.)

„ Δασσάμεθ' ὡς μή τις μοι ἀτεμβόμενος κίοι ἴσης.

Τὸ δ' αὐτὸ ἐπανείληπται, καὶ ἐν τέλει τῆς αὐτῆς Ῥαψῳδίας: (ς. 549.) ἐπὶ τῇ διαμερίσει τῆς λείας. Ὡσάυτως δὲ καὶ Νηλεὺς, τὰ ἀπὸ τῶν Ἠλείων λαφυραγωγηθέντα καλῶς προσέχεν (Ἰλ: Λ'. ς. 704:

„ Δαιτρεύειν, μή τις οἱ ἀτεμβόμενος κίοι ἴσης.

Διὰ δὴ τᾶτο καὶ Ὀδυσσεὺς (Ὀδυσ: Ν'. ς. 262.) ἀποκτεῖναι φησὶν Ὀρχίλοχον τὸν υἱον τᾷ Κρητῶν Ἄνακτος, ὡς τῆς οἱ προσηκέσης μερίδος τῆς λείας ἀποσερῆσαι βαλόμενον.

„ Οὔνεκά με σερέσαι τῆς λῃΐδος ἤθελε πάσης.

Τὴν ἓν λείαν τοῖς σρατευομένοις ἐπιμερίζειν ὁ ἐπὶ τᾷ σρατᾷ ἡγεμονέυων εἰώθει, διὸ καὶ τὰ ληϊσθέντα πρὸς αὐτὸν ἕκασος προσεκόμιζον. Ὁ δὲ καὶ Ἀχιλλεὺς ἔφασκε πεποιηκέναι, τὰς τρεῖς ἐπὶ ταῖς εἴκοσι πόλεις διαπορθήσας, ὧν τὰ μὲν σκῦλα φέρων παρέδωκεν Ἀγαμέμνονι, κατ' αὐτᾶ δ' ὕστερον ἐποτνιᾶτο, ὡς ἐχ ἧπερ ἔδει δικαίως αὐτὰ διανείμαντος.

Ἀλλὰ γὰρ ὁ τῆς ἐκσρατείας καθηγησάμενος, ἀπὸ πάσης τῆς λείας μερίδα τινὰ, ἐκτὸς τᾶ κλήρε, ἑαυτῷ ἐξῃρεῖτο, ὥσπερ Νηλεύς: (Ἰλ: Λ. ς. 703.)

„ Ἐξέλετ' ἄσπετα πολλά, τὰ δ' ἄλλ' ἐς δῆμον ἔδωκε.

Καὶ Ὀδυσσεὺς δὲ „ ἐκ τῆς ἀπὸ τῶν τε Κύκλωπος ἐπαθροισθείσης λείας, τὸν ἐπίσημον ἔχειν ἀρνειὸν ὑπεχώρησαν. (Ὀδυσ: Ι'. ς. 550.)

„ Ἄρνειὸν δ' ἐμοὶ οἴῳ ἐϋπνήμιδες ἑταῖροι
„ Μήλων δασομένων δόσαν ἔξοχα. . . . . .

Διὰ τοῦτο δὲ καὶκ τῆς θήρας „ δέκα ἔχεν αὐτὸς αἶγας „ τῶν ἑταίρων ἐννέα κομισαμένων ἐν νηῒ ἑκάστη (αὐτ: ς. 160.)

„ Ἐννέα λάγχανον, ... ἐμοὶ δὲ δέκ' ἔξελον οἴῳ.

Ὡσάυτως παρ' Ἡροδότῳ (ἐν Καλλιόπῃ) Μαρδονίε ἀποκταν-θέντος, καὶ τῆς λείας διανεμομένης κατ' ἄνδρα, Παυσανίας τῷ ἀρχι-στρατηγοῦντι ἐπεδόθησαν τῶν τε γυναικῶν „ καὶ τῶν ἵππων, καὶ τῶν καμήλων τὰ φέρτατα, καὶ τἄλαντα δὴ, καὶ ἄλλα κατ' ἐξαίρεσιν ἄνευ κλήρε. Καὶ παρὰ Ῥωμαίοις δὲ τοῖς παλαιτέροις Κορνικόλε τῆς πόλεως ἁλόσης, Ταρκύνιος ὁ βασιλεὺς ἐκ τῶν λαφύρων Ὀκρισίαν ἔσχε λαβὼν ἐξαίρετον, τῶν ἐν Κορνικόλῳ γυναικῶν καλλίστην τε καὶ σωφρονεστάτην. (Διονύσ: Ἁλικαρν: ἐν τοῖς περὶ τῆς Ῥωμαϊκ: Ἀρχαιολ: Βιβλ: Δ'.)

Καὶ γέρα δὲ ἐπ' ἀνδραγαθήμασιν ἐξῃρεῖτο τοῖς λοιποῖς τῶν ἡγε-μόνων, καὶ τοῖς ἄλλοις ἀρίστοις, οἷα δὴ καὶ αὐτὸν Ἀγαμέμνονα δια-νεῖμαι Ἀχιλλεὺς ὡμολόγει: (Ἰλ: Ι'. ς. 334.)

„ Ἄλλα δ' ἀρίστῃσι δίδε γέρα, καὶ βασιλεῦσι.

Καθ' ἣν διανομὴν καὶ αὐτὸς ἀπηνέγκατο τὴν Βρισηίδα. Οὕτω καὶ Νεοπτόλεμος ὁ τοῦ αὐτοῦ υἱος, μετὰ τὴν Ἰλίε ἅλωσιν: (Ὀδυσ: Λ'. ς. 535.)

„ Μοῖραν, καὶ γέρας ἐσθλὸν ἔχων ἀπὸ νηὸς ἔβαινεν,

Ἀνδρομάχην ἀπειληφὼς, ἥπερ ἐπιμαρτυρεῖ Γεσῖνος (Ἴσορ: ΙΖ'.) Καὶ Θησεὺς δὲ ὁ Ἡρακλεῖ ὀπάων γενόμενος κατὰ τῶν Ἀμαζόνων: Γέρας ἀρισεῖον Ἀντιόπην ἔλαβεν: ἥπερ ἐν τῷ βίῳ αὐτὲ φησὶ Πλέταρχος.

Διὰ τᾶτο ἢ τοῖς στρατιώταις βραβεῖα οἱ ἡγεμόνες προϋπιχνεῖθαι εἰώθεν, ἐπὶ τὰς πολεμικὰς ἀγῶνας αὐτὸς παραθήγοντες· καθάπερ Ἕκτωρ, τῶν λαφύρων τὰ ἡμίσια ἐπαγγέλλεται δώσειν, ὃς ἂν τὸν Πατρόκλε νεκρὸν οἷός τε γένοιτο ἐπαγαγέσθαι· (Ἰλ: Ρ'. ς. 231.) Καὶ Ἀγαμέμνων δὲ Τεύκρῳ καθυπιχνεῖτο Τροίας ἁλόσης, δῶρον αὐτῷ ἐπιδώσειν τιμῆεν, μεθ' ὃ ἂν αὐτὸς λάβοι: (Ἰλ: Θ'. ς. 289.)

„ Πρώτῳ τοι μετ' ἐμὲ πρεσβήϊον ἐν χερὶ θήσω,
„ Ἢ τρίποδ', ἠὲ δύω ἵππους αὐτοῖσιν ὄχεσφιν,
„ Ἢ ἐὲ γυναῖκ' . . . . . .

Παρὰ δὲ τῷ Οὐιργιλίῳ: (Αἰνειάδ: Θ'.) Ἀσκάνιος καθυπιχνεῖτο Νίσῳ, ἐξελεῖν αὐτῷ ἐκ τῆς λείας τὰ Τύρνε τεύχη, καὶ προσέτι ἢ πολλὰ ἄλλα γέρα προσεπιθήσειν ἀνδραγαθίας· πρὸς οἷς καὶ τὲ ἀγρὲ μέρος τὲ Λατίνῳ προσιδιάζοντος. (ς. 274.)

. . . . . Campi, quod Rex habet ipſe Latinus.
„ (Πρὸς δ' ἀγρῶν τι μέρος, τῶν νυνὶ Λατῖνος ἐπάρχει.)

Ἀμέλει τοι τέμενος: οἷον παρ' Ὁμήρῳ θαμὰ ἑκάστῳ τῶν ἀριστευόντων ἀνδρῶν ἀφορίζεται. Ἰδίᾳ δὲ, (Ἰλ: Υ'. ς. 184.) ἔνθ' Ἀχιλλεὺς Αἰνείᾳ διαπυνθάνεται, εἴπερ ἄρα ἦκεν αὐτὸν διαχρησόμενος, ἐπ' ἐλπίδι τεμένεος, ὅπερ αὐτῷ οἱ Τρῶες ἀντιδῆναι ὑπέσησαν.

„Ἦ νύ τι τοι Τρῶες τέμενος τάμον ἔξοχον ἄλλων
„Καλὸν Φυταλιῆς καὶ ἀρούρης, ὄφρα νέμηαι
„Αἶψ' ἐμὲ κτείνας. . . . . .

Ἁπαντᾷ δὴ τοιαῦτα μυρία, ἐ μόνον παρ' Ἕλλησιν, ἀλλὰ καὶ παρὰ Ῥωμαίοις, καὶ ἔθνεσιν ἄλλοις, δι' ὧν οἷον ὑπεκκαυμάτων, τὴν τῶν στρατευομένων εὐψυχίαν, οἱ στρατηγῆντες ἀνεπύρσευον.

ΚΕΦΑΛ. ΙΖ'.

Περὶ Εἰρήνης, καὶ περὶ Συνθηκῶν.

Τέλος πολέμε, ἢ ὡσαύτως τῆδε ἡμῶν τῆ Φιλοπονήματος, ἡ **Εἰρήνη**. Ἡ δὲ, ἤτοι ἐν τῇ τῶν ὅπλων κεῖται δυνάμει, ὡς ὅτε τῶν πολεμίων δαμασθέντων, οἱ νικῶντες νόμες κατ' αὐτῶν τιθέασιν, ἅς ἂν βέλοιντο· ἢ γῆν ἐν σπονδῇ, τῇ ἐπί τισι συνθήκαις ὑφ' ἑκατέρε τῶν μερῶν συνισαμένη. Τετὶ δὴ τὸ δεύτερον, ἀμεινόν τε ὂν καὶ μακρᾷ ἀσφαλέστερον, διὰ πρεσβευτῶν διεπραγματεύετο ἀποστελλομένων: ὥσπερ Μενέλαός τε καὶ Ὀδυσσεὺς, μετ' ἔτιν ἂς μάχας συγκροτηθείσας, πρὶς τῆ Ἀγαμέμνονος εἰς Πρίαμον διεπέμφθησαν, οἱ δὶ ἀποδόσεως, ἣν οἱ Τρῶες φθάσαντες προαφείλοντο, τὴν εἰρήνην ἀπαιτησόμενοι: τῆθ' ὅπερ ἔοικεν ὁ Ποιητὴς ἐννοεῖν: (Ἰλ: Γ'. ς. 206.) ἔνθα Πρίαμον εἰσάγει ἔτως Ἑλένη προσφθεγγόμενον:

„Ἤδη γὰρ καὶ δεῦρο ποτ' ἦλυθε δῖος Ὀδυσσεὺς,
„Σεῦ ἕνεκ' ἀγγελίης, σὺν ἀρηϊφίλῳ Μενελάῳ.

Τὸ δ' αὐτὸ παρασημαίνει: (Ἰλ: Λ'. ς. 139.) ἐν οἷς ὑπὸ Ἕκτορος χερήμασι διαφθαρεὶς Ἀντίμαχος λέγεται, Ὀδυσεῖ τε καὶ Με-

νελάῳ διαπρεσβέυσειν ἐπὶ τῆς ἀγορᾶς ἀντιξῆναι, καὶ προτροπεὺς τοῖς Τρωσὶ γενέσθαι, ὅπως ἂν ἐκ μέσου ἀμφοτέρους ποιήσαιντο· ὅπερ ἓν ἀνόσιον βέλευμα τοῖς ἐκείνου υἱέσιν ὑπὸ Ἀγαμέμνονος ἐκδεδίκηται. Ἀμέλει καὶ γὰρ ἀεί τε καὶ πανταχῆ οἱ πρεσβέυοντες, κατὰ συμφωνίαν ἐθνῶν ἁπάντων, ἱεροί τε καὶ ἀνεπηρέασοι εἶναι νομίζονται. Τάυτη δὲ καὶ θεῖοι Ὁμήρῳ προσαγορέυονται **Κήρυκες**, οἱ ἔνθεν κἀκεῖθεν ἐπὶ πράγμασι δημοσίοις παρὰ Βασιλέων ἀποστελλόμενοι· ἀπὸ γὰρ **Ἑρμοῦ** τὴν ἐκείνων ἀρχὴν οἱ παλαιοὶ παράγοντες ἦσαν. Ἧπερ δὲ διὰ τῆτο καὶ Λακεδαίμοιες Ταλθυβίῳ τῷ Ἀγαμέμνονος Κήρυκι τιμὰς θειοτέρας ἐπεψηφίσαντο, καὶ ἱερὸν αὐτῷ ἀνέθεντο. Καὶ ἅμα δὲ καὶ τὲς πρὸς γένες ἐκείνῳ **Ταλθυβιάδας**, τὸ τῆς διαπρεσβέυσεως ἔργον ἐς ἀεὶ μετιόντας εἶναι προείλοντο, ὡς Ἡρόδοτός τε μαρτυρεῖ (ἐν τῇ **Μελπομένῃ**) καὶ Παυσανίας ἐν τοῖς **Λακωνικοῖς**.

Σπονδαὶ τοίνυν συνίσαντο ἐν Βασιλεῦσιν, ὡς ἐξὶν ἰδεῖν (Ἰλ: Γ'. ς. 250.) ἔνθα Ἀγαμέμνων καὶ Πρίαμος συνελθόντες, κατά τινας τελετὰς τεταγμένας, Ἑλλήνων ἐνώπιον καὶ Τρώων θεωρῶν παρισαμένων, τὰς συνθήκας ποιῆνται. Ἀρνειὸς ἐκεῖ ἑκατέρωθεν προσηνέχθη, Γῇ τε καὶ Διΐ, καὶ Ἡλίῳ θύματα. Τὸν δὲ τράχηλον τῇ σφαγίδι Ἀγαμέμνων ἀπέτεμε, καὶ τρίχας ἐκ τῆς κεφαλῆς ἐξέκοψε, τὰς τοῖς παρεσηκόσιν ἡγεμόσιν ὑπὸ τῶν Κηρύκων διανεμηθείσας· δι' ὧν ὑπεσημαίνετο, ὡσάυτως δὴ ἐκκοπήσεσθαι μέλλειν καὶ τὸν τὴν σπονδὴν ἀθετήσοντα: ὡς ὁ παρὰ τῷ Σοφοκλεῖ ἔφη:

„ Καὸς καπῶς ἄθαπτος ἐκπέσοι χθονὸς
„ Γένυς ἅπαντος ἕρξαν ἐξημημένος
„ Ἄυτως, ὅπως περ τόν δ' ἐγὼ τέμνω πλόκον.

Ἀλλὰ καὶ τὸν αὐτὸν τῆτον τρόπον, ἐφ' οἱασῆν ἁγιωτέρας ὁρκομασίας τὸ ἱερεῖον σφαγιάζεσθαι εἰώθει: οἷον (Ἰλ: Τ'. ς. 250, κξ.)

ἔνθα καὶ Ἀγαμέμνων, τὸ κάπρε σφαγέντος, καὶ τῶν τριχῶν ἀπεκτμηθεισῶν ἀπὸ τὸ μετώπε τὸ σφαγιάσματος, ἐπόμνυσι μηδαμῶς αὐτὸς συμμιγῆναι τῇ Βρισηΐδι. Καὶ Παυσανίας δὲ ἐν τοῖς Μεσσηνιακοῖς, παρεδωκεν Ἡρακλῆν τοῖς Νηλέως τέκνοις συνθέσθαι, πίστεως ἑκατέρωθεν δοθείσης, ἐπιτομίων κάπρε· ἅπερ οἱ μὲν τὰ ἔγματα ἑρμηνεύσιν· οἱ δὲ τὰς ὄρχεις. Καθάπερ ἂν καὶ Τυνδάρεως, τὰς Ἑλένης μνηστῆρας δι' ὅρκε ἐπέδησεν, ἐπὶ τῶν τομίων τοῦ ἵππε· τὸ αὐτὸ Παυσανίε προσεπιμαρτυρέντος (ἐν τοῖς Λακωνικοῖς). παραπλήσιόν τι παρατετήρηται ἐν Ἀρειοπάγῳ, ἐπὶ βεβαιώσεως ἁγιωτέρας, παρὰ τὸ διώκοντος τινὰ, φόνε, ὡς Δημοσθένης φησὶν, ἐν τῷ κατὰ Ἀριστοκράτες. „Στὰς ἐπὶ τῶν τομίων κάπρε καὶ κριῦ, καὶ τέτων ἐσφαγ„μένων, ὑφ' ὧν δεῖ, καὶ ἐν αἷς ἡμέραις προσήκει. Τὰ γὲν τοιαῦτα τῶν θυμάτων, ἐκ εἰώθει ἐς τροφὴν παρατίθεσθαι, ἀλλ' ἀποῤῥίπτεσθαι· ὡς ὁρῶμεν τὸν τὸ Ἀγαμέμνονος κάπρον ἐκεῖνον: (Ἰλ: Τ. ς. 267.)

„Τόν περ Ταλθύβιος πολιῆς ἅλὸς ἐς μέγα λαῖτμα
„Ῥῖψ' ἐπιδινήσας βρόσιν ἰχθύσι . . . . .

„Ὅθεν Παυσανίας, Τοῖς γε ἀρχαιοτέροις ἐς τὰ ἱερεῖα ἦν „καθεσηκὸς, ἐφ' ᾧτις ὅρκον ἐποιήσατο, μηδὲ ἐδώδιμον „τέτο εἶναι ἀνθρώπῳ: τὸ δ' ἔθος παρατετηρῆθαι γράφει κἀν Ὀλυμπίοις, ὅπε οἱ ἀθληταὶ καὶ γυμνασταὶ παρὰ τοῖς Ἑλλανοδίκαις ἐπόμνυον: ἐπὶ κάπρε τομίων.

Εἶτα καὶ εἷς προσήγετο ἑκατέρωθεν, ᾧ συναναμιχθέντι ἀπὸ φιάλης ἀπέσπενδον, ἐξ ἧς καὶ αἱ σπονδαὶ προσείρηνται, καὶ οἱ παραβαίνοντες αὐτὰς ὑπερφίαλοι. Κατὰ δὴ τόνδε τὸν τύπον, παρὰ Οὐϊργιλ: (Αἰνειάδ. ἐν Η' ς. 640. κξ.)

. . . . . Jovis ante aram pateramque tenentes
Stabant, et caesa jungebant foedera.

„ (Πρὸς βωμῷ Ζηνὸς σήτην κρητῆρας ἔχοντε
„ Ὑΐ τ' ἐπὶ κταμένῃ τεμέτην σφίσιν ὅρκια πιστά.)

Οὕτω δὲ πως ὑπεσήμαινον ἐκχυθήσεσθαι τῶν ἀθετησόντων τὸ αἷμα, σφίσι τε καὶ τοῖς σφῶν ἀπογόνοις κατεπαρώμενοι, ὡς παρ' Ὁμήρῳ ἀναγινώσκεται: (Ἰλ: Γ. ς. 300.)

„ Ὧδε σφ' ἐγκέφαλος χαμάδις ῥέοι, ὡς ὅδε οἶνος.

Καὶ δεξιὰς δ' ἐμβάλλειν ἀλλήλοις εἰώθεσαν ἐν ταῖς συνθήκαις: (Ἰλ: Β'. ς. 339.)

„ Πῇ δὴ συνθεσίαι τε καὶ ὅρκια βήσεται ἡμῖν;
. . . . . .
„ Σπονδαί τ' ἄρηιοι, καὶ δεξιαὶ ἧς ἐπέπιθμεν;

Οὕτω δὲ καὶ Οὐιργίλ: (Αἰνειάδ: ΙΑ'. ς. 292.)

. . . . . Coëant in foedera dextrae.
„ . . . . . (Ξύν τε ῥὰ ὅρκοις δεξιόεσθον.)

Πίστεως γὰρ σύμβολον ἡ δεξιά, καὶ οἷον ἀῤῥαβὼν τοῖς παλαιοῖς ἐνομίζετο· ὡς ἐκ τῆς ἀμοιβαίας Γλαύκῳ τε καὶ Διομήδει προσεγγυήσεως ἐπιδήλως παρίσταται: (Ἰλ: Ζ'. ς. 235.)

„ Χεῖράς τ' ἀλλήλων λαβέτην, καὶ πίστωσαντο.

Διὸ Ἀχιλεὺς (Ἰλ: Ω'. ς. 672.) Πριάμῳ τὸ ἀσφαλὲς ἐπιβεβαιώσων:

„ Ἕλλαβε δεξιτερὴν, μήπως δείσῃ ἐνὶ θυμῷ.

Ὡσάυτως καὶ Ἀριστοφάνης ἔχει: (ἐν Νεφέλ: ς. 81.)

„ Κῦσόν με, καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν.

„Ἐνθ' ὁ Σχολιογραφήσας: ἔθος ἦν (φησὶν) ἐπὶ πίστει, καὶ σύν-
„θήκαις βεβαίαις, τὰς δεξιὰς διδόναι ἀλλήλων. Παρὰ δὲ
Πέρσαις τὸ ἔθος μάλιστα πάνδημον ἦν· ἡ γὰρ δεξιὰ αὐτοῖς πίστεως ἐνεχυρον ἦν ἁγιώτατον, ὡς γράφει Διόδωρος.

Ἀλλὰ καὶ οἱ Θεοὶ ἐπὶ τῶν τοιῶνδε τελετῶν ἐπόπται καὶ μάρτυρες ἀπεκαλέντο παρεῖναι, καὶ τῶν ἀσυνθετέντων τιμωροὶ ὃν δήπε τρόπον καὶ Ἀγαμέμνων ἐπεβοᾶτο, Ζῆνα τε τὸν κύδιστον καὶ μέγιστον, καὶ Ἥλιον τὸν πάντ' ἐφορῶντα, καὶ πάντ' ἐπακόοντα· καὶ ποταμὸς, καὶ γῆν, καὶ Πλέτωνα, καὶ Περσεφόνην, καὶ εἴτι λοιπὸν γένος δαιμόνων τῶν ὑπένερθεν τὸς ἐπιορκοῦντας ἐπιτινυόντων. Παραπλησία δὲ τάυτη καὶ ἡ Αἰνείᾳ παρὰ τῷ Μάρωνι: (Αἰνειάδ: Βιβλ: ΙΒ'.) ἱκετήριος ἐπιμαρτυρία. Τᾶτο δ' ἐπὶ πασῶν συνθεσιῶν χῶραν εἶχε, τὸ μὴ ἄλλ' ἢ ἐπὶ Θεοῖς αὐτὰς διαπραγματέυεθαι μάρτυσιν: (Ἰλ: Χ'. ς. 254.)

„ Ἀλλ' ἄγε δεῦρο Θεὸς ἐπιδώμεθα, τοὶ γὰρ ἄριστοι
„ Μάρτυροι ἔσσονται, καὶ ἐπίσκοποι ἁρμονιάων.

Παραπλησίως δὲ καὶ (Ὀδυσ: Ξ'. ς. 395.)

„ Ἀλλ' ἄγε νῦν ἑήτρην ποιησόμεθ', αὐταὶ ὕπερθε
„ Μάρτυροι ἀμφοτέροισι Θεοὶ, τοὶ Ὄλυμπον ἔχουσιν·

ὡς Εὐμαίῳ Ὀδυσσεὺς ἔφασκεν.

Ἀλλὰ τῶν Θεῶν ἁπάντων ἐξόχως τὸν Δία ἐπὶ τῇ κυρώσει τῶν συνθεσιῶν ἐτύγχανον ἐπικαλέμενοι· ὥπερ Ἀγαμέμνων διὰ τᾶτο καὶ τὰ πρῶτα δεδώκει, (Ἰλ: Γ'. ς. 276.) καὶ ἕπερ ἕνεκα, καὶ Ζεὺς προσάρηται ὅρκιος, καὶ τῷ κεραυνῷ καθώπλισαι ἐπ' ὀλέθρῳ τῶν ἐπιορκούντων ἐν δολιότητι: ὃ δὴ ἀνενδοιάστως ἐπίστευον ἕψεθαι, κἂν τὸ πρᾶγμα ἐς μα-

κρὸν ἀναβάλλοιτο. Οὕτω καὶ γὰρ (ὡς μετὰ τὴν ἀθέτησιν τῶν ὅρκων, ἀπίσως Μενέλαον κατέτρωσε Πάνδαρος:) ἀπεφθέγξατο Ἀγαμέμνων: ὡς ἦκυρα ἔσαι (εἰπὼν) τὰ ὅρκια, ἐδὲ τῶν ἀρνῶν τὸ αἷμα, ἐδ' αἱ σπονδαὶ αἱ ἄκρατοι, καὶ αἱ ἀντιπροταθεῖσαι δεξιαὶ, αἷς ἐπιτεθαρρηκότες ἐγένοντο· εἰ γὰρ καὶ Ζεὺς μὴ παραὶ χρῆμα κολάζοι Τρῶας, ἀλλ' ὄψὲ μέντοιγε, σὺν γυναιξὶν αὐτοὶ καὶ τέκνοις αὐτῶν, δίκας τίσουσιν. (Ἰλ: Δ'. ϛ. 155. κξ.) Καὶ ἔτω δήπε ἡ ψευδορκία ἐπὶ τοῖς αὐτῶν ἐκδεδικηται ὀψιγόνοις: καθάπερ ἡ Πύθια Γλάυκῳ τῷ Ἐπικυδίδῃ „ ἀπεκρίνατο, παρ' Ἡροδότῳ (ἐν Ἐρατοῖ) Ἀλλ' ὅρκιε πάϊς „ ἐστὶν ἀνώνυμος· ἐδέ τε χεῖρες, ἐδέ τε πόδες „ (αὐτῷ·) κραιπνὸς δὲ μετέρχεται, εἰσόκε πᾶσαν „ ξυμμάρψας ὀλέσῃ γενεὴν, καὶ οἶκον ἅπαντα. Ἐπισεσημείωται δὲ καὶ τοῖς Συγγραφεῦσιν Ἑλλήνων, ὅτι Φίλιππος ὁ Μακεδόνων Βασιλεὺς ἀπισότατός τε καὶ ἐπιορκότατος βασιλέων γενέμενος, δίκας ἔτισε τὰς ὑπὸ τῦ δαιμονίε οἱ ἐπιτεθείσας, αἳ καὶ εἰς ἅπαν αὐτῦ τὸ γένος μετοχετεύθησαν. Διόπερ Ἑλλήνων οἱ πάλαι, τῷ Θεῷ μόνῳ τιμωρῷ εἶναι τῆς ἐπιορκίας παρέλιπον, ὡς Δημοσθένης εἰς Ἀριστοκράτην λέγων ἐδίδαξεν. Ὅθεν καὶ Κικέρων (ἐν τοῖς περὶ τῶν Νόμ:) ἔφη· ὅτι ἐπιορκίας ποινὴ, θεία μὲν ὄλεθρος· ἀνθρωπίνη δὲ ὄνειδος.

Ἐν γὲν ταῖς συνθήκαις, τετὶ πρῶτον διωρίζετο, ἡ ἐπιστροφὴ τῶν ἀφαιρεθέντων· διὸ Ἀγαμέμνων ἀπαιτεῖ τοῖς Ἀχαιοῖς πρὸς Τρώων ἀποδοθῆναι Ἑλένην, καὶ πάνθ' ὅσα σὺν αὐτῇ ἀφήρπασε Πάρις. Προσεπετίθει δὲ ἰδιαίτερον καὶ πρόσιμον τόδε, τοῖς Ἕλλησι Πρίαμον ἀντισηκῶσαι, τάς τε δαπάνας ἀποδόντα, καὶ τὲς μόχθες ἀντιτάλαντεύσαντα, ἕσπερ ἐπὶ τῇ ἐκστρατείᾳ ὑπέσησαν· (Ἰλ: Γ'. ϛ. 286.)


Ἀλλα γὰρ ἐκεῖνο ἴδιον ἐπὶ τῆς τοιᾶσδε συνθήκης πρὸτέθη· ὅτι διὰ μάχης προσωπικῆς, τῆς μέσον Ἀλεξάνδρε καὶ Μενελάε, τὸ πᾶν ἔργον ἔτως ἐχρῆν διαπερανθῆναι, ὥσε θατέρε ἀποκταν θέντος, θάτερον, τῶν περὶ ὧν ἡ δῆρις πραγμάτων τῆς ἀπολύσεως, εἶναι κύριον. Πανάρχαιον δὴ πεθεν ὑπῆρχε τὸ ἔθος, τὸ διὰ μονομαχίας τὸ ὅλον τὸ πολέμε διαλύεθαι νεῖκος, καὶ τότε παλαιὸν ὑπόδειγμα φέρεται παρὰ Ἡροδότῳ (ἐν τῇ Καλλιόπῃ·) ἔνθα Ὕλας ὁ τὸ Ἡρακλέος, καὶ Ἔχεμος ὁ Τεγεατῶν Ἄναξ· ὁ μὲν ὡς ἐκ τὸ στρατὸ τῶν Ἡρακλειδῶν, ὁ δὲ ὡς ἐκ τὸ τῶν Πελοποννησίων, ἐπὶ τοιᾷδε συνθήκη ἀλλήλοις συνέβαλον· ἵνα, ἐὰν μὲν ἐκεῖνος γένηται κρείσσων, τὸ τῶν Ἡρακλειδῶν γένος ἐπὶ τὴν πατρώαν αὐτοῖς δεσποτείαν τῆς Πελοποννήσε ἐπανέλθωσιν· ἢν δὲ μὴ, ἔς γ' ἐπὶ ἑκατοσύος ἐνιαυτῶν ἀπέχοντες ὦσι. (Διόδωρ· Σικελ· Βιβλ· Δ'. Κεφ·· 183.) Ἄλλοτε δ' ἔν καὶ ἐκ συμβολῆς πλειόνων ἡ σωτηρία ταῖς στρατειαῖς ἐμνησεύετο· ὡς ὅτε Ἀργεῖοι τε καὶ Λακεδαιμόνιοι περὶ θυρέας ἐρίζοντες, τριακοσίες ἐξ ἑκατέρε στρατὸ ἐπὶ τὴν δῆριν ἐξελέξαντο ἀντιπαρατάξαντες, ὡς ἂν ἡ ἀμφισβητεμένη χώρα τοῖς νικήσασι περιγένοιτο. Οὕτω δὴ καὶ οἱ Τεγεάται, καὶ Φενεάται διὰ τριῶν αὐτοκασιγνήτων, τῶν ἑκατέρωθεν ἀντιπαραταχθέντων, διητήσαντο τὰ τῆς μάχης, ὥσπερ Δημάρατος καθιστόρησεν ἐν τοῖς Ἀρκαδικοῖς· καὶ ταύτῃ δὲ τῇ μάχῃ καὶ Πλάταρχος παρατίθησιν (ἐν τοῖς παραλλήλοις) τὴν τῶν Ὡρατίων τε καὶ Κουριατίων, αὐτοκασιγνήτων ἀμφοτέρωθεν ὄντων, καὶ ἰσαρίθμων, ἀνταγώνισιν.

Ἀλλὰ γὰρ ἐχ ἕτω συνεχῶς ἡ τοιάδε τὸ πολέμε συνθήκη συνετελεῖτο· ὡς γὰρ ἐπὶ τὸ πλεῖσον τὰ σίφη συνέτρεχεν ἀθρόα, καὶ τὴν ἀνδροκτασίαν ἐς πέρας ἦγε. Καὶ ἐδ' οἱ δόλοι δ' ἐν αὐτοῖς καὶ αἱ πα-

νεργοὶ τέχναι ἀπῆσαν, ὧν γενετῆρα πολύγονον Ὅμηρος Ὀδυσσέα ἀνακηρύττει· ὅτινος τῇ ὑποβολῇ Ἐπειὸς τὸν Δάρειον ἐτεκτήνατο ἵππον· ἐν ᾧ καὶ Ὀδυσσεὺς αὐτὸς ἔνδερος ἐγκαθειρχθεὶς μετὰ τῶν ἄλλων, τῶν ἐν Ἕλλησιν ἀρίστων, τὸ Τρώϊας ἄστυ κατέσχον, καὶ φλογὶ καὶ σιδήρῳ ἀρδην ἀπήλειψαν. Οὕτω δὴ πέρας ἔσχε τὰ τῆ Τρωϊκῆ πολέμῳ, καὶ ἡ εἰρήνη συνέστη, διὰ τῆς τῶν πολεμίων πανολεθρίας, ἣν ὁ Ἑλλήνων κρατὸς ἐξεργάσατο.

ΤΕΛΟΣ.





Ἐκ τῶν Ἀγγέλου Μαρίας Κυρίνου τοῦ Βενετοῦ: τοῦ ποτὲ μὲν ἐπὶ τῶν ἐν Κερκύρᾳ ἐμπολιτευομένων Λατίνων Ἀρχιεπισκοπήσαντος, ἔπειτα δὲ εἰς ἀξίωμα Καρδινάλεως ὑπὸ τοῦ Ῥώμης ἀρθέντος: Σύγγραμμα ἀπὸ τῆς Λατινίδος φωνῆς ἐξελληνισθέν.

Περὶ τῶν Κερκυραϊκῶν Ἀρχαιολογιῶν.

ΚΕΦΑΛ. Α΄.

Κατά γε τὰ Διδύμῳ ἀποδιδόμενα Σχόλια εἰς τὴν Ὁμήρου Ποίησιν (Ὀδυσ: Ε΄. ς. 34.) Σχερία ἐκαλεῖτο ἡ νῆσος ἡ τῶν Φαιάκων τὸ πρότερον, ἡ μετὰ τοῦτο Κέρκυρα, τὸ δ' ἀρχαιότατον ὀνομαζομένη Δρεπάνη. (Εὐσάθ: ἐν ταῖς Παρεκβ: καὶ Στέφ: ὁ Βυζάντ:, ἢ ὁ τότε ἐπιτομεὺς Ἑρμόλαος ἐν τοῖς περὶ πόλεων: ἐν φωνῇ Φαιάξ.) Καὶ Ἀπολλώνιος δὲ ὁ Ῥόδιος, ἐν Βιβλ: Δ΄. τῶν Ἀργοναυτ: ἔτως ᾄδων:

„Ἔστι δέ τις πορθμοῖο παροιτέρη Ἰονίοιο,
„Ἀμφιλαφὴς, πίειρα, Κεραυνίη ἐν ἁλὶ Νῆσος,
„Ἣ ὕπο δὴ κεῖθαι δρέπανον Φάτις: (Ἴλατε Μοῦσαι!).
„Οὐκ ἐθέλων ἐνέπω προτέρων ἔπος· ὣς ἀπὸ πατρὸς
„Μήδεα νηλειῶς ἔταμε Κρόνος. (Οἱ δέ ἑ Δηοῦς
„Κλείουσι χθονίης καλαμητόμον ἔμμεναι ἅρπην.
„Δηὼ γὰρ κείνῃ ἐνὶ δήποτε νάσσατο γαίῃ
„Τιτῆνας δ' ἔδαε σάχυν ὄμπνιον ἀμήσασθαι·
„Μάκριδα Φιλαμένη.) Δρεπάνη τόθεν ἐκλήϊσαι·
„Οὔνομα Φαιήκων ἱερὴ τροφός. . . . . .

Τῶν τοίνυν διττῶν τῆς ἅρπης ἐκείνης χρήσεων, τὴν μὲν, εἰς Ἄμητὸν Ἀριστοτέλης ὑπέθεσο, (ἐν Βιβλ: τὰ περὶ τῆς Κερκυραίων Πολιτεί:) τὴν δὲ, εἰς τὴν ἐκτομὴν τῶν αἰδοίων, (Τιμαῖος παρὰ τῷ Ἀπολλωνίῳ Σχολιαστῇ.) Φάσκων: τὄνομα τῇ Νήσῳ ἐπιτεθῆναι ἀπὸ τῆ Δρεπάνῃ, ᾧπερ ἀπεξέτεμε τὰ τῆ Οὐρανῆ αἰδοῖα ὁ Κρόνος, ἢ ὁ Ζεὺς τὰ τῆ Κρόνῳ. Ἐξ ἧ καὶ ἐπισυγῇ τὴν Κέρκυραν Λυκόφρων ὁ Χαλκιδεὺς προσεῖπεν, ἐν οἷς τὴν Ὀδυσσέως ἐπὶ τῆς Νήσε ἀφηγεῖται προσόρμισιν.

„. . . . . Νῆσον δ' ἐς Κρόνῳ συγῳμένην,
„Ἅρπην περάσας μεζέων κρεανόμον,
„Ἄχλαινος ἴπτης πημάτων λυγρῶν κόπις (ἴσ: κόπιν)

Καὶ ὁ τῆ Λυκόφρονος ἐξηγητὴς Κένης: (εἴ τε Γωάννης ἔτος ἐξιν, „εἴτ' ἦν ὁ Ὁμαίμων Ἰσαάκιος;) προσέθετο: Καὶ ἅτω μὲν ἡ

„Κέρκυρα Δρέπανον λέγεται. Τὴν γε μὴν Ἅρπην ἄλλοθι
„ὁ αὐτὸς Λυκόφρων ἀναφέρων: Ἅρπης Κρόνου πήδημα εἶπεν.

Ἐντεῦθεν ὁ Σχολιαστὴς ἡγεῖται Δρέπανον ὠνομάσθαι καὶ τὸ ἐπὶ τῆς Σικελίας Φρούριον. Ἄλλοι δὲ, καὶ τὸ ἐπὶ τῆς Ἀχαΐας ἀκρωτήριον,
„κατὰ Παυσανίαν, τὸν (ἐν τοῖς Ἀχαϊκοῖς) ἱστορῦντα: Λέγεται
„λόγος, ὡς Κρόνος τῆς θαλάσσης ἐνταῦθα ἔρριψε
„τὸ δρέπανον, ᾧ τὸν πατέρα Οὐρανὸν ἐλυμήνατο.
„Ἐπὶ τούτῳ δὲ καὶ τὴν ἄκραν, Δρέπανον ἐνομάζεσι.

Συμπεριῆλθε τοιγαροῦν τοῖς ῥηθεῖσιν αἰδοίοις μετὰ τῆς Ἅρπης καὶ τὄνομα πολλαχόσε συμπεριφερόμενον: καθὰ καὶ Ἡσίοδος (ἐν τῇ Θεογονίᾳ) περὶ τοῦ Κρόνου ᾄδων φησί.

„ . . . . . Πελώριον ἔλλαβεν Ἅρπην,
„Μαιρὴν καρχαρόδοντα, φίλου δ' ἀπὸ μήδεα πατρὸς
„Ἐσσυμένως ἥμησε, πάλιν δ' ἔρριψε φέρεσθαι
„Ἐξοπίσω· τὸ μὲν ὅτι ἐτώσια ἔμφυγε χειρὸς·
„Ὅσσαι γὰρ ῥαθάμιγγες ἀπέσσυθεν αἱματόεσσαι,
„Πάσας δέξατο γαῖα. Περιπλομένων δ' ἐνιαυτῶν
„Γείνατ' Ἐριννῦς τε κρατερὰς, μεγάλους τε Γίγαντας.

Καὶ μετ' ὀλίγα:

„Μήδεα θ' ὡς τὸ πρῶτον ἀποτμήξας ἀδάμαντον
„Κάββαλ' ἐπ' Ἠπείροιο πολυκλύστῳ ἐνὶ πόντῳ·
„Ὥς φέρετ' ἀμπέλαγος πολὺν χρόνον. . . .

Ἀλλ' ἦπε τὸ μᾶλλον εἰκὸς ἐσὶν ἀπὸ τῦ χήματος τὔνομα τῇ Κερκύρᾳ προσαρμοσθῆναι, ὡς αὐτὸς ἐπιφέρει ὁ τῦ Ἀπολλωνίε Σχο-„λιογράφος· Δρεπάνη δ' ἐκαλεῖτο, διὰ τὸ τὴν Δήμητρα „δρέπανον παρὰ Ἡφαίσε αἰτησαμένην, τὲς Τιτᾶ-„νας διδάξαι θερίζειν· εἶτα αὐτὸ κρύψαι εἰς τὸ πα-„ραθαλάσσιον μέρος τῆς Νήσε· προσκλυζόσης δὲ „τῆς θαλάσσης ἐξομοιωθῆναι τὴν θέσιν τῆς γῆς „δρεπάνῃ. Παραπλήσιόν τι δὲ καὶ περὶ τῦ Σικελικῦ Δρεπάνε Σερ-βios παρέδωκεν ὁ τῦ Ὑιργιλίε Σχολιαςὴς, (ἐν τᾷ Γ'. Βιβλίῳ τῆς Αἰνειάδος.) ᾧ καὶ Κλεβέριος συμφέρει, (ἐν τῷ Β'. τῶν περὶ τῆς πάλαι Σικε-λίας Κεφαλ: Α') καὶ ἄλλοι: οἵσπερ ἀλλ' ἓν ἐδόλως συντίθεται Βό-χαρτος (ἐν τῷ Α'. Βιβλ: Κεφ: 27. τῦ Β'. μέρες τῆς ἱερ: Γεωγρ:) ἀντιφέρων ὅτι, ἐν τῷ Δρεπανιτανῷ τότῳ λιμένι, ἐκ χήματι ἅρπης ἡ γῆ διακαμπυλῆται, ἀλλ' εἰς ὀξὺ προεκκύπτει λήγεσα. Ἀλλ' ὅτι ἡ Κέρ-κυρα Δρεπανοειδής πος ἐσὶ τὸ χῆμα, δῆλον τοῖς ἐποπτεύσασι.

Παραπλησίως δὲ καὶ Μάκρις εἴρηται ἡ Κέρκυρα παρὰ τᾷ Ἀπολ-λωνίῳ ἐν τῷ Δ'. Βιβλ:

„ Μάκριν τ' εἰσαφίκανε Διωνύσσοιο τιθήνην.

Ἦν ἄμεινον ἴσως ἀπὸ τῦ μακροτενῦς τῦ χήματος ἔτως ἀποκεκλῆθαι λέγειν, ὡς καὶ ὁ τὰ Διονυσία τῦ περιηγητῦ ἑρμηνεύσας Εὐςάθιος ὁ „Θεσσαλονίκης τὴν Εὔβοιαν φησὶν εἰρῆθαι, διὰ τὸ τῆς θέσε-„ως ἐπίμηκες. Τὴν αὐτὴν γὰρ τῇ τῦ Βάκχε τιθήνῃ Κερκύρᾳ πα-ραπλησίως ἐπιτεθεῖθαι κλῆσιν, ἥν περ καὶ τῇ Εὐβοίᾳ, ὡς ἐκ τῦ Ἀπολλωνίε μανθάνομεν (ἐν Βιβλ: Δ'.)

„ Κέκνη δὴ πάμπρωτα Διὸς Νυσσήϊον υἷα,
„ Εὐβοίης ἐντοσθεν Ἀβαντίδος ᾧ ἐνὶ κόλπῳ
„ Δέξατο . . . . . .

Καὶ ἄλλως δὲ **Σχέρεια** ἡ Κερκύρα ἐπωνομάθη. Ὡς γὰρ διέξεισιν αὐτὸς Σχολιαστὴς Ἀπολλωνίε, Ἀριστοτέλης ἐστὶν ὁ τὴν αἰτίαν τῆς „τοιαύτης ἐπωνυμίας τῇ Κερκυραϊκῇ ἀποδὲς Νήσῳ: φησὶ γὰρ τὴν „Δήμητρα φοβεμένην, μὴ οἱ ἐκ τῆς Ἠπείρε ἐρχόμενοι πο„ταμοὶ, ἤπειρον αὐτὴν ποιήσωσι, δεηθῆναι Ποσειδῶνος ἐπι„στρέψαι τὰ τῶν ποταμῶν ῥεύματα. Ἐπιχεθέντων ἓν τέ„των, ἀντὶ Δρεπάνης Σχερίαν ὀνομαθῆναι. (Ὅρα καὶ τὸν Σχολιαστ: ἐν τῇ τῶν Ἐπιγραμ: ἀνθολογ: Βιβλ: Α΄. Κεφ: 51. ἐπιγραμ. ά. καὶ Στέφαν: τὸν Βυζάντ: ἐν τῇ φωνῇ **Σχερία.** Καὶ Εὐσάθ: κατ' ἀρχὰς τῦ Ε΄. τῆς Ὀδυσ:) Ἡ δὲ παραγωγὴ ἀπὸ τῦ ἴσχειν, καὶ σχεῖν κληθῆναι τὴν Σχερίαν ἐμφαίνει. Ἐκ γᾶν παραπλησίας ὑδάτων ἐπιῤῥοίας καὶ τὴν Λευκάδα ποτὲ ἀπονησοχερσωθῆναι τὴν πάλαι Νήρυτον, ἱστορεῖ Πλίνιος· (Φυσικ: ἱστορ: Βιβλ: Δ΄. Κεφ: Α΄.)

Ἀλλὰ Σαμεὴλ Βόχαρτος (ἐν τῇ ἱερ: Γεωγρ: Βιβλ: Α΄. Κεφ: ΚΓ΄.) ἐκ τοῖς φωνῆς **Σχάρα**, τῆς παρὰ Φοίνιξι τὸ Ἐμπόριον σημαινέσης, **Σχερίαν** ἐτυμολογεῖν ἐθέλει τὴν Κέρκυραν, ὡς ἔκπαλαι τὴν Νῆσον ἴσαν τῇ Ναυτικῇ ἔκδοτον.

ΚΕΦΑΛ. Β΄.

Διόδωρος (ἐν τῷ Δ΄. τῆς Βιβλιοθ:) τῶν Ἀσωπῦ καὶ Μεθώνης θυ„γατέρων ἴσαν, τὴν Κέρκυραν (φησὶν) ὑπὸ δὲ Ποσειδῶνος „ἁρπαχθῆναι ἐπὶ τὴν Νῆσον τὴν ἀπ' ἐκείνης κληθεῖσαν **Κέρκυραν.** Καὶ Στέφανος περὶ πολ: ἐν λέξ: **Φαίαξ:** ὅτι Φαίαξ „ Ποσειδῶνος, καὶ Κερκύρας τῆς Ἀσώπιδος, ἀφ' ἧς ἡ Νῆ-

„σος Κέρκυρα ἐκλήθη (ὡς ἀπ' ἐκείνε Φαιακία,) ἡ τὸ πρὶν „Δρεπάνη καὶ Σχερία κληθεῖσα. Παρίσησι δὲ μάρτυρα τῦ λεγομένε Ἑλλάνικον ἐκ τῦ Α'. τῶν Ἱερείων. Ταυτὰ καὶ Εὐσάθιος ἔχει ἐν τῷ Ε'. τῆς Ὀδυσ: Ὅρα καὶ Παυσανίαν ἐν τοῖς **Κορινθιακοῖς**, κἀν τῷ προτέρῳ τῶν **Ἠλειακῶν.**

Ὁ μέν τοι Βόχαρτος ἀπὸ τῆς Ἀράβων φωνῆς, **Κάρναρα** τὴν Κερκύραν κληθῆναι οἴεται: ὃ σημαίνει: **τὸ εἰρηνικῶς καὶ ἐν ἀσφαλείᾳ διάγειν·** καθάπερ Ὁμήρε μαρτυρῦντος (Ὀδυσ: Η'.) διαζῶντες ἦσαν τὸ πάλαι οἱ Φαίακες. Ἀλλὰ τὸ Κερκύρας ὄνομα ἐδαμῦ παρ' Ὁμήρῳ ἀναγινώσκεται. Διὸ καὶ Ἰωάννης ὁ Ἀρδεῖνος εἰκότως ἐλέγχεται, ὁ ἐν τῇ κατ' αὐτὸν ἀρχαίᾳ Γεωγραφίᾳ τῷ Ὁμήρῳ τῦτο προσαναπλάττων· ὃν δήπε ἔλεγχον καὶ ὁ Γραμματικὸς Καλλίμαχος ὑπὸ Ἐρατοσθένες καὶ Ἀπολλοδώρε ὑπέσχ, (ὡς ἐσὶ μαθεῖν παρὰ Στράβωνι βιβλ: Α'. καὶ Ζ'.) τὴν Ὁμηρικὴν **Σχερίαν** προσαγορέυσας **Κέρκυραν.**

Ἰεζεκιὴλ ὁ Σπαγχέμιος διατείνεται, ὅτι **Κερκυρά** τε καὶ **Κερκυραῖοι**, ἐδέποτε παρὰ τοῖς παλαιοῖς **Κόρκυρα** τε καὶ **Κορκυραῖοι**, διὰ τῦ (Ο) ἦν προφερόμενον. ἀλλ' ὁ παρεκβολεὺς Εὐσάθιος, „ἐν τοῖς Διονυσίε τῦ (περιηγητῦ ς. 994.) παρασημειοῖ: ὅτι πολλὰ „Σχόλια, καὶ πολλὰ Ἰσοριῶν ἀντίγραφα ἐμφαίνεσιν ἀμ„φιβόλως ἔχειν παρὰ τοῖς παλαιοῖς τὴν τῆς Νήσε „ταύτης γραφήν: λέγεθαι γὰρ καὶ διὰ τῦ (Ο) **Κόρκυραν.** Ἀλλὰ τῇ διὰ τῦ (Ε) γραφῇ ὁ Σχολιασὴς διὰ παντὸς χρῆται· καί γε ἰδίως παρατηρεῖ, ὅτι ἡ **Μιρά** τε καὶ **Μέλαινα**, ἡ καθ' ἡμᾶς (Curzola) τὸ Νησίδιον, **Κορκύρα** μάλισα διὰ τῦ (Ο) ὀνομάζεται.

Ἀλλὰ μὴν καὶ Κόρκυρα καὶ Κέρκυρα προσείρηται ἡ Κερκύρα, εἴτε κατὰ βραχείαν παραλαγὴν τοῦ (υ) εἰς τὸν (ε) διφθογγον· εἴτ' ἔν καὶ διὰ τὸ τῆς Νηὸς εἶδος, ἣν Κέρκυρον ναυπηγοῦντες οἱ Κερκυραῖοι ἐτύγχανον· εἴρηνται γὰρ καὶ Κέρκυρες οἱ Κερκυρεῖοι, ὡς ὁ τὰ Διονυσίᾳ χολιάζων αὐτὸς ἐπισεσημείωκεν. Ἀλλ' ἐνταῦθα ἐπανορθωτέον μετὰ Βοχάρτε, καὶ τὴν ἐν τῷ Λεξικῷ Ἡσυχίᾳ διεσφαλμένην ἀνάγνωσιν· Σχερίη καὶ ἡ Κυρά· ἀναγνωστέον δὲ· Σχερίη Κέρκυρα.

Κορκυραῖα δὲ καὶ τὰ ἐν Ἀρμενίᾳ Γορδιαῖα ἤκουσεν ὄρη ὑπὸ Ἀλεξάνδρε τοῦ Πολυΐστορος (παρ' Εὐσεβίῳ ἐν τοῖς χρονικ:) λέγοντος, ὅτι τῷ πλοίῳ τότε (ἤτοι τῆς τοῦ Νῶε Κιβωτοῦ) κατακλιθέντος ἐν Ἀρμενίᾳ, μέρος τι ἔτι εἶναι λέγεται ἐν τοῖς Κορκυραίοις ὄρεσι τῆς Ἀρμενίας διαμένον. Ἀλλὰ Βόχαρτος (ἐν τῇ ἱερ: Γεωργ: Βιβλ: Α'. Κεφ: Β'.) τὴν Γορδιανὴν κληθῆναι ἐτεκμήρατο, διὰ τὴν τοῦ Χὰμ πρὸς τὸν γεννήτορα Νῶε ἀπόνοιαν.

Ἐκ τοῦ Κορκύρας ὀνόματος, τὸ Κορφοὶ κοινότερον προῆλθεν, ὃ πρότερον Κορυφὼ ἦν, διὰ τὴν ἐπὶ τῆς Νήσου ἄκραν, ἥτις ὑπὸ Νικήτα τοῦ Χωνειάτου (ἐν τοῖς Χρονικ: Βιβλ: Β'.) Κορυφὼ προσείρηται, ὡς αἰγίλιψ πᾶσα καὶ ἀγχινεφὴς ἔσα, ἐλικοειδής τε τὴν θέσιν καὶ ὑψικόρυμβος προσνενευκυῖα εἰς τὸ βάθιζον τῆς θαλάσσης· πέτραι δὲ περιερρώγεσαν αὐτὴν ἀμφίκρημνοι καὶ ἀπότομοι. Ἀλλ' Εὐδαίρδῳ Vels, τῷ τὴν Διονυσίου περιήγησιν κατὰ τὴν νῦν Γεωγραφίαν παραπεποιηκότι, τὴν Κορφοὶ, ἢ Κορυφὼ, εἰς τὴν Κόρφυν ἔδοξε μεταφράσαι·

„Κείνην νῦν ναῦται Κόρφυν διεφημίξαντο.

Ρ'αφαηλ δὲ ὁ Βολτερρανὸς (Γεωγρ: Βιβλ: Θ'.) καὶ αὐτὸ Κορφίνιον ἀπεκάλεσαν. Α'λλ' ἰδεὶς τόδε τὸ Κορφίνιον τὴν τῶν Πελιγνώτων εἶναι φήσει Μητρόπολιν.

Η' μιπρά τε καὶ μέλαινα ἐηθεῖσα Κορκύρα, ἐκ τῆς Ποσειδῶνος καὶ Α'σώπιδος Κερκύρας, καὶ αὐτὴ καθιερῶσθαι ὑπὸ Α'πολλωνίδ (ἐν τοῖς Α'ργοναυτ: Βιβλ: Δ'.) τὸ καὶ διότι μέλαινα προσείρηται διερμηνεύσαντος:

„ . . . . . Κέρκυραν ἵκοντο
„ Ἔνθα Ποσειδάων Α'σώπιδα νάσσατο κούρην
„ Η'ὔκομον Κέρκυραν, ἑκὰς Φλιασντίδος αἴης,
„ Α'πάξας ὑφ' ἔρωτι· μελαινομένην δέ μιν ἄνδρες
„ Ναυτίλοι ἐκ πόντοιο κελαινῇ πάντοθεν ὕλῃ
„ Δερκόμενοι, Κέρκυραν ἐπικλέιουσι μέλαιναν.

Ε'οικε δ' ἓν τὴν ἐλάσσονα ὑπὸ τῆς μείζονος ἐπισυξῆναι· ἀλλ' ὅθεν ἄρα Βόχαρτος (ἐν Μέρ: Β'. τῆς ἱερ: Γεωγραφ: Βιβλ: Α'. Κεφ: ΚΓ'.) μαρτυρῶντα ἐπεισάγει Στράβωνα (ἐκ τῶ Ζ'. Βιβλ:) ἔνθα μηδενὸς λόγυ περὶ Κερκυραίων ὑπόντος; ἐνταῦθα γὰρ τῶ Κνιδίαν κτίσματος μνεία γίγνεται· περὶ ὃ Στράβωνι, καὶ Σκύμνος ὁ Χῖος ἐν τῇ περιηγήσει συνάδει:

„ . . . . . Η"τε λεγομένη
„ Μέλαινα Κέρκυρ', ἣν Κνίδιοι κατῴκισαν.

ΚΕΦΑΛ. Γ.

Οἱ ἀπὸ Κερκύρας τῆς Ἀσωπίδος **Κερκυραῖοι**, ἀπὸ τοῦ υἱοῦ αὐτῆς Φαίακος, ὃν ἐκ Ποσειδῶνος ἔσχε, **Φαίακες** ἐπεκλήθησαν. (Ὁρα Στέφ: τὸν Βυζάντ: ἐν τῇ φωνῇ **Φαίαξ** καὶ Διόδ: τὸν Σικελ: ἐν τῷ Δ'. καὶ τὸν Σχολιαστ: Εὐσάθ: ἐν τῷ Ε'. τῆς Ὀδυσ:)

Ἀ δ' ἓν περὶ τοῦ **Φαίακος** ὁ Μαρμαρᾶς γράφει, ὅτι ἄριστα καὶ εὐνομώτατα τὴν Κέρκυραν διοικήσας ἐγένετο, ὑπ' ἐδενὸς ἄλλου περὶ τούτων συγγράψαντος μαρτυρούμενα ἴσμεν. Καὶ ἐδ' ὃ προσίθησιν, ἐστὶν ἀληθὲς, τὸ ἐπὶ τοῦ Φαίακος ἡγεμονεύοντος, τὸν Ἰάσονα μετὰ τῶν Ἀργοναυτῶν ἐπὶ τὴν Νῆσον κατάραι· οἱ γὰρ τὰ Ἀργοναυτικὰ γραφῇ παραδόντες ἐπὶ Ἀλκινόου τοῦ Φαιάκων Ἄνακτος τὴν κάταρσιν ἀναφέρουσιν· ἔπειτα, ἐδ' ὁ παρὰ Πλεταρχῳ (ἐν Βίῳ Θησέως) **Φαίαξ**, ἐδ' ὁ (ἐν τῷ Ἀλκιβιάδης) ἀντὶ τοῦ οἰκιστοῦ Φαιακίας εἰκότως ἂν ὑποτεθείη· καθάπερ ἓν ἐδ' ὁ ὑπὸ Ἀριστοφάνους (ἐν τῇ ἐπὶ τοῖς ἱππεῦσι Κωμῳδ:) μνημονευόμενος· ἐδ' ὁ ὑπὸ τοῦ Θεκυδίδ: (ἐν τῷ Ε'. τῆς Ἱστορ:) ἐδ' ὁ παρα τῷ Σικελῷ Διοδώρῳ (Βιβλ: ΙΑ.) τὰς ἀμάρας τοῖς Ἀγριγεντίνοις ἐξευρών, τὰς ἐξ αὐτοῦ ἐξονομασθείσας **Φαίακας**.

Ὁ δὲ Βόχαρτος (ἐν τῇ ἱερ: Γεωγραφ: Βιβλ: Α'. Κεφ: ΚΓ'. τοῦ Β'. Μέρους) ἐκ τῆς Ἀράβων φωνῆς **Φάϊξ**, τῆς περισσίαν πλέτε, καὶ ὑπεροχὴν ἀρετῆς τε καὶ ἀξιοπρεπείας δηλούσης, ἔτω τὸς Φαίακας προσαγορευθῆναι ὑπεσημείωσει.

Ὁ μήρῳ δὲ σύνηθες τὴν μὲν Νῆσον **Σχερίαν**, τὸς δ' ἐποίκες διηνεκῶς ἀποκαλεῖν **Φαίακας**. Καὶ **Φαιακίδος** ποιήματος Ὁμηρικοῦ μεμνηται Ὀβίδιος ἐπιστέλλων ἐκ Πόντου. Ἣν περ δὴ **Φαιακίδα** Γωάν: Ἀλβερτ: Ῥαβρίκ: (ἐν τῷ Β'. Βιβλ: τῆς Ἑλληνικ: Βιβλιοθ: Κεφ: Β'.) τῇ **Φωκαΐδι**

Νήσῳ συνέχεε περὶ ἧς Ἡρόδοτος ἐν τῷ ἑ καλῶς αὐτῷ ἀποδοθέντι Βιβλαρίῳ (Κεφ: Ις΄.) Ἀλλὰ τυχὸν Φαιακὶς ἐπιγέγραπτο, τὸ μέρος τῆς Ὁμήρε Ὀδυσ: ἐν ᾧ τὰ κατὰ τὸν Ὀδυσσέα παρὰ τοῖς Φαίαξι γεγονότα ἱστόρηται· κατὰ γὰρ Αἰλιανὸν (ἐν τῷ περὶ ποικιλ: ἱστορ: Βιβλ: ΙΓ΄. Κεφ: ΙΔ΄:) τὰ Ὁμήρε ποιήματα διαμεριθέντα τὸ πάλαι κατὰ ὑποθέσεις ἄδεσθαι εἰώθει· ὡς καὶ Εὐσάθιος ἐν τῷ Α΄. τῆς Ἰλιάδος παρέδωκεν. (Ὅρα καὶ Ἀλλάτιον ἐν τῷ περὶ τῆς Ὁμήρε πατρίδος Κεφ: Ε΄.)

Οἱ καλῶς ὁ Ἀνδρονίκε Παλαιολόγε τῇ γεραιτέρᾳ τὰ περὶ τῶν ἐπισκοπικῶν θρόνων λατινιστὶ ἑρμηνεύσας, τὸ ῥηθὲν: Κέρκυρα ἡ Φαιακία, εἰς τὸ Κέρκυρα ἡ νῦν Φαιακία: μετήνεγκεν· ἐλαθε γὰρ αὐτὸν, ὡς ἄρα καὶ συχνὲς ἄλλες τῶν Λατίνων, ὅτι τὸ Φαιακίας ὄνομα, τῇ Κερκύρας ἦν ἀρχαιότερον: περὶ ἧ καὶ Σεῖδας ἔφη: Κέρκυρα ἡ Νῆσος τὰ νῦν λεγομένη, Φαιακία πρότερον ἐκαλεῖτο, χώρα τῶν Φαιάκων.

Τῆς Κερκυραϊκῆς Φαιακίας, ἡ παρ Ἡροδότῳ Ὄασις ἡ Φαιακὶς ἐπονομαθεῖσα, ὡς πορρωτάτω ἐσὶν ἀπέχουσα· ἀλλ' εἴπερ ἄρα Ὅμηρος Αἰγύπτε γεγονὼς διετέλεσεν, εἴτε γέννημα, εἴτε παίδευμα, καθά τινες ὑπειλήφασιν, ἐκ ἂν ἔξω πάντη τῆ πιθανῆ εἴη, καὶ τὸ τὴν Αἰγυπτίαν Φαιακίδα ὑπόθεσιν ἐχκείναι τὸ Ὁμηρικὸν Ποιημάτιον, ἡ Φαιακὶς, ὅπερ ἡμῖν ὁ Συγγραφεὺς ὑποπτεύσας ἔδοξεν.

ΚΕΦΑΛ. Δ.

„ Ναυσίθοον μὲν πρῶτα Ποσειδάων ἐνοσίχθων
„ Γείνατο, καὶ Περίβοια, γυναικῶν εἶδος ἀρίστη,
„ Ὁπλοτάτη θυγάτηρ μεγαλήτορος Εὐρυμέδοντος,
„ Ὅς ποθ' ὑπερτίμοισι γιγάντεσσιν βασίλευεν.
„ Ἀλλ' ὁ μὲν ὤλεσε λαὸν ἀτάσθαλον, ὤλετο δ' αὐτὸς·
„ Τῇ δὲ Ποσειδάων ἐμίγη, καὶ ἐγείνατο παῖδα
„ Ναυσίθοον μεγάθυμον, ὃς ἐν Φαίηξιν ἄνασσεν·
(Οὐμ: Ὀδυσ: Η'.)

Καὶ δῆλον ἄρα ἐπίσης ἐξαμαρτάνειν, τὸς τε τὸν Ναυσίθοον τῶν ἰὸν τῷ Φαίακι ὑποβάλλοντας, καὶ τὸς Ὀδυσσεῖ αὐτὸν ἐκ τῆς Καλυψῶς παιδογονοῦντας· περὶ ἧς πρὸς τῷ τέλει τῆς Θεογονίας φησὶν Ἡσίοδος. Καὶ γάρ τοι καὶ ἐν ἀρχῇ τῆς Ζ'. Ὀδυσσ: ἀναγινώσκομεν, ὅτι Ναυσίθοος ὑπῆρξεν ὁ τῆς Σχερίας οἰκιστής:

„ Οἳ πρὶν μέν ποτ' ἔναιον ἐν εὐρυχόρῳ Ὑπερείῃ
„ Ἀγχοῦ Κυκλώπων, ἀνδρῶν ὑπερηνορεόντων,
„ Οἳ σφᾶς σινέσκοντο, βίηφι δὲ φέρτεροι ἦσαν.
„ Ἔνθεν ἀναστήσας ἄγε Ναυσίθοος Θεοειδὴς,
„ Εἶσεν δ' ἐν Σχερίῃ, ἑκὰς ἀνδρῶν ἀλφηστάων.
„ Ἀμφὶ δὲ τεῖχος ἔλασσε πόλιν, καὶ ἐδείματο οἴκους
„ Καὶ νηοὺς ποίησε Θεῶν καὶ ἐδάσσατ' ἀρούρας.

Τῶν ἐπῶν τῶν δὲ καὶ Πλέταρχος ἐμνήσθη ἐν τῷ περὶ τῆς Φυγῆς „λέγων: Ναυσίθοος τὴν εὐρύχωρον Ὑπέρειαν καταλιπὼν, „διὰ τὸ γειτνιᾶν τὸς Κύκλωπας αὐτῇ, καὶ μετασὰς εἰς

„νῆσον ἐκὰς ἄλλων ἀλφησάων, καὶ κατοικῶν ἀνεπίμικτος
„ἀνθρώπων ἀπάνευθε, πολυκλύστῳ ἐνὶ πόντῳ, τὸν ἥδιστον
„παρεσκέυασε βίον τοῖς ἑαυτῦ πολίταις.

Ἀλλ' ἠγνόησε Κόνων τὴν μετοικεσίαν ταύτην, ἐν τῇ Γ. διηγήσει
„τῇ παρὰ Φωτίῳ, γεράφων: ἡ παρὰ τὸν Γώνιον κόλπον
„Σχερία νῆσος, ἐχ ἑκὰς ἔστα τῆς Ἠπείρε, καὶ
„των Κεραυνίων ὀρῶν λέγεται. Αὕτη Φαίακας
„ἔχεν οἰκήτορας τὸ πρότερον αὐτόχθονας· ἔθνος
„λαχὸν τὴν ἐπωνυμίαν ἀπό τινος τῶν ἐπιχω-
„ρίων βασιλέων. Ὁμοίως δ' ἠγνόησε καὶ Ἀπολλώνιος ἐν τῷ Δ.
τῶν Ἀργοναυτικῶν: αὐτόχθονα λαὸν, καὶ ἔτος ὀνομάσας τὸς Φαίακας.

Τλλος ἦν ὁ ἐκ Μελίτης Ναϊάδος τεχθεὶς ἐν Φαιακίᾳ τᾷ Ἡρακλεῖ, ἀκ-
μάσας, ἐκ ἔφερε τὴν Ναυσιθόε ὀφρὺν, ἣ φησὶν Ἀπολλώνιος (Ἀργοναυτ: Δ'.)
εἰς δὲ ἀποικίαν ἐξείλατο, καὶ Ἰλλυρίων ἐβασίλευσεν ἐν Νήσῳ **Μελίτῃ**·
ἐξ ἧς, κατὰ Κλεβέριον (ἐν τῇ Παλ: Σικελ: Βιβλ: Β'. Κεφαλ: 16.) ἐκ Μελί-
της εἶρηται τὸς Φαίακας προελθεῖν, τῆς τῇ Καμαρίνῃ ἀντιπαρακειμένης·
καἰντεῦθεν ἡ τὴν **Καμαρίναν** Φαιάκων ἕδραν τισὶ τῶν Σχολιογράφων
„Ὁμήρε ὑπολαμβάνεσθαι· ὡς γὰρ Δίδυμος σεσημείωκεν: Οἱ μὲν Ὑπέρειαν
„τὴν ἐν Σικελίᾳ ὑπέλαβον Καμαρίναν· οἱ δὲ ἀπὸ τῆς
„ὑπὲρ τὴν ἡμῖν γινωσκομένην. Ἄλλοι δὲ ὅτι ἦν Νῆσος
„πρότερον πλησίον τῆς τῶν Κυκλώπων χώρας. Ἀλλ' Εὐσάθιος τὴν δευτέραν δόξαν ἐκ ἐνέκρινε· τῆδέ τοι Ἀπολλωνίε (ἔνθ: ἀνωτ:) καὶ Ὄρες Μελιτείε μνημονέυσαντος, ὅπερ ᾤκεν αἱ τῆς Αἰγέος ποταμῆς θυγατέρες, ὁ Σχολιαστὴς καὶ **Ὄρος Κερκύρας Μελί-**
τειον ἀναφέρει· ἐξ ἧς καὶ ὁ Φαβωρῖνος ἐν τᾷ Λεξικῷ ὁμοίως.

Τὸ μέντοι Νῆσον τὴν Ὑπέρειαν λέγειν γενέσθαι, ἐ καθ' Ὅμη-
„ρον (Ὀδυσ: Ι'.) ἐσὶ φθέγγεσθαι, φησὶν Εὐσάθιος: Πῶς γὰρ ἂν Νη-

„σιῶται ὄντες οἱ ἐν αὐτῇ ὑπὸ Κυκλώπων ἐβλάπ-
„τοντο, οἷς νῆες ἐκ ἦσαν κατὰ τὴν Ὁμηρικὴν ἰσο-
„ρίαν; ἀλλὰ Κλεβέριος ἀπαντᾷ, ὡς ἔξιν ἄττα καὶ μυθικώτερον
παρεισήνεγκεν Ὅμηρος, καὶ τῶν αὐτῷ Σχολιαστῶν τοῦτο, καὶ τῷ
Στράβωνος πολλαχῷ συνομολογούντων. Ἐν οἷς ἐστὶ καὶ τὸ μυθευθὲν, ὅτι
Ναυσίθοος μετὰ τῶν αὐτῷ Φαιάκων Ὑπερείας ἀπεξελήλατο
ὑπὸ Κυκλώπων. Οὐδὲ γὰρ Κύκλωπας ὅλως ἐν Σικελίᾳ γενέσθαι: ὡς (ἐν
Α'. Βιβλ: Κεφ: 2.) Φθάσας ἐδίδαξε. Πῶς δὲ ἄρα; (ὁ αὐτὸς αὐ-
τόθι ὑπέθετο) Univerſa inſula (Sicilia) quondam genus
tulit Gigantum, qui in diverſos populos, ſive familia-
rum corpora fuêre diviſi, ex quibus memorantur anti-
quis ſcriptoribus Cyclopes ſupra dicti, atque Phaeaces.

Ἀλλὰ γὰρ, ὡς ἀνόμοιοι καὶ φύσει, καὶ τρόποις, οἱ δῆμοι ἔτοι ἐγέ-
νοντο. Οἱ μὲν γὰρ Γίγαντες Θεομάχοι εἰρηνται, τοὺς δὲ
Φαίακας ἀγχιθέους, ἐκ ἄπαξ προσεῖπεν Ὅμηρος: τετέσιν
εὐδαίμονάς τε καὶ ἰσοθέους, ὡς ἐκ τῶν Σχολιογράφων ἑρμη-
νέυει ἐν τῷ Λεξικῷ Ἡσύχιος. Ὅθεν καὶ ἡ παραθετικὴ ἀνομοιότης, ἣ
τοὺς οἰκείους Φαίακας Ἀλκίνοος τῶν ἄλλων ἀντιδιεξείλατο (Ὀδ: Η'.)

„. . . . Ἐπεὶ σφίσι (τοῖς Θεοῖς) ἐγγύθι εἰμὲν·
„Ὥσπερ Κύκλωπές τε, καὶ ἄγρια φῦλα Γιγάντων.
(ἀλλήλοις).

Ἤνπερ δὴ παράθεσιν ἢ γαυτίασιν καὶ Δίδυμος (αὐτ:) καὶ
Εὐσάθιος, (ἐν Ε'. Ὀδυσ:) διεξηγήσαντο: Ὡς εἰσὶν ἀλλήλων
„ἐγγὺς Κύκλωπές τε καὶ Γίγαντες, ἤτοι κατὰ
„γένος, ἢ κατὰ τόπον, ἢ κατὰ ἀδικίαν· ἔτω
„καὶ ἡμεῖς Θεοῖς πλησίον κατὰ δικαιοσύνην. Ὁ
δὲ Εὐσάθιος ἔτι καὶ σαφέστερον τὸν λόγον διετράνωσε παραδείγματι
„προθείς: ὡς εἴτις εἴποι τόσον εἶναι Σωκράτην ἐγ-

„γύθι τῷ Πλάτωνι κατ' ἀρετήν, ὅσον Ἄνυτος „καὶ Μέλιτος ἀλλήλοις κατὰ κακίαν. Πῶς τοίνυν κεῖνα Κλεβέριος; ἢ ἐχὶ πολλάκις αὐτὸς τὰ Ὁμήρε ἐπανελήλυθεν ἔπη; ἀλλ' ἐπὶ τέτοις κἀκεῖνα προσσημειῶσαι παρῆν, ἐν οἷς Εὐρυμέδοντα τὸν Ναυσιθόε πάππον Ὅμηρος παρέσησε Γιγαντολέτην.

Ἐπὶ πᾶσι τοίνυν, καὶ τὸ Ἀπολλώνιον χολιάσαντος (ἐν Δ'. τῶν Ἀργοναυτ:) εἰρηκότα:

„ . . . . . Ὡς δὲ καὶ αὐτοὶ
„ Αἵματος οὐρανίοιο γένος Φαίηκες ἔασσιν.

Καὶ Ἀκεσίλαόν τε, καὶ σὺν τέτῳ Ἀλκαῖον ἐπαγαγόντος, τὲς μαρτυρῆντας ἐκ τῶν ῥανίδων τὲ αἵματος τῆ ἀπὸ τῆς τῆ Κρόνε ἀποτομῆς ἐπὶ γῆς ἀποσάξαντος, τὲς Φαίακας γεννηθῆναι· διαβεβαιεμένων δέ πε, καίτοι ἀπιςέντων ἄλλων, ἔκεν τὲς Φαίακας, τὲς δὲ Γίγαντας ἐντεῦθεν τῆ εἶναι τὴν ἀρχὴν ἐληφότας, ῥᾴδιον ἂν εἴη ἐπαγαγεῖν κἀκ τέτε, μακρῷ ἑτέρες ἡγεῖσθαι χρῆναι τῶν Γιγάντων τὲς Φαίακας.

Τῆς μὲν ἐν **Φαιακιακῆς Ὑπερείας**, καὶ Στέφανος μέμνηται ὁ Βυζάντιος, καὶ Ἡσύχιος. Παρὰ δὲ τῆ Στεφάνε διδασκόμεθα ἔτι καὶ **Ἄργος** τὴν Κέρκυραν κληθῆναι. Καὶ ὁ μόνον παρὰ τῆ Στεφάνε, (ὅπερ ὑπείληφεν Ἀβραὰμ Βερχέλιος·) καὶ γὰρ καὶ Εὐστάθιος, ὁ ἐν τοῖς εἰς τὸν Διονύσιον Σχολίοις, μετὰ τὸ Ἄργος τὸ Θεσσαλικόν τε καὶ Ἀμφιλοχικὸν εἰξας, ἐν ἑτέρῳ Σχολίῳ (τῷ Ϛ. 494.) Κέρ„κυρα, φησὶν, ἡ καὶ Φαιακία καλεμένη, καὶ Σχε„ρία, καὶ Δρέπανον, καὶ Ἄργος.

Ἀλλὰ σφραγὶς ἐπιτεθείθω τέως τοῖς περὶ Ναυσιθόε ῥηθεῖσι τὰ ἐκ Ποσειδῶνος κατὰ Φαιάκων ἐπαπειλήματα, περὶ ὧν Ἀλκίνοος διῆλθεν: (Ὀδυσ: Θ'.)

„ Ἀλλὰ τάδ' ὥς ποτε πατρὸς ἐγὼν εἰπόντος ἄκουσα
„ Ναυσιθόου ὃς ἔφασκε Ποσειδάων, ἀγάσασθαι
„ Ἡμῖν, ὕνεκα πομποὶ ἀπήμονες εἰμὲν ἁπάντων.
„ Φῆ ποτε Φαιήκων ἀνδρῶν ἐυεργέα νῆα,
„ Κ'κ πομπῆς ἀνιοῦσαν ἐυ ἠεροειδέϊ πόντῳ
„ Ῥαισέμεναι, μέγα δ' ἡμῖν ὄρος πόλιν ἀμφικαλύψειν.
Περὶ δ' ὕστερον.

ΚΕΦΑΛ. Ε'.

„ Ναυσίθοος δ' ἔτεκεν Ῥηξήνορά τ' Ἀλκίνοόν τε·
„ Τὸν μὲν ἄκουρον ἐόντα βάλ' ἀργυρότοξος Ἀπόλλων,
„ Νυμφίον ἐν μεγάρῳ, μίαν οἴην παῖδα λιπόντα
„ Ἀρήτην· τὴν δ' Ἀλκίνοος ποιήσατ' ἄκοιτιν.

Ὁ μέν τοι Κόνων ἐν τοῖς Διηγήμασι, καὶ ἕτερον τῷ Ἀλκινόῳ ἀδελφὸν γενέσθαι καθίστορεῖ Λοκρὸν ὄνομα, Ὁμήρῳ τε σιγώμενον, καὶ τοῖς Ὁμήρου ἐξηγηταῖς. Περὶ δ' ἐκείνου ἀριθμεῖται τῷ Κόνωνι Διήγημα Γ'. τὸ ὑπὸ Φωτίου ἐν τῇ Βιβλιοθ: ἀριθμ: ΡΠΣ'. ἀναφερόμενον ὅπερ ὧδε ἀναγράψασθαι ἐδαμῶς κατοκνήσομεν.

„ Φαίακος τοῦ τῆς Νήσου (Κερκύρας) βασιλεύ-
„ οντος, τελευτήσαντος, οἱ υἱοὶ Ἀλκίνοός τε καὶ
„ Λοκρὸς στασιάσαντες, συνέβησαν πάλιν, ἐφ' ᾧ
„ βασιλεύειν Ἀλκίνουν μὲν τῆς Φαιακίδος, Λοκρὸν
„ δὲ κεμήλια, καὶ μοῖραν λαβόντα, τὸ ἔθνος

„ἀποικίσεσθαι τῆς χώρας. Ὃς καὶ ἐπὶ Ἰταλίας
„πλεύσας ξενίζεται παρὰ Λατίνῳ Ἰταλῶν βασιλεῖ,
„δόντι πρὸς γάμον καὶ τὴν θυγατέρα Λαυρίνην.
„Διὰ ταῦτα, ὡς συγγενεῖς, Φαίακες Λοκροὶς
„τοὶς ἐν Ἰταλίᾳ προσεποιοῦντο. Ὁ δὲ Ἡρακλῆς
„κατ' ἐκεῖνο καιρὸν, τὰς τοῦ Γηρυόνου, περικαλλεῖς
„ὅσαι βόες, ἔσας ἐξ Ἐρυθείας ἐλάυνων εἰς Ἰταλίαν
„ἀφικνεῖται, καὶ ξενίζεται φιλοφρόνως παρὰ τῷ
„Λοκρῷ. Ὁ δὲ Λατῖνος πρὸς τὴν θυγατέρα ἐλθὼν,
„καὶ τὰς βοῦς ἰδὼν, ἠράσθη τε καὶ ἤλαυνεν. Ὅπερ ἀνα-
„μαθὼν Ἡρακλῆς, ἐκεῖνον τόξῳ βαλὼν ἀνεῖλε,
„τὰς δὲ βοῦς ἀνεκόμισε. Λοκροὶς δὲ δεδιὼς περὶ
„Ἡρακλεῖ, μή τι δεινὸν ὑπὸ Λατίνου πάθῃ· (ἦν γὰρ
„Λατῖνος σώματι γενναῖος καὶ ψυχῇ.) ἐξελαύνει ἐπὶ βο-
„ήθειαν τοῦ ξενισθέντος, ἀμεψάμενος καὶ σολήν.
„Ἡρακλῆς δ' ἰδὼν αὐτὸν θανόντα, καὶ νομίσας τινὰ
„εἶναι ἄλλον πρὸς ἐπικουρίαν πεύδοντα Λατίνῳ, βαλὼν
„ἄτρακτον κτείνει· ὕστερον δὲ μαθὼν, ἀπωλοφύρετο μὲν,
„καὶ τὰ ὅσια αὐτῷ ἐπετέλεσε· καὶ μετασὰς δ' ἐξ ἀνθρώ-
„πων ἔχρησε φάσματι φανεὶς τῷ λαῷ, πόλιν οἰκίζειν
„ἐπ' Ἰταλίας, ἐν ᾗ ἦν τὸ σῶμα τοῦ Λοκροῦ, καὶ δναμένει
„τῇ πόλει τοὔνομα τιμώσῃ τῇ κλήσει τὸν Λοκρόν.

Τὸν Φαίακα τῷ Ἀλκινόῳ, καὶ ἐχὶ τὸν Ναυσίθοον ἀποδιδὲς ὁ
Κόων γεννήτορα, τῷ Σικελιώτῃ Διοδώρῳ ἐν τῇ Δ'. τῆς ἱστορίας συνά-
„δει, λέγοντι: Φάιαξ, ἀφ' ἧς τοὺς Φαίακας συνέβη τυχεῖν
„ταύτης τῆς προσηγορίας· Φαίακος δ' ἐγένετο Ἀλκίνοος:
τοῦ δὲ Οἰμήρου ἀπάδει. Ἀλλὰ καὶ ὁ φησὶν, ὅτι Λατῖνον τὸν Ἰταλῶν
βασιλέυοντα Ἡρακλῆς ἀνεῖλε, καὶ τότε τὴν θυγατέρα Λαβρίναν,
ἤτοι Λαβίναν, τῷ Λοκρῷ κατενύμφευσεν, ὡς λίαν ἐσὶν ἀπέχον τῶν
παραδοθέντων τοῖς παλαιοῖς Λατίνων συγγραφεῦσι, τοῖς τὸν μὲν Αἰνεάκτα
Λατῖνον ἐν τῇ κατὰ Ρυτύλων μάχῃ πεσεῖν ἐξισορηκόσι, τὴν δὲ τότε

θυγατέρα Λαβινίαν, τὴν Τύρνῳ πρότερον κατεγγυηθεῖσαν, αλοχον ἐφεξῆς Αἰνείᾳ ἀναδειχθῆναι. Καὶ θαυμάζειν ἔπεισιν, ὅτι ἐδεὶς τῶν καθ' ἡμᾶς ἀρχαιολογεῖν ἐπιβαλομένων, τὴν δε τὴν διαφωνίαν, ἔς γε καὶ νῦν, ἐπισεσημειωκὼς φαίνεται. Ε'φ' οἷς καὶκεῖνο παρὰ τὲς ἀρχαίες τῶν Γεωγράφων, καὶ τὲς τέτων Σχολιαςὰς ὁ Κόνων ἐδόξασε: τὲς τὴν **Λοιρίδα** ἐν τῷ Βρεττίῳ Κόλπῳ ὑποθεμένες, τῷ καὶ **Λοιρίῳ** ὀνομαθέντι ἀπὸ τῶν ἀρχαίων **Λοιρῶν**: τῶν εἴτε **Ο'ζόλων** τῶν πρὸς Αἰτωλίαν, εἴτε **Ε'πικνημιδίων** τῶν πρὸς τὴν Ε'ύβοιαν. Τἐναντίον γὰρ Κόνων ἐπὶ τὲς Φαίακας τὴν τῶν Λοκρῶν καταρχὴν καὶ προσηγορίαν φέρων μντήνεγκε: καὶ ἐδὲ περὶ τῆς δε τῆς διαφωνίας ἐδὲν κομιδῇ ἔτε παρὰ Κλεβερίῳ, ἐν τῆς περὶ τοῖς παλαιᾶς Ι'ταλίας· (Βιβλ: Δ'. Κεφ: 15.) ἔτε παρὰ Χριςοφόρῳ τῷ Κελλαρίῳ, ἐν τῇ παλαιᾷ Γεωγραφίᾳ (Βιβλ: Β'. Κεφ: 9.) σημειωθὲν φαίνεται.

Ο'σης ἓν πίςεως ἄξια τὰ τὲ Κόνωνος, ἐδὲν ἠξίωσεν εἰπεῖν Φώτιος, μόνον τὸν τῆς Φράσεως χαρακτῆρα ἐπὶ τὲ πονηματίε κρίνας, καὶ τὴν Α'ρχελάῳ τῷ Φιλοπάτορι γενομένην ὑπ' αὐτὲ προσφώνησιν, τῷ ἐπὶ Α'υγέςε βασιλέυοντι, ὡς ἔκ τε τὲ Δίωνος, καὶ τὲ Στράβωνος, καὶ ἄλλων ἐπιφέρει ἐν τοῖς περὶ τῶν Γραικῶν Ι'ςορικῶν, περὶ τὸ τέρμα τὲ Α'. Βιβλ: Γέραρδος Γ'ωάν: Βόσσιος.

Ε'φ' ᾧ γε μὴν, μὴ ὡς μῦθον πάντη τὸ τὲ Κόνωνος διαπλαθὲν ἀποκηρυχθῆναι, εἰκάσειέ τις ἐκ τῶν φερομένων ἀρχαίων Κερκυραϊκῶν Νομισμάτων, (παρὰ Οὐολφάγγῳ Λαζίῳ, καὶ Γ'ωάννῃ Α'ρβελίῳ, ἢ Οὐβέρτῳ Γολτζίῳ, καὶ ἄλλοις·) ὡς ἐπεὶ ὁ τῆς Νηὸς τύπος, ὁ τὴν Κέρκυραν ἐπισημαίνων, ἐκ δὲ θατέρας τῶν ὄψεων ἡ τῆς κεφαλῆς εἰκὼν τῆς ςάχυϊ κατεσεμμένης, μετὰ τῆς ἐπιγραφῆς: ΜΕΤΑΠ. τῆς ἐν τοῖς Μεταποντίνων νομίσμασι συνήθες, τοῖς Κερκυραίοις ὁπωσδήποτε τὲς Μεταποντίνες αὐτὲς παρασυνάπτει, τὲς τοῖς Λοκροῖς ἐπίσης ἀντιπαρακειμένες ἐκ γειτόνων πρὸς Φαίακας: διὰ τᾶτο ἐ πάντη „ἔξω τῆ εἰκότος ἡγητέον εἰρῆθαι τὸ ὑπὸ τὲ Κόνωνος παραδοθὲν, ὅτι,

„ ὡς συγγενεῖς Φαίακες Λοκρὸς τὸς ἐν Ἰταλίᾳ προ-
„ σεποιοῦντο. Σημείωσαι δὲ τὸν ἐν τοῖς Μεταποντίνων νομίσμασιν
ἐπικεχαραγμένον ὁρώμενον στάχυν, μηδὲν ἄλλ' ἢ τῆς χώρας δηλοῦν τὸ
εὔφορον.

Τὸν Ἰάσονα δὲ σὺν τῇ Μηδείᾳ, μετὰ τὴν ἁρπαγὴν τοῦ χρυσομάλ-
λου δέρως, ἀπὸ Κολχίδος ἐπὶ Κορκύρας καταίροντα, φιλοφρόνως ὑπὸ
Κερκυραίων ἀποδεδέχθαι, Ἀπολλώνιος ἐν τοῖς Ἀργοναυτικοῖς ἔτω διέ-
ξεισιν:

„ . . . . . Οἱ δ' ἀγανοῖσιν
„ Ἀλκίνοος, λαοί τε θυηπολίῃσιν ἰόντες
„ Δειδέχατ' ἀσπασίως. ἐπὶ δὲ σφίσι παγχαλάασκε
„ Πᾶσα πόλις· φαίης κεν ἑοῖς ἐπὶ παισὶ γάνυσθαι.

Εἶτα τὴν Κόλχων κάθοδον ἐπὶ ἀπαιτήσει τῆς Μηδείας ἐπάγει:

„ . . . . . Στρατὸς ἄσπετος ἔξεφαάνθη
„ Κόλχων, οἳ πόντοιο κατὰ στόμα, ἠδὲ διὰ πέτρας
„ Κυανέας μαστῆρες ἀρίστων ἐπέρησαν·
„ Μήδειαν δ' ἔξαυτον ἐς πατρὸς ἄγεσθαι
„ Γεντ' ἀπροφάτως, ἠὲ σινέεσσαν αὐτὴν
„ Νωμήσαν χαλεπῇσιν ὁμόκλεον ἀτροπίῃσιν
„ Αὖθι τε, καὶ μετέπειτα σὺν Αἰήταο κελεύθῳ.

Μετὰ τοῦτο τὴν Μηδείας ἀνίαν ἐκτίθησι, καὶ τὰς ἱκεσίας τὰς
πρὸς Ἀρήτην, καὶ τὰς πρὸς τὸς οἰκειωθέντας αὐτῇ Ἀργοναύτας καὶ
τελευταῖον τὴν παρ' αὐτοῦ Ἀλκινόου ψῆφον ἐκφέρει:

„ Παρθενικὴν μὲν ἔσσαν, ἐῢ ποτὶ δώματα πατρὸς
„ Ε'ιδύσεν· Λέκτρον δὲ σὺν ἀνδρὶ πορσαίνεσαν
„ Οὐκέτι νηριδίης μὶν ἀποτμήξειν Φιλότητος.

Γνῦσα δὲ παρὰ Α'λκινόε τόδε τῆ γαμέτε Α'ρήτη, ἐν τῇ αὐτῇ νυκτὶ τὸν Γ'άσονα συνελθεῖν εἰς γάμον τῇ Μηδείᾳ ἐνετείλατο, ἐν ἱερῷ ἄντρῳ τὴν νυμφικὴν σφίσι παστάδα παρασκευάσασα:

„ Α'υτίκα δὲ κρητῆρα κερασσάμενοι Μακάρεσσιν
„ Ἡ θέμις, ἐυαγέως ἐπιβώμια μῆλα τ' ἐρύσαντες,
„ Α'υτονυχὶ κέρῃ θαλαμήϊον ἔντυνον ἐυνὴν,
„ Α'ντρῳ ἐν ἠγαθέῳ, τοθὶ δήποτε Μάκρις ἔναιεν.

Ε'ξ ἧς δὴ παρα Κερκυραίοις ἔπειτα, φησὶ:

„ Κεῖνο καὶ εἰσέτι νῦν ἱερὸν κλῃΐζεται ἄντρον
„ Μηδείης. . . . . .

Οἱ δὲ ἀποσαλέντες Κολχοὶ, καὶ δυσαναχετήσαντες, ὅμως:

„ Δὴ τότε δὴ βασιλῆος ἐῢ τρομέοντες ἐνιπὰς
„ Δέχθαι μελίξαντο συνήμονας, αὖθι δὲ νήσῳ
„ Δὴν μάλα Φαιήκεσσι μετ' ἀνδράσι ναιετάασκον.

Οἱ δ' Α'ργοναῦται Νύμφαις τε καὶ Μοίραις ἐν Ναῷ τᾷ Α'πόλλωνος θύσαντες, πολλά τε ξένια παρὰ Α'λκινόε καὶ Α'ρήτης κομισάμενοι ἀπῆραν Κερκύραθεν.

„ Μοιράων δ' ἔτι κεῖσε θύη ἐπέτεια δέχονται,
„ Καὶ Νυμφέων Νομίοιο καθ' ἱερὸν Α'πόλλωνος.

„ Βωμοὶ, τὰς Μήδεια καθίσσατο. Πολλὰ δ' ἰᾶσιν
„ Ἀλκίνοος Μηνύας ξεινήϊα, πολλὰ δ' ὄπασσεν
„ Ἀρήτη . . . . . .

Ἀλλὰ γὰρ, ὅσα τῇ χώρᾳ ἀνήκει τῇ τῆς Νυμφεύσεως, τῷ Ἀπολλωνίῳ ἐπιμαρτυρεῖ μὲν Τίμαιος, ἀντιλέγουσι δὲ Διονύσιός τε ὁ Μιλήσιος, καὶ Ἀντίμαχος, καὶ Τιμώναξ παρὰ τῷ Ἀπολλωνίῳ Σχολιαστῇ, γεγραφότι: Τιμαίου λέγοντος ἐν Κερκύρᾳ τὸς γάμους ἀχθῆναι Διονύσιος ὁ Μιλήσιος, ἐν Β'. τῶν Ἀργοναυτικῶν, ἐν Βυζαντίῳ φησὶν· Ἀντίμαχος ἐν Λυδίᾳ πλησίον τῦ ποταμῦ, μιγῆναι αὐτῇ φησὶ τὸν Ἰάσονα. Τιμώναξ ἐν Α'. τῶν Σικελικῶν ἐν Κόλχοις φησὶν Ἰάσονα Μήδειαν γῆμαι, Αἰήτου αὐτῷ ἐγγυήσαντος. Ἔνθα δὴ καὶ προσίδησι παρὰ τῷ αὐτῷ Σχολιογραφεῖ ὁ Τιμώναξ: ὅτι δείκνυνται παρὰ τὸν παράπλων ἔνδον τῦ πόντου κῆποι τινὲς Ἰασόνιοι καλούμενοι, καθ' ὧν τὴν ἀπόβασιν ἐποιήσαντο, καὶ κατὰ τὴν αἴαν Γυμνάσια, καὶ Δῖσκοι, καὶ τῆς Μηδείας θάλαμος καθ' ὃν τότε ἐνυμφεύθη. Καὶ πρὸς τῇ πόλει ἱερὸν ἱδρυμένον Ἰάσονος, καὶ πρὸς τέτοις ἱερὰ πολλά. Καὶ ὁ μὲν Τιμώναξ ἅτως: Τίμαιος δὲ τἐναντίον ἐν Κερκύρᾳ λέγων τετελέσθαι τὸς γάμους, προσέθετο καὶ ἐπ' αὐτῦ ἔτι θυσίαν ἤδη θύεσθαι ἐν τῇ Νήσῳ, ἐπὶ τῇ Μηδείας τελετῇ ἐν ἐκείνῳ τῷ ἱερῷ· καὶ περιέναι δ' ἐν αὐτῷ βωμὸς δύω εἰς αὐτὸ ςηριχθέντας.

Τὰ τῶν Ἀργοναυτῶν ἐν Κερκύρᾳ πλατύτερον τῷ Ἀπολλωνίῳ ἰςορηθέντα, ἐπιτομώτερον Ὀρφεὺς διεξέρχεται, ὧδε:

„ Κέρκυραν ζαθέην ἐξίκετο, τὴν ςρὶν ἔναιον
„ Ὑδριες ἀρεσίης, καὶ ἀλιπλάγκτοιο πορείης

„ Φαίηκες· τοῖσιν δ' ἄρ' ἐφημοσύνησι θέμιστας
„ Ἀλκίνοος κραίνεσκε δικαιότατος βασιλήων.

Παρίημι δὴ τέτοις ἐπισυνεῖραι τὰ ἄλλα, ἅτε τὰ πλεῖστα τοῖς τε Ἀπολλωνίε ταυτὰ καὶ ὅτι, οὐδὲ τὰ ὑπὸ τῷ Ὀρφέως ὀνόματι φερόμενα, οὐδ' ἐμοὶ δοκεῖ εἶναι γνήσια. Καὶ γάρ τοι κατὰ Κικέρωνα (ἐν τῷ Α'. Βιβλ: τῶν περὶ τῆς Φύσ: τῶν Θεῶν:) οὐδ' ἐγένετό τις πώποτε Ὀρφεὺς τοιοῦτος· ἀλλὰ τὰ αὐτῷ προσαναγραφόμενα ὑπὸ τῶν Πυθαγορικῶν **Κέρκοπί** τινι ἀπονέμεται: κατὰ δ' ἄλλες τῶν ἀρχαίων, (οἷς καὶ οἱ πλεῖστοι τῶς νεωτέρων συναδουσιν.) **Ὀνομακρίτῳ**· τὰ πλεῖστα δ' ἔφην ὅτι ταυτά: ἐπεὶ καὶ τὴν μεταξὺ **Ἀργοναυτῶν** τε καὶ **Κόλχων** δίκην, κατά γε τὰ Ὀρφικά, ἐκ **Ἀλκίνοος** φέρεται διαλύσας, ἀλλὰ **Ἀρήτη**: τοῦθ' ὅπερ ἀπραγμόνως παρῆλθε Βαρνέσιος, ἐν τῇ τε Ὁμήρε ἐκδόσει αὐτε: (Οὐδυσ: Η'.) εἰς τὸ περὶ Ἀρήτης εἰρημένον: **Καὶ ἀνδράσι νείκεα λύει**: συμφώνως τῷ Ὀνομακρίτῳ, καὶ τὸν Ῥόδιον Ἀπολλώνιον προθεῖναι ἀποφηνάμενος, τὸν μηδὲν τοιοῦτον εἰπόντα. Ἀλλὰ τῷ Ἀπολλωνίῳ καὶ Ἀπολλόδωρος συναινεῖ, ἐν τῇ Βιβλιοθ: ἐν οἷς τὰ περὶ τῶι Ἀργοναυτῶν διεξέρχεται.

Ἰάκωβος δὲ Γρονόβιος, ἔνθα τὴν Κερκύρας χαρακτηρισικὴν ἐκτίθησι λίθον, ἐκ ὀρθῶς ἔκρινε διὰ τῆς Ὀδυσσέως καταρσεως τὸ πρῶτον, τήν τε Νῆσον, καὶ τὴν ἐπωνυμίαν Κερκύρας τοῖς Ἕλλησιν ἐπιγνωσθῆναι. τὰ γὰρ Ἀργοναυτικὰ δῆλα ἄλις ὑπῆρχε καὶ ποιηταῖς περιαδόμενα, καὶ ἱστοριῶν συγγραφεῦσι, καὶ πρὸ τε Ὀδυσσέως κατάπλε: καὶ μὲν δὴ, καὶ ὑπὸ τῶν Ἀστρολογόντων ἐν οὐρανοῖς καταστερισθέντα. Ἀλλ' ὡς πεποιθότως Γρονόβιος αὐτὸς καὶ τὸν Ἀλκίνοον υἱοποιῆσαι ἐπεβάλετο Φαίακι, τὸν τε Ναυσιθόε καθ' Ὁμηρον. Εἶθ' ὁ αὐτὸς καὶ Ἀνδρέαν Καρμαρᾶν ἐπιλαμπρύνει, ὡς ἐντελῶς τε καὶ ἀπηκριβωμένως τὰ τῆς

Νήσε Κερκύρας ἱσορηκότα, περὶ ἃ τὰ προειρημένα δηλώσει, καὶ τὰ ἑξῆς Εἰρησόμενα.

Πέρας ἐπικείσθω τῷ Κεφαλαίῳ τὰ ὑπὸ Παυσανίε ἐν τοῖς Κορινθιακοῖς ἀναφερόμενα: „ὅτι ἔπη ἐσὶν ἐν Ἕλλησιν Ναυπάκτια ὀνομαζόμενα. Πεποίηται δ' ἐν αὐτοῖς Γάσονα ἐξ Ἰολκοῦ μετὰ τὸν Πελίε θάνατον ἐς Κέρκυραν μετοικῆσαι. Τῶν δ' ἐπῶν τέτων καὶ τοῖς Φωκικοῖς μεμνημένος, Μιλησίῳ τινὶ φησὶν αὐτὰ κοινῇ ἀποπέμεθαι. Καίτοι γε πιθανώτερον ἡγεῖται Ναυπάκτιόν τινα γενέθαι ἄνδρα τὸν συγγράψαντα. Τῶν αὐτῶν δὲ ἐπῶν συχνὰ, καὶ ὁ Σχολιασὴς Ἀπολλωνίε μέμνηται.

ΚΕΦΑΛ. ς'.

Τῶν Ἀργοναυτῶν ἀναχωρησάντων, μετ' ὀ πολὺ Ὀδυσσεὺς εἰς Κέρκυραν προσωρμίσατο ναυαγήσας ἐν ἡμέραις εἴκοσιν ἀπὸ Ὠγυγίας τῆς Νήσε τὸν διάπλεν περάνας. Ναυσικάᾳ δὲ πρὸς τὰς ἀκτὰς ἐντυχὼν τῇ θυγατρὶ Ἀλκινόε σὺν ταῖς ἀμφ' αὐτῇ Ἄβραις παιζέσῃ, ἐδῆτα πρῶτον ἠτήσατο, ὥσε καλύψαι τὴν γύμνωσιν· εἶτα, προηγησαμένης Ναυσικάας ἐπὶ τὰ Ἀνάκτορα ἵκετο, ἔνθα ὑπὸ Ἀλκινόε καὶ Ἀρήτης τῆς αὐτῦ γαμετῆς, καὶ τῶν τέκνων, ὑποδοχῆς Φιλόφρονος κατηξίωται: μεθ' ὃ τέως καὶ εἰς τὴν ἑαυτῦ πατρίδα Ἰθάκην ὑπὸ τῶν Φαιάκων διαπεπόρθμευται.

Ταῦτα διὰ πλειόνων, ἐν τοῖς τῆς Ὀδυσσείας Ῥαψωδήμασι διελθόντας, τὰ κατ' ἐκείνες τὲς Ἡρωϊκὲς χρόνες ἐπικρατέντα ἤθη τε καὶ ἔθη ἐσὶ μαθεῖν. Ἐξ ὧν καὶ ἡμεῖς τὰς Κερκυραϊκὰς Ἀρχαιολογίας ἐκθέσθαι ἐπιβαλόμενοι, ἐκ ἀλυσιτελές τι προθήσειν τοῖς Φιλολογεῖν

αἱρεμένοις οἰόμεθα, ὡς δῆλον ἔσαι τῷ τὰ ἡμέτερα τάδε, τοῖς Εὐβεράρδε Φεϋτίε περὶ τῶν Ὁμηρικῶν ἀρχαιοτήτων συναναγεγραμμένοις παραβαλεῖν ἐθελήσουσιν. Ἐκ γάρ τοι τούτων καὶ λόγος τις ἀναφανεῖται, καθ' ὃν ἔσιν ἅττα τῶν ποιητικῶν Μυθευμάτων νοεῖν δεήσει, τὰ καὶ τοῖς πεπαιδευμένοις ἐνίοτέ πως ἀπαντῶντα δυσξύνετα. καὶ εἰ μηδέντι πλέον, ἀλλὰ καὶ αὐτὴ ἡ τῶν Ὁμηρικῶν ἐπῶν ἐπαγομένη περὶ ταῦτα ἀνάγνωσις, ἡδονὴν τοῖς μετελευσομένοις ἐτὴν τυχοῦσαν ἐπιμηνεύσεται. Ὅμηρος γὰρ ὡς Πλίνιος ἐν τῷ ΙΖ'. τῶν αὐτοῦ καλῶς περίεσησεν: οἷα πηγή τις διανοημάτων πρόσκειται· ἤτοι:

„ . . . . Βαθυῤῥύταο μέγα σθένος ὠκεανοῖο
„ Ἐξ οὗπερ πάντες ποταμοὶ, καὶ πᾶσα θάλασσα,
„ Καὶ πᾶσαι κρῆναι, καὶ φρέατα μακρὰ νάουσιν.

Οὕτω γὰρ ἐκ τῶν αὐτοῦ (Ἰλιάδ: Φ'.) Διονύσιος ὁ Ἁλικαρνασσεὺς, Ὅμηραν χρῆναι προσαγορεύειν ἡγήσατο.

Ὅμηρον καὶ γάρ, ἐκ τῶν ἐπ' αὐτοῦ φερομένων πλασμάτων, ποιητικῇ χάριτι καθηδυνομένων, πολυωφελέσατον εἶναι μετιέναι, ᾗ Πλάταρχος ἐν τῷ πῶς χρὴ τῶν ποιημάτων ἀκούειν, λαμπρῶς „ ἐδήλωσε φάσκων: Ἐπεὶ δὲ, ὥσπερ ἐν ταῖς νομαῖς, ἡ μὲν „ μέλιττα διώκει τὸ ἄνθος, ἡ δὲ αὖξ τὸν θαλλὸν, ἡ „ δὲ ὗς τὴν ῥίζαν, ἄλλα δὲ ζῶα τὸ σπέρμα καὶ τὸν „ καρπόν, οὕτως ἐν ταῖς ἀναγνώσεσι τῶν ποιημάτων, ὁ μὲν ἁπανθίζεται τὴν ἱστορίαν, ὁ δὲ ἐμφύεται τῷ κάλλει καὶ τῇ κατασκευῇ τῶν ὀνομάτων, οἱ „ δὲ τῶν πρὸς τὸ ἦθος εἰρημένων ὠφελίμως ἔχονται. Οὕτω κτ:

Ἐπ' Ἀλκινόῳ καὶ Ἀρήτης περιόντων ἔτι τῷ βίῳ, ἑκατέρα τῶν ἐποχῶν ἀνάγεται: ἥτε τῆς τῶν Ἀργοναυτῶν ἐκστρατείας ἦλ:, καὶ ἡ

τῆς Ὀδυσσέως πλάνης ἡ μετὰ τὴν Τροίης ἅλωσιν. Τί τοίνυν, Σκαλίγερος μὲν (εἰς τὸ Εὐσεβ: χρονικ: περὶ τὸ ἀπὸ Ἀβραὰμ ἑπτακοσιοστὸν πεντηκοστὸν ἔτος) τὰ Ἀργοναυτικὰ, ἐκ τῶν Ἡρακλέους καὶ Κίρκης, καὶ Ἀσκαλάφου χρόνων. Πετάβιος δὲ, ἐν τῷ κατ' αὐτὸν χρονικῷ Λογισηρίῳ, (Μέρει Β'. τῆ Β'. Βιβλ: Κεφ. Θ'.) ἐκ τῶν τῆς Πριάμου Βασιλείας χρόνων προσδιορίσας ἠγωνίσαντο, δέον Ἀλκινόου τε καὶ Ἀρήτης μᾶλλον ἐπιμνηθῆναι, ἐν οἷς τὰ τῶν Ἀργοναυτῶν, καὶ τὰ κατὰ τὸν Ὀδυσσέα, ὡς ἐπὶ τὸν αὐτὸν χρόνον συμπεσεῖν ἔτυχε χρονικὸν ὅρον, τὰ μὲν προτερεύσαντα, τὰ δὲ ὑπάνυ πολὺ ὑστερήσαντα: ὅπερ ἐκ τῶν Ἀργοναυτικ: Συγγραφ: καὶ ἐκ τῶν Ὁμήρου Ῥαψῳδημάτων μυριάκις τὰ τοιάδε παρεισαγαγόντων ἐστὶ τεκμήρασθαι; Διασήτην ἓν τοῖς χρόνοις ἑκάτερα, ἔκαν δ' ἐτῶν ἐννέα ἐπὶ τοῖς ἑβδομήκοντα μεσολαβησάντων, κατὰ τὸν παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ παλαιὸν χρονολόγον: ᾧ δὴ καὶ Γάκωβος ὁ Καπέλλος σοιχεῖ, καὶ ἔπερ ὑπολὺ ἀπέχει ὁ παρ' Εὐσεβίῳ ἐπιλογισμὸς, καθ' ἑκατέραν, τήν τε Σκαλιγεριανὴν (λέγω) καὶ τὴν ποντακηνὴν ἔκδοσιν: ἀλλὰ δ' ἑνιαυτῶν τὸ πολὺ τεσσαράκοντα, (ἥτις ἦν ἡ Πεταβίε δόξα.) ἢ ἀμφὶ τὰ εἴκοσι συνελομένων, (ὡς ὑπείληφεν ὁ Σκαλίγερος.). Καίπερ οἱ τῶν εἰρημένων ἀνδρῶν ἐπιλογισμοὶ ἐπὶ θεμελίοις ἧττον ἑδραίοις βεβήκασιν· ὁ δὲ τῆ Πεταβίε, ἔτι καὶ μᾶλλον διασαλεύεται· τὰ γὰρ τετταράκοντα ἔτη (ἅπερ αὐτὸς ἔνθα εἴρηται· καὶ δὴ ἐν τῷ Α'. Μέρει τῆ Α'. Βιβλ: Κεφ. Γ'. ὑπέθετο:) ἐκ ἄλλοθεν ἔχει παραλαβὼν, ἢ ἐκ τῆ τὴν μικρὰν Γλιάδα συγγράψαντος, τὴν ὑπὸ Μιχαὴλ τῆ Νεάνδρε ἐκδοθεῖσαν· ἥτις ἅτε ὑποβολιμαίαν παρὰ τοῖς σοφοῖς ἀδόκιμος κρίνεται, καὶ ἐκ ἀξιόπιστος. Καθάπερ ἂν καὶ ἡ καταλογικὴ πλινθὶς τῶν ἐπὶ Τροίας βασιλευσάντων, ἣν ὁ Πετάβιος ἡμῖν ἐκ τῆ αὐτῆ Συγγραφέως προέθετο.

Ἀλλὰ γὰρ τῷ ἐκ τῆς Ὁμήρου Ποιήσεως τὰς Κερκυραϊκὰς Ἀρχαιολογίας ἐξανιχνέυοντι σκεπτέον πρὸ πάντων, εἰ τὰ περὶ τῆς Σχερίας καὶ τῶν Φαιάκων τῷ Ποιητῇ ῥαψῳδέμενα, περὶ Κερκύρας καὶ Κερκυραίων πάντη πάντως εἰρῆσθαι προσήκει νοεῖν. τὰ γὰρ ἐκ τῶν ἰσορηθέντων τοῖς πάλαι κοινῇ καὶ τοῖς ὕστερον πιστευόμενα, εἰσὶν οἳ ἐν τοῖς

ἀμφισβητησίμοις τάττεσι παρὰ Στράβωνι ἔκειν μὲν περὶ Σικελίαν τε καὶ Ἰταλίαν τὰς Ὀδυσσέως περιγράφοντες πλάνας, περὶ δὲ τὰ τῦ ὠκεανῦ ἐξώτατα γενέσθαι διατεινόμενοι. Περὶ τότε πλατύτερον διεξῆλθε Κλεβέριος ἐν τῷ τελευταίῳ Κεφαλαίῳ τῆς παλαιᾶς Σικελίας. τὰς γάρ τοι πλάνας ἐκείνας ἐν γένει ἐκ τῶν Ὁμήρε ἐκτιθέμενος, τὸν Οὐιργιλίε Αἰνείαν τῷ Ὀδυσσεῖ διηνεκῶς παραβάλλων ἀποδείκνυσι, μηδαμόσε τὸν Ὁμηρικὸν Ὀδυσσέα προεξενεχθῆναι, ἢ μὴ καὶ ὁ Οὐιργιλιακὸς Αἰνείας προσορμισθεὶς ὕσερον λέλεκται. Ἀλλ' ἅπερ ἰδιαίτερον ἐπανήκοντα ἐσὶ πρὸς Φαίακάς τε καὶ Σχέριαν, ταῦθ' ἡμεῖς κατ' εἶδος ἀνεξετάσομεν, τοῖς Εὐσαθίε τῦ Σχολιασῦ ποδηγετῆντος ἑπόμενοι ἔχνεσιν.

Ἐρατοσθένης μὲν ἔν καὶ Ἀπολλόδωρος παρὰ Στράβωνι, τὰς ἐν τῇ ἐσωτέρᾳ θαλάσσῃ τὰς Ὀδυσσέως ἐμπεριεκλείοντας διασύρσι πλάνας· καὶ Καλλιμάχῳ δὲ μάλισα τῷ Γραμματικῷ προσεπηρεάζσιν, ὅτι τὴν μὲν τῆς Καλυψῦς Νῆσον ἀντὶ τῆς Γαύδε, τὴν δὲ Σχερίαν ἀντὶ „τῆς Κερκύρας ἐξείληφεν. Ἠνὶ δὴ τὰ Στράβωνος ἐν βιβλ: Α'. Ἀπολ„λόδωρος δὲ ἐπιτιμᾷ Καλλιμάχῳ, συνηγορῶν τοῖς περὶ „Ἐρατοσθένην· διότι καίπερ Γραμματικὸς ὢν, παρὰ „τὴν Ὁμηρικὴν ὑπόθεσιν, καὶ τὸν ἐξωκεανισμὸν τῶν τό„πων, περὶ ὧν τὴν πλάνην φράζει, Γαῦδον καὶ Κόρκυραν „ὀνομάζει. Ἐν δὲ τῷ Ζ'. Βιβλ: Καὶ τοῖς μὲν ἄλλοις συγ„γνώμην εἶναι, Καλλιμάχῳ δὲ μὴ πάνυ, μεταποιεμένῳ „γε Γραμματικῆς, ὃς τὴν Γαῦδον Καλυψῦς Νῆσον φησὶ, „τὴν δὲ Κέρκυραν Σχερίαν.

Οὐκ ἂν ἔξαρνος γενοίμην, πλεῖσα πρὸς Ὁμήρε περὶ τῆς Σχερίας εἰρῆσθαι, ἐξ ὧν ὁ ταύτης **ἐκτοπισμὸς**, εἴτεν **ἐξωκεανισμὸς**, ἐπιφέρεται φάσα, ἃ προσφυέσερον Νήσῳ τινὶ τῦ Ἀτλαντικῦ πε κειμένῃ, ἢ τῇ ἡμετέρᾳ τῇ ἐγγὺς ἠπείρε κειμένῃ ἁρμόσειεν· ἐνεῦθεν γεμὴν, οὐδέν τις ἂν δικαίως ἐσβάλοιτο, ἀλλ' ἢ ὅτι τὰ πολλὰ Ὅμηρος ποιητικώτερον συνειλίσας, τ' ἀληθὲς συνεσκίασεν. Αὐτὸς γὰρ ὁ Στράβων

„ (ἐν τῷ Α'. Βιβλ:) ὑπὲρ Ο'μήρε ἀπολογέμενος: ἅτε δὴ, (φησὶ)
„ πρὸς τὸ παιδευτικὸν εἶδος ἀναφέρων τὲς μύθες ὁ Ποι-
„ ητὴς, ἐφρόντισε πολὺ μέρος τ'ἀληθῆς, ἐν δ'ἐτίθει καὶ
„ ψεῦδος· τὸ μὲν ὠποδεχόμενος, τῷ δὲ δημαγωγῶν, καὶ
„ ςρατηγῶν τὰ πλήθη. (Καὶ μετ' ὀλίγα:) Ε'κ μηδενὸς δὲ ἀλη-
„ θῆς ἀνάπτειν κενὴν τερατολογίαν, ἐχ Ο'μηρικόν· προ-
„ πίπτει γὰρ ὡς εἰκὸς, ὡς πιθανάτερον, ἂν ἔτωτι ψεύδοιτο,
„ εἰ καταμίσγοι τι καὶ ἀυτῶν τῶν ἀληθινῶν. Τέτοις συνάδει
„ καὶκεῖνο τὸ τῆ Λακταντίε ἐν τῷ Α'. Βιβλ: τῶν εἰσηγήσεων: Ο'ὐ
„ γὰρ οἱ Ποιηταὶ τὰ πεπραγμένα ἀνέπλασαν· εἶεν
„ γὰρ ἂν ἔτω ποιῆντες ἀνθρώπων κεφότατοι· ἀλ-
„ λὰ τοῖς διαπεπραγμένοις ποιάντινα χρόαν
„ προσῆψαν. Α'λλὰ γὰρ ἡμῖν τὰ τῆ Ο'μήρε, ἐφ' οἷς ὁ τῶν Φαι-
ἀκων ἐκτοπισμὸς ἐπικέχρωςαι, ὧδε παρ' Ε'υςαθίε καταλεκτέον.

Α'. Ο'δυς: Ζ'. Ναυσίθοος τὲς Φαίακας ἐπὶ τῆς Σχερείας κατα-
ςήσαθαι λέγεται.

„ . . . . . *Ε'νὰς ἀνδρῶν ἀλφηςάων.*

„ Περὶς ἅπερ Εὐςάθιος: τὸ δὲ *ἕνας ἀνδρῶν ἀλφηςάων*,
„ ἐκτοπισμόντινα τῆς Σχερίας παραλαλεῖ, ὡς
„ εἴπερ μὴ ἦν ἡ νῦν Κέρκυρα γνωριζομένη, ἀλλά
„ τις ἄγνωςος κατὰ τὴν Ω'γυγίαν. Ο'τι δὲ τοιῦ-
„ τον τι βέλεται, ᾗ περὶ τῆς Φαιακικῆς Σχερίας
„ ὁ Ποιητὴς, ἐν τοῖς ἑφεξῆς δηλωθήσεται σα-
„ φέςερον. Ο'ς γε, φησὶν, ἐδὲ ὠνόμασε Κέρκυραν
„ τὴν Σχερίαν, ἵνα μὴ ἐλέγχοιτο ῥᾳδίως, ὅτε
„ τῆς καθ' ἡμᾶς οἰκεμένης πλάττει ἀυτήν.

Β'. δὲ, ἐν τῷ ἀυτῷ τῆς Ο'δυσσείας Βιβλίῳ Ναυσικάαν ποιῶν περὶ
τῶν ἑαυτῆς Φαιάκων διηγεμένην:

„Οἰκέομεν δ' ἀπάνευθε πολυκλύσῳ ἐνὶ πόντῳ
„Ἔχατοι, ἀδέ τις ἄμμι βροτῶν ἐπιμίσγεται ἄλλος.

„Ἔνθα σημέωσαι, (φησὶν Εὐσάθιος) ὅτι ἐκ αὐτὸς „ὁ Ποιητὴς, ἀναιδῶς ἔτω τὴν τῶν Φαιάκων ἐκτο„πίζει γῆν, ἀλλ' ἡ Ὁμηρικὴ κόρη. Καὶ οἱ λοιποὶ „δὲ Φαίακες ἐχ ἕτως ἐδ' αὐτοὶ εἰδότες, ἐδὲ „πρὸς ἀλήθειαν λαλοῦντες, ἀλλ' ἐθέλοντες τοιοῦ„τοι δοκεῖν τοῖς πολλοῖς διὰ τὸ ἀνεπιβέλευτον· „ἵνα δηλ: μὴ πολεμοῖντο φθονέμενοι διὰ τὴ „τῆς χώρας εὐδαιμον: ὑ πολλαχῆ γίνεται.

„Εἶτα προσίθησιν: Ἰς έον δὲ, ϗ ὅτι ἀσεώς ἡ κόρη τὸ „ψεῦδος σοφίζεται: οἰκοῦσι γὰρ ἀπάνευθε τῶν „Κυκλάδων οἱ Φαίακες, ϗ πολυκλύσῳ ἐνὶ πόν„τῳ, καθὰ Νησιῶται, ϗ ἔχατοι ἐκεῖ πρὸς τῇ „Ἠπείρῳ· ϗ ἔτις αὐτοῖς ἐπιμίσγεται ἁπλῶς „δίχα τοῦ πλεῦσαι.

Γ'. Καὶ διὰ τοῦ τῶν ὀπωρῶν ἐνδελεχισμοῦ, τὸν Ποιητὴν (ἐν Ὀδυσ: Η'.) φησὶν Εὐσάθιος, τὸν τῆς Σχερίας ἐκτοπισμὸν ἐπεισάγειν: „Ἰς έον δὲ, ὅτι ψεῦδος μὲν ἐπὶ τῶν ἀληθινῶν „Φαιάκων τὸ ἕτω παραμονον τῶν καρπῶν· ἄλως „μέντοι ἐπὶ πολὺ τοῦ ἔτους διαρκοῦσι ϗ ἐκεῖ οἱ „καρποὶ, ὡς οἴδασιν οἱ πείρᾳ μαθόντες. Ὁ μη„ρος δὲ ἐκτοπίζων τὴν Φαιακίαν κατά τινα, „ὡς ϗ προεδηλώθη, ποιητικὴν τερατείαν, ϗ „πορρωτάτω μετάγων, ὑπερβάλλει τοιαῦτα „πλάττων περὶ αὐτῆς, ὡς εἴπερ Νῆσος ἦν τῶν „Μακάρων τοῖς ἀκέσσιν ἀνεξέλεγκτος.

Τελευταῖον δὲ καὶ Μακάρων Νῆσον τὴς Φαίακας οἰκεῖν καθ' Ὅμηρον εἰσβάλλει Εὐσάθιος, ἐκ τῆς παρ' αὐτὲς ἐπεισόδε τῦ Ραδαμάνθυος, περὶ ἧς ἐν τῷ Η'. τῆς Ὀδυσ: ὁ Ποιητὴς, καὶ ἡμεῖς κατω-
„τέρω. Φαίνεται γὰρ (φησὶν ὁ Παρεκβολεὺς) παραλαλεῖν
„τὸν Ἀλκίνοον, ἐγγίζειν τὴν κατ' αὐτὸν γῆν
„τῇ τῶν Μακάρων Νήσῳ, ἔνθα ἦν ὁ Ῥαδάμανθυς·
„ὅθεν καὶ τὴν προϊσορηθεῖσαν εὐδαιμονίαν εἶναι
„παρὰ Φαίαξιν, ὡς εἰ καὶ Νῆσον ὤκεν Μακάρων.
„Τὸ δ' αὐτὸ ὡσάυτως καὶ ὁ Σχολιαςὴς Δίδυμος συνεπέραινεν.

Ἐκ τῶν τοιῶνδε ἐπεισοδίων, (κατά γε Στράβωνα:) τὰ θέλγητρα
„τῆς Ὁμηρικῆς Ἀναγνώσεως τεχνεργεῖται. Ὅταν γὰρ προσῇ
„ἡ τὸ θαυμασὸν καὶ τὸ τερατῶδες, ἐπιτείνει τὴν
„ἡδονὴν, ἥπερ ἐσὶ τῦ μανθάνειν φίλτρον.

Τἐναντίον γεμὴν ἐν ἄλλοις, φύκες ἄνευ ὁ Ποιητὴς τ' ἀληθὲς ἔμφανίζων ἐπεξεκάλυψε τὴν γνησίαν τῆς Σχερίας κατάθεσιν· ὡς ὅτε ἐπὶ τῶν προοιμίων τῆς Ὀδυσσείας περὶ τῆς τροφῦ λέγων τῆς Ναυσικάας:

„Γρηῢς ἀπειραίη Θαλαμηπόλος Εὐρυμέδσα
„Τήν ποτ' ἀπείρηθεν νέες ἤγαγον ἀμφιέλισσαι·
„Ἀλκινόῳ δ' αὐτὴν γέρας ἔξελον . . . . . .

„Εἰς ἅπερ Εὐσάθιος, Σημείωσαι, ὅτι ὁ ποιητὴς τὴν
„Φαιακίαν ἐκτοπίζειν ἐθέλων διὰ τὸ τερατωδέ-
„στερον, ἐνταῦθα ἐνέφηνε τὴν ἀληθῆ θέσιν αὐ-
„τῆς, πλάσας τὴν βασιλικὴν Θαλαμηπόλον γραῦν
„ἐκεῖθεν ποθὲν ἀχμαλωτισθεῖσαν ἐκ τῆς ἀντιπέ-
„ρας γῆς, ἰδίως ἕτω καλεμένης Ἠπείρε, ἃς
„καὶ ἐν ἄλλοις ἐγράφη, ὁμωνύμως ὅλη τῇ γῇ.

Παρὰ ταῦτα δὲ, ὅτε (ἐν προοιμ: τῆς Ὀδυσ: Θ'.) Ἀλκίνοος λέγει:

„Ἡμεῖς δ' ὡς τὸ πάρος περ ἐπωτρυνώμεθα πομπὴν·
„Οὐδὲ γὰρ ἀδέ τις ἄλλος, ὅτις κ' ἐμὰ δώματ' ἵκηται,
„Ἐνθάδ' ὀδυρόμενος δηρὸν μένει εἵνεκα πομπῆς.

Ἐξ ὧν Εὐσάθιος ἐπιφέρει: ἐκ ἄρα πάντη ἐκτετοπισ-
„μένοι ἦσαν κατὰ τὸν μῦθον· ἀλλ' ὑπεμφαίνει πε
„ρὶ τοῦ ἀληθὲς ὁ Ποιητής.

Αὖθις (Ὀδυσ: Ν'.) ἔνθα ἐν Ἰθάκῃ ἐνορμιθῆναι οἱ Φαίακες λέγονται: **Πρὶν εἰδότες:** (Εὐσάθιος δὲ Σχολιογραφῶν:) πότε
„εἰδότες, ἢ πῶς; ἔφησιν ὁ Ποιητὴς, ἀλλ' ἀφίησι
„νοεῖν ὅτι οἴδασιν, ὡς εἰκὸς, Φαίακες Κερκυραῖοι
„ὄντες Ἰθακησίοις γείτονες. Τῷ γὰρ ἐκτοπισμῷ
„πλάσματος ὄντος, ἀληθὲς ἐστὶ τῆς κατὰ Φαια
„κίαν Κεφαλληνίας ἐπολὺ ἀπέχειν τὴν Ἰθάκην.
Τῶν μὲν ἓν Λατίνων οἱ ἑρμηνεύσαντες Ὅμηρον, ἄλλως πως, ἤπερ Εὐσάθιος, τὰ ῥηθέντα ἐξέλαβον· τὸ γάρ τοι, πρὶν εἰδότες, ἀντὶ τοῦ, πρὶν ἤπερ ἂν εἰδεῖεν ἐνόησαν: ὡς ἐν τῇ Βαρνεσίᾳ ἐκδόσει ἀναγι-
„νώσκεται: Ἀλλ' Εὐσάθιος ὧδε προσέθετο: Πάνυ πιθανῶς ἐν-
„ταῦθα ἐῤῥέθη τὸ πρὶν εἰδότες, ἵνα εἰκοτολογηθῇ
„τὸ ἐν νυκτὶ τολμῆσαι τοὺς Φαίακας, ἐπεῖξαι κατὰ
„τῆς χέρσου κώπαις ὅλαις τὴν νῆα.

Ἄλλως τε δ' ἔτι, καὶ τὴν Σχερίας θέσιν πρὸς Ὅμηρον, φησὶν Εὐσάθιος, δηλωθῆναι, ἐν ᾧ τὰς ἀπειλὰς Ποσειδῶνος (περὶ ὧν ἐν ἰδίῳ τόπῳ) διεξιὼν, ἐτολμᾷ μέντοιγε, φησὶ, προσθεῖναι, εἰ εἰς τέλος

περιέχθησαν. Οὐ τολμᾷ μέντοι καὶ εἰπεῖν ἐκβῆναι τὰς „ἀπειλὰς εἰς τέλος, τὸ τῆς ἰσορίας δυσωπέμενος „ἀληθὲς· ἡ γὰρ τῶν Φαιάκων σώζεται φανερῶς.

Ὁ δέ γε παρασυνάπτει Εὐσάθιος αὐτόθι: Λίθον ἐκεῖ πε „περίοπτον κείμενον ἐν θαλάσσῃ περὶ Κέρκυραν „νηὸς φαντασίαν πέμπειν, αὐτὸ τοῦτο καὶ Πλίνιος, πολὺ πρὸ τοῦ Εὐσαθίου παρέδωκεν (ἐν Βιβλ: Δ'. Κεφ: ΙΒ'.) γράψας: A Phalacro Corcyrae Promontorio ſcopulus, in quem mutatam Uliſſis navem, a ſimili ſpecie, fabula eſt (Εἰς „τὸν ἀπ' ἄντικρυ τοῦ Φαλακροῦ τοῦ ἐν Κερκύρᾳ Α'κ„ρωτηρίου προκύπτοντα σκόπελον τὴν Ὀδυσσέως „ναῦν μεταποιηθῆναι, μῦθός ἐστι.) Τὸ δ' αὐτὸ καὶ ὁ Πολυΐστωρ, καὶ ὁ Σολῖνος παραδεδώκατον.

Ἀλλὰ γὰρ ἐδαμοῦ ἐμφανέστερον Ὅμηρος τὴν Κερκύρας θέσιν ἔοικεν ἀνακεκαλυφέναι, ἢ ἐν τῷ Ξ'. τῆς Ὀδυσ: ἐν οἷς Ὀδυσσεὺς ὑπὸ χήματι τῷ τοῦ προσαίτου Κρητὸς λανθάνων, τὰ συνενεχθέντα οἱ ἐν Κερκύρᾳ ὑπεξέφηνε τῷ Εὐμαίῳ, τα ψεύδεα τοῖς ἀληθέσι συγκαταμίξας:

„Ἐννῆμαρ φερόμην· δεκάτῃ δέ με νυκτὶ μελαίνῃ,
„Γαίῃ θεσπρωτῶν πέλασεν μέγα κῦμα κυλίνδον·
„Ἔνθα με θεσπρωτῶν βασιλεὺς ἐκομίσσατο Φείδων
„Ἥρως ἀπριάτην· τοῦ γὰρ φίλος υἱὸς ἐπελθὼν,
„Λίθρῳ καὶ καμάτῳ δεδμημένον ἦγεν ἐς οἶκον,
„Χειρὸς ἀνασήσας ὄφρ' ἵκετο δώματα πατρὸς·
„Ἔνθ' Ὀδυσῆος ἐγὼ πυθόμην· κεῖνος γὰρ ἔφασκε
„Ξεινίσαι, ἠδὲ φιλῆσαι, ἰόντ' ἐς πατρίδα γαῖαν.

* * * * * * * * * * * * * * * * *

„ Τόν δ' ἐς Δωδώνην φάτο βήμεναι, ὄφρα Θεοῖο
„ Ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακούσῃ,
„ Ὅππως νοσφίσῃ Ἰθάκης ἐς πίονα δῆμον.

Τῆς ἦν Θεσπρωτίας, καὶ τῷ Ναῷ τῷ Δωδωναίῳ Διὸς ἐπὶ τῆς ἀντιθέτου τῇ Κερκύρᾳ χέρσου, ἤτοι ἐπὶ τῆς Ἠπείρου κειμένων, ἀναμφίρισον ἐστὶ δῆπου, μὴ ἄλλην Νῆσον τινὰ, Σχερίαν τὸν Ποιητὴν ὀνομάσαι, ἢ τὴν Κέρκυραν. ἐδὲ δῆμον ἄλλον Φαίακας, ἢ τοὺς Κερκυραίους αὐτούς.

ΚΕΦΑΛ. Ζ'.

Τῆς τοίνυν περὶ τὴν Σχερίας κατάθεσιν ἀμφισβητήσεως ἐκ ποδῶν γενομένης, τὴν πρωτεύουσαν νῦν τῶν ἐπὶ τῆς Νήσου πόλεων, καὶ τὰ ἐν αὐτῇ Ἀνάκτορα, καὶ τοὺς Ἀλκινόου κήπους εἰσιόντες περισκεψώμεθα,

Τὸ μὲν ἓν τῆς πόλεως εἶδος, ὅτως ἡ παρ' Ὁμήρῳ Ναυσικάα περιγράφουσα τῷ Ὀδυσσεῖ φέρεται.

„ . . . . . Ἐγὼ δ' ὁδὸν ἡγεμονεύσω:
„ Αὐταὶ ἐπὴν πόλεως ἐπιβήσομεν, ἣν πέρι πύργος
„ Ὑψηλὸς, καλὸς δὲ λιμὴν ἑκάτερθε πόληος·
„ Λεπτὴ δ' εἰσίθμη· νῆες δ' ὁδὸν ἀμφιέλισσαι
„ Εἰρύαται· πᾶσιν γὰρ ἐπίσιον ἐσὶν ἑκάστῳ·
„ Ἔνθάδε τε σφ' ἀγορὴ, καλὸν Ποσιδήϊον ἀμφὶς,
„ Ῥυτοῖσιν λάεσσι κατωρυχέεσσ' ἀραρυῖα·
„ Ἔνθα δὲ νηῶν ὅπλα μελαινάων ἀλέγουσι

„ Πείσματα, καὶ σπείρας, καὶ ἀποξύνασιν ἐρετμά.

Ὡς δ' Ὀδυσσεὺς πρῶτον εἰσέδυ τὴν πόλιν ἐθαύμασεν (Ὀδυσ: Ζ'.)

„ . . . . . Λιμένας καὶ νῆας ἐίσας
„ Αὐτῶν θ' Ἡρώων ἀγορὰς, καὶ τείχεα μακρὰ,
„ Ὑψηλὰ, σκολόπεσσιν ἀρηρότα, θαῦμα ἰδέσθαι.

Ἀλλ' ἀδὲν τῶν ἐν τῇ πόλει ὑπῆρχε τῶν Ἀλκινόε δόμων θαυμασιώτερον· (αὐτ: Ὀδυσ:) διὸ Ναυσικάα τῷ Ὀδυσσεῖ:

„ Καὶ τότε Φαιήκων ἴμεν ἐς πόλιν, ἠδ' ἐρέεσθαι
„ Δώματα πατρὸς ἐμοῦ μεγαλήτορος Ἀλκινόοιο.
„ Ῥεῖα δ' ἀρίγνωτ' ἐσὶ, καὶ ἂν πάις ἡγήσαιτο
„ Νήπιος· ἀ μὲν γάρ τοι ἐοικότα τοῖσι τέτυκται
„ Δώματα Φαιήκων, οἷος δόμος Ἀλκινόοιο
„ Ἥρωος. . . . . .

Καὶ ταῦτ' ἄρα Ὀδυσσεὺς μέγα ἠγάσσατο· (αὐτ:)

„ . . . . . Αὐτὰρ Ὀδυσσεὺς
„ Ἀλκινόε πρὸς δώματ' ἴε κλυτὰ· πολλὰ δέ οἱ κῆρ
„ Ὠρμαιν' ἰσαμένῳ, πρὶν χάλκεον ἔδον ἱκέσθαι.
„ Ὣς γὰρ ἠελίε ἄγλη πέλεν, ἠὲ σελήνης,
„ Δῶμα καθ' ὑψερεφὲς μεγαλήτορος Ἀλκινόοιο.
„ Χάλκεοι μὲν γὰρ τοῖχοι ἐληλάδατ' ἔνθα καὶ ἔνθα
„ Ἐς μυχὸν ἐξ οὐδοῦ, περὶ δὲ θριγκὸς κυάνοιο.
„ Χρύσειαι δὲ θύραι πυκινὸν δόμον ἐντὸς ἔεργον·
„ Σταθμοὶ δ' ἀργύρεοι ἐν χαλκέῳ ἕσασαν οὐδῷ·
„ Ἀργύρεον δ' ἐφ' ὑπερθύριον, χρυσέη δὲ κορώνη,

„ Χρύσεοι δ' ἑκάτερθε καὶ ἀργύρεοι κύνες ἦσαν·
„ Οὓς Ἥφαιστος ἔτευξ' ἀδίηισι πραπίδεσσι,
„ Δῶμα φυλασσέμεναι μεγαλήτορος Ἀλκινόοιο,
„ Ἀθανάτους ὄντας, καὶ ἀγήρως ἤματα πάντα.
„ Ἔν δὲ θρόνοι περὶ τοῖχον ἐρηρέδατ' ἔνθα καὶ ἔνθα,
„ Εἰς μυχὸν ἐξ οὐδοῖο διαμπερὲς, ἔνθ' ἐνὶ πέπλοι
„ Λεπτοὶ ἔυνητοι βεβλήατο, ἔργα γυναικῶν.

Τῆς τοιᾶς δε τῶν δωμάτων ἐυπρεπείας καὶ καλλονῆς, ἐδέν ἐνδέεσαν τὴν τρυφήν τε καὶ πολυτέλειαν τῶν Ἀλκινόϛ παραδείσων Ὀδυσσεὺς ἐθεάσατο ἐφεξῆς: οὕς τινας ἔσιν ὃς τῶν Λατίνων πατέρων ὕστερον, ὄνομα Bonjour, ἀνὴρ σοφίᾳ διαπρέπων (ἥπερ αὐτὸν ὁ Συγγραφεὺς ἐπικλείζει:) ἐκ τῆ ἐν Ἐδέμ ἐν Ἱερᾶϊς περιγραφομένϛ παραδείσϛ Βίβλοις, ἠγήσατο ὑποτυπωθῆναι. Ἐξ ὧν δὴ καὶ οἱ Ἀλκινόϛ κῆποι ἐλήφθησαν εἰς παροιμίαν· καὶ συχνὰ τότων παρὰ τοῖς Ποιηταῖς, μάλιϛα Λατίνοις, τὰ τῆς ἐν ὀπώραις καλλικαρπίας ἐγκώμια πλέκεται: οἷον παρ' Ὀυιδίῳ ἐν ταῖς Μεταμορφώσεσιν, (ὡς ἐν τῇ ΙΓ'.)

Proxima Phaeacum felicibus obſita pomis
Rura petunt. . . . . .

(Τὰς ἔγγιϛα Φαιακίοις μακαρίοις ἐμφράκτας μήλοις
Ἀγρὰς μετίασιν. . . . . .

Καὶ παρὰ τῷ Ἰϐεναλίῳ, ἐν Σατύρ: Ε'.

. . . . . Illa jubebit
Poma dari quorum ſolo paſceris odore,
Qualia perpetuus Phaeacum autumnus habet.

Ψ ψ

„ . . . . . (Ἣ δὲ κελεύσει

„ Μῆλα δοθῆναι, ὧν μόνη βόσκοι τῇ ὀσμήσει,

„ Οἷα διαμπερὲς τὸ Φαιάκων μετόπωρον ἴσχει.)

Καὶ Προπέρτιος δὲ ἐν Α'. Ι. γράφων:

Nec mea Phaeacas aequant pomaria ſylvas.

„(Οὐδ' ἡ μοὶ Φαιακείοις ἰσάνται μηλεῶνες δρυμόσιν.)

Καὶ Παπίνιος Βιβλ: Α'. τῶν Ἄλσεων, Γ'.

Quid bifera Alcinoi referam pomaria? vosque
Qui nunquam vacui prodiſtis in aethera rami?

„(Τί τὰς διφόρους Ἀλκινόου ἄπωρ μηλεῶνας; ὑμᾶς τε

„ Οἳ ἔποτε κενοὶ πρὸς ἀνύψατε εἰς αἰθέρα κλῶνες;)

Καὶ ἄλλως δέ πως πεπαροιμίασαι: Alcinoo poma dare, τῷ Ἀλκινόῳ ὀπώρας παρέχειν: ἐπειδάν τις τινὶ προσάγῃ, ὧν ἔτος ἐν περισσίᾳ ἐστὶν ἀπολαύων ἀφθόνως. Ἔνθεντοι ὁ Μαρτιάλιος, ἐν τῷ Β'. τῶν πρὸς Καικίλιον:

Tam mala cur igitur dederim tibi carmina quaeris?
Alcinoo nullum poma dediſſe putas?

„(Οὕτω φαῦλα τί τοίνυν παρέχον σοι ἔπη πυνθάνῃ;

„Ἀλκινόῳ μῆλα μηδένα παραχεῖν ποτε οἴῃ;)

Μέτιθι δὲ περὶ ἑκατέρων [τῶν παροιμιῶν τέτων, τὰς Ἀδριανῆ Γενίᾳ ἑκατοντάδας.

Τὰ δ' Ὀμήρε ἔπη ταῦτα ἐστίν:

„ Ἔντοσθεν δ' αὐλῆς μέγας ὄρχατος ἄγχι θυράων
„ Τετράγυος· πέρι δ' ἕρκος ἐλήλαται ἀμφοτέρωθεν·
„ Ἐνθάδε δένδρεα μακρὰ πεφύκει τηλεθόωντα,
„ Ὄγχναι, καὶ ῥοιαὶ, καὶ μηλέαι ἀγλαόκαρποι·
„ Συκαῖ τε γλυκεραὶ, καὶ ἐλαῖαι τηλεθόωσαι,
„ Τάων οὔποτε καρπὸς ἀπόλλυται, οὐδ' ἀπολείπει,
„ Χείματος, οὐδὲ θέρευς, ἐπετήσιος· ἀλλὰ μάλ' αἰεὶ
„ Ζεφυρίη πνείουσα τὰ μὲν φύει, ἄλλα δὲ πέσσει·
„ Ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει, μῆλον δ' ἐπὶ μήλῳ,
„ Αὐταὶ ἐπὶ σταφυλῇ σταφυλὴ, σῦκον δ' ἐπὶ σύκῳ.
„ Ἐνθάδε οἱ πολύκαρπος ἀλωὴ ἐρρίζωται·
„ Τῆς ἕτερον μὲν θαλόπεδον λευρῷ ἐνὶ χώρῳ,
„ Τέρσεται ἠελίῳ· ἑτέρας δ' ἄρα τε τρυγόωσιν,
„ Ἄλλας δὲ τραπέουσι· πάροιθε δέ τ' ὄμφακες εἰσὶν,
„ Ἄνθος ἀφιεῖσαι, ἕτεραι δ' ὑποπερκάζουσιν.
„ Ἐνθάδε κοσμηταὶ πρασιαὶ παρὰ νείατον ὄρχον
„ Παντοῖαι πεφύασιν, ἐπηετανὸν γανόωσαι.
„ Ἐν δὲ δύω κρῆναι, ἡ μέν τ' ἀνὰ κῆπον ἅπαντα
„ Σκίδναται, ἡ δ' ἑτέρωθεν ὑπ' αὐλῆς ὁδὸν ἶσι
„ Πρὸς δόμον ὑψηλὸν, ὅθεν ὑδρεύοντο πολῖται.

Ὁ μὲν ἓν Διονύσιος ὁ Περιηγητὴς, λιπαρὰν τὴν Κερκύραν εἶπε διὰ τὸ πολύκαρπόν τε καὶ εὔκαρπον κατ' Εὐσάθιον· ὁ δ' Ἀπολλώνιος ἐν τοῖς Ἀργοναυτικοῖς (Βιβλ: Δ'.) πίειραν: ἀμφιλαφὴς

πίειρα: Ἄλλως γε μὴν τὸ ἀμφιλαφὴς, ὁ τότε Σχολιαστὴς ἐξε-
„δέξατο, ἑρμηνεύσας: Ἀμφιλαφὴς: ἀμφοτέρωθεν ἐπι-
„τηδείως πρὸς ὅρμον ἔχουσα. Καλλίμαχος δὲ ἀμφίδυμον
εἶπε τὸν ἀμφιλαφῆ λιμένα. Ἱστορικῶς δὲ Ἀπολλώνιος ἀμφιλαφῆ
τὸν λιμένα φησίν. Ἱστορεῖ δὲ περὶ τῶ λιμένος τῶν Φαιάκων Ἀπολλωνίδης
ἐν τῷ περίπλῳ τῆς Εὐρώπης. Τὸ δέ τοι ἑκατέρωθεν τῆς Φαιάκων πό-
λεως λιμένα κεῖσθαι ἀνωτέρω καὶ Ὅμηρος παρέδωκεν: ἀλλὰ Σκύλαξ ὁ
Χαρυανδηνὸς ἐν τῷ περίπλῳ, καὶ Τρίτον ἔτι λιμένα προσέθετο·
„Κατὰ δὲ Χαωνίαν Νῆσος ἐστὶ Κόρκυρα, καὶ πόλις
„Ἑλληνὶς ἐν ταύτῃ, λιμένας ἔχουσα τρεῖς κατὰ
„τὴν πόλιν: τέτων εἷς κάλλιστος.

ΚΕΦΑΛ. Η'.

Τὰ περὶ τὴν θρησκείαν, καὶ τὴν τῶν Θεῶν θεραπείαν ἐπιμελῶς
σπεδάσαι τὸς Φαίακας, Ὅμηρος ἐσὶν ἐπιμαρτυρῶν, ἀγχιθέως
προσαγορεύσας, ὥσε καὶ τῆς παρὰ τῶν Θεῶν ἀξιῶσθαι ἐπιφανείας,
ὡς Ἀλκίνοος διεξῆει: (Ὀδυσ: Η'.)

„Ἀιεὶ γὰρ τὸ πάρος γε Θεοὶ φαίνονται ἐναργεῖς
„Ἡμῖν, εὖ θ' ἕρδομεν ἀγακλυτὰς ἑκατόμβας·
„Δαίνυνταί τε παρ' ἄμμι καθήμενοι, ἔνθα περ ἡμεῖς·
„Εἴ δ' ἄρα τις καὶ μόνος ἰὼν ξύμβληται ὁδίτης,
„Οὔ τι καταπρύπτεσιν, ἐπεὶ σφίσιν ἐγγύθεν εἰμὲν·
„Ὥσπερ Κύκλωπές τε, καὶ ἄγρια φῦλα γιγάντων.

Ἀμέλει τοὶ αὐτοῖς, ἅτε Θεοφιλέσιν, οἱ Θεοὶ ἐπήμυνον ἑτοίμως. Ἐνθεντοι καὶ ἡ Ναυσικάα τῆ Ὀδυσσέως ἐπιφανέντος, παρήνει ταῖς θεραπαίναις μηδαμῶς πτήσσειν (Ὀδυσ: Ζ'.)

„Στῆτε μοι ἀμφίπολοι, πόσε φεύγετε, φῶτα ἰδῆσαι;
„Ἦ μήπω τινὰ δυσμενέων φάθ' ἔμμεναι ἀνδρῶν;
„Οὐκ ἔθ' ὅτος ἀνὴρ διερὸς βροτὸς, ὐδὲ γένηται,
„Ὅς κεν Φαιήκων ἀνδρῶν ἐς γαῖαν ἵκηται
„Δηϊοτῆτα φέρων· μάλα γὰρ φίλοι ἀθανάτοισιν.

Ὑπῆρχον δὲ τοῖς Φαίαξι Θεοὶ κατ' ἐξοχὴν προσάται Ζεύς. Ζηνὶ καὶ γὰρ Κασίῳ Νεὼς ἐπὶ τῆς νήσου ἱερωτο, ὡς ἱστορεῖ Πλίνιος, Βιβλ: Δ'. Κεφ: ΙΒ'.) τεθ' ὃ καὶ τὰ Κερκυραϊκὰ δηλῶσι νομίσματα, τὰ ὑπὸ τῆ Ἀνδρέα τῆ Μαρμαρᾶ προβαλλόμενα, ἐφ' οἷς ἐπιγέγραπται: ΖΕΥΣ ΚΑΣΙΟΣ. Καὶ ὁ ὑπὸ Ἀλκινόα δὲ τυθεὶς βῶς (Ὀδυσ: Ν'.) Ζηνὶ μελαινεφεῖ Κρονίδῃ. Καὶ τὸ ἐν τῇ ἀνθολογίᾳ (Βιβλ: Α'. Κεφ: 30.) Γαλίε Πολυαίνε ἐπίγραμμα:

„Εἰ καὶ σεῦ πολύφωνος ἀεὶ πίμπλησιν ἀυδὰς
„Ἦ φόβος ἐυχομένων, ἢ χάρις ἐυξαμένων,
„Ζεῦ, Σχερίης ἐφέπων ἱερὸν πέδον· ἀλλὰ κὴ ἡμων
„Κλῦθι, κὴ ἀψευδεῖ νεῦσον ὑποχεσίῃ.

Ἐπίσημον δὲ λίαν γενέσθαι Ζηνὸς τὸ Κασίε ἐπώνυμον, παρέδωκε κὴ Λακτάντιος (Βιβλ: Α'. Κεφ: ΚΒ'.) ἀπὸ ὄρους Κασίε, καὶ τῆς Αἰγυπτιακῆς πόλεως, λέγων, (ἐκ Στεφάνε ἐν τοῖς περὶ πόλ:) αὐτὸ παρειλῆφθαι. Ἰώσηπος δὲ ὁ Γαλλος περὶ τῆ Δακ-

„ταντίῳ ῥηθέντος, (ἐν Ἐκδόσ: τῇ ἐν Βαταβίῳ) γράφων: ἠγνοη-
„κέναι (φησὶν) ἔοικεν, ὅτι Ζεὺς ὁ Κάσιος, ἐ μόνον
„ἐν Αἰγύπτῳ, ἀλλὰ καὶ ἐν Φαιακίᾳ Ναον ἦν ἔχων
„εἰς θεραπείαν αὐτῷ ἀνατεθειμένον. Ναὸν ἐκεῖνον,
„ἐν ᾧ Νέρων (ἣ λέγει Σβετόνιος ἐν τῷ αὐτῦ βίῳ Κεφ: ΚΒ'.) ὡς
„πρῶτον ἐς Κασσιώπην ἐπεραιώθη. Statim ad aram
Jovis Caſſii cantare auſpicatus eſt. (Αὐτίκα πρὸς τὸν βω-
μὸν Διὸς τῦ Κασσίε ἤρξατο ᾄδειν.) Ἦν δ' ἡ Κασσιώπη, Ἄ'συ Κερ-
κύρας διάσημον ὡς εἴρηται, τὸ ὑπὸ Σβετονίε, ὡς ἐγ' ὦμαι, ἐσφηδὲν· εἰ μὴ
τὴν Κασσιώπην ἕτεροι ἐπὶ τῆς Κερκύρᾳ ἀντικειμένης χέρσε ὑπέθεντο.
Τὸ δέ τοι Κάσιος καὶ Κάσσιος, γραφόμενα ἀδιαφορεῖ.

Ὡσαύτως καὶ Ποσειδῶνος παρὰ Φαίαξιν ἐτυπῦτο νομίσματα εἶ-
δος ἔχοντα, τὰ ὑπὸ Ἀνδρέε τῦ Μαρμαρᾶ προβαλλόμενα. Εἰκὸς γὰρ
Φαίακας τὸν Θεὸν διαφερόντως εἶναι γεραίροντας, ὡς ἐξ αὐτῦ τὸ
γένος ἄγειν νομίζοντας, τῦ καὶ θαλάσσης ἐπιδεσποτεύοντος, ἐν ᾗ πλεῖ-
σα ὑπῆρχον ἰχύοντες. Οὐ γὰρ (καί τοιγε Ποσειδῶνος πρὸς Ζῆνα ποτ-
νιωμένε ὑπὸ Φαιάκων ὑπερορᾶσθαι: (Ὀδυσ: Μ'.)

„. . . . . Βροτοὶ ἅτι τίεσι
„Φαίηκες τοί περ ἐμῆς ἐξ εἰσὶ γενέθλης.

Οὐ δ' ἦν ἡ κατὰ τέτων αὐτῦ ἐκδικία, ὧν τὴν Ναῦν ἐξ Ἰθάκης
ἐπανιόντων:

„. . . . . Λᾶαν ἔθηκε καὶ ἐρρίζωσεν ἔνερθε
„Χερὶ καταπρηνεῖ ἐλάσας . . . . . .

Τῆς προσηκέσης τῷ Θεῷ θεραπείας ἀπέτρεψε Φαίακας, τὸς μηδ' ἐν τῇ ἐκπομπῇ τῇ τῦ Ὀδυσσέως, ὕβριν τῷ Ποσειδῶνι τινὰ μελετή-
σαντας. Αὐτίκα καὶ γὰρ Ποσειδῶνα ἐξιλάσασθαι δυηπολίαις ἔσπευσαν· καὶ

τῶ περὶ τὰς ἀνδρῶν ἐκπομπάς, τόγε ἑξῆς, ἀφέξεθαι πρέθεντο. Ὁ δ' Ἀλκίνοος εἰς λίθον τὴν ναῦν τραπεῖσαν ἰδὼν, παρὰ χρῆμα τοιάδε τοῖς Φαίαξιν ἐνετείλατο:

„ Δεῦρ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες·
„ Πομπῆς μὲν παύσαθε βροτῶν, ὅτε κέντις ἵκηται
„ Ἡμέτερον προτὶ ἄστυ. Ποσειδάωνι δὲ Ταύρως
„ Δώδεκα κεκριμένως ἱερεύσομεν, αἴ κ' ἐλεήσῃ.
„ Μηδ' ἡμῖν περίμηκες ὄρος πόλει ἀμφιπαλύψῃ.

Καὶ μὲν δὴ καὶ Κερκύρᾳ τῇ θυγατρὶ Ποσειδῶνος, Νύμφῃ τε ἔσῃ, τιμὰς πρὸς Φαιάκων ὁσιωθῆναι, ἐκ πολλῶν παρὰ τῶ Μαρμαρᾶ προενεχθέντων φανερὸν γίνεται Νομισμάτων, ταύτης τε τὸ πρόσωπον παριςώντων, καὶ τὴν ἐπιγραφὴν τῶ ὀνόματος.

Ἀλλὰ καὶ τῷ Ἑρμῇ, τὰς Φαίακας σπένδοντας Ὀδυσσεὺς τὸ Ἀνάκτορον εἰσελθὼν (Ὀδυσ: Η'.) κατεῖδεν:

„ Εὗρε δὲ Φαιήκων ἡγήτορας ἠδὲ μέδοντας,
„ Σπένδοντας δεπάεσσιν εὐσκόπῳ Ἀργειφόντῃ·
„ Οἳ πυμάτῳ σπένδεσκον, ὅτε μνησαίατο κοίτου.

Τὰς δέ τοι Ἑρμῇ τελεμένας σπονδὰς μετὰ τὴν εὐωχίαν ἀναφέρει Ἀθήναιος (ἐν τῷ Α'. Βιβλ:) αἰτίαν ἐπάγων: Δοκεῖ γὰρ Ἑρμῆς, ὕπνου προςάτης εἶναι.

Καὶ Ἀθηνᾶν δὲ, καὶ Ἀπόλλωνα ἐν τιμῇ παρὰ τοῖς Φαίαξι γενέσθαι ἐκ ἄλλοθεν εἰσβάλλω, ἢ ἐξ ὧν Ἀλκίνοος Ὀδυσσέα εἰς γαμβρὸν θέσθαι ποθήσας ἤυξατο: (Ὀδυσ: Η'.)

„ Αἲ γαρ Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον!

Καὶ Βάκχῳ δὲ, καὶ τῷ τότε υἱεῖ Διονέῳ τινὰ τῶν Κερκυραϊκῶν Νομισμάτων ὁ Μαρμαρᾶς ἀπονέμει, διὰ τὸ ἔμπροσθεν μὲν ἠβάσκοντος, ὄπισθεν δὲ κλῶνας, καὶ κισσὸν, καὶ κάλυκας ἐν αὐτοῖς πεχαραγμένας ὁρᾶσθαι· ἐν ἑνὶ δὲ καὶ ΔΙΟΝΥΣΙΟΝ ἀναγινώσκεσθαι, ὅπερ ἦν αὐτῷ τῷ Βάκχῳ ἐπώνυμον. Ἐπὶ δὲ δὴ τότοις καὶ τὰς ἄλλας Ἀλκινόε ἐκ τῆς τῶν ἀμπελώνων εὐφορίας, κατείδομεν ἐπαινεμένας τῷ Οἰμήρῳ· καὶ τὸν Κερκυραϊκὸν δὲ οἶνον ἴσμεν παρ' Ἀθηναίῳ (ἐν Βιβλ: Α'.) διαφερόντως τιμώμενον: Χαριέστατος δ' οἶνος εἰς παλαίωσιν ὁ Κερκυραῖος.

Ἐπὶ τότοις καὶ ἄλλο Νόμισμα προσεπάγει ὁ Μαρμαρᾶς, ἔπερ ἐν μέσῳ τοῖς ἐμπροσθίοις ὁ διπρόσωπος Ἰανὸς ἐπικεχάρακτο, ἐν δὲ τοῖς ὄπισθε Ναῦς παρίστατο καὶ ἐπιγραφὴ ΚΕΡΚΥΡΑΙΩΝ. Ἦν μὲν γὰρ, ὥσπερ εἴρηται, ἡ Ναῦς τῶν Κερκυραϊκῶν Νομισμάτων τεθπίσημον. Ἀλλὰ καὶν τοῖς Ἰανῷ Ναῦς κεχάρακτο, ἔνθεντοι παρ' Οὐϊδίῳ: ἐν τῷ Α'. τῶν Faſtorum:

Multa quidem didici ; ſed cur navalis in aere
Altera ſignata eſt, altera forma biceps?
At bona poſteritas puppim formavit in aere
Hoſpitis adventum teſtificata Dei.

„(Πολλ' ἐδιδάχθην. ἀλλὰ τι ναῦς χαλκῷ ἐπι τῇδε
„ Ἔνθεν σημάνθη, δισσὸν ἕτερθε δὲ κάρ;
„ Ἦ διὰ της χαλκῆς τῆς δ' οἱ ματέπιτα πρύμνης,
„ Ξεῖνον πιςῶνται σφὶν θεὸν ἐλθέμεναι.)

Τὴν γεμὴν δόξαν ὁ Πλέταρχος ἰὲκ ἔοικεν ἐγκρίνειν (ἐν τοῖς Ῥωμαϊκοῖς) διερωτῶν: διατὶ τὸ παλαιὸν νόμισμα πῇ μὲν εἶχεν Ἰανὲ δίπρόσωπον εἰκόνα, πῇ δὲ πλοίε πρύμναν, ἢ πρῴραν; Ἀντιβάλλει δὲ, ὅτι ἐμόνον Κρόνος, ἀλλὰ καὶ Ἰανὸς, καὶ Εὔανδρος, καὶ Αἰνείας ἐκ θαλάττης προσεκομίθησαν.

ΚΕΦΑΛ. Θ΄.

Ἀριστοκρατηθῆναι κατ' ἀρχὰς τὲς Φαίακας ὑπέλαβε Πλέταρχος, ἐπιφέρων ἐκ τῶν Ὁμήρε (Ὀδυσ: Θ΄.) τὰ ἑξῆς ἔπη:

„ Ἀλλ' ἄγε οἱ δῶμεν ξεινήϊον, ὡς ἐπιεικές·
„ Δάδεκα γὰρ κατὰ δῆμον ἀριπρεπέος βασιλῆος
„ Ἀρχοὶ μαίνυσι, τρισκαιδέκατος δ' ἐγὼ αὐτός.

Καὶκ τῶν ἐν τῇ αὐτῇ Ῥαψωδίᾳ ἀνωτέρω: ἔνθα τὲς Φαιάκων πρωτεύοντας προσκαλεῖται Ἀλκίνοος:

„ Σκηπτοῦχοι βασιλῆες, ἐμὰ πρὸς δώματα καλὰ
„ Ἔρχεσθ', ὄφρα ξεῖνον ἐνὶ μεγάροις φιλέωμεν.

Ἀλλὰ γὰρ ἐκ πολλῶν ἄλλων τῆς Ὀδυσσείας τόπων, πάρεσι τῆς παρὰ Φαίαξι Μοναρχίας τεκμήρια προσευρεῖν. Τῷ δ' ὄντι τὰ περὶ τὴν ἐκπομπὴν Ὀδυσσέως, βασιλικῶς φαίνεται Ἀλκίνοος ἐπιτάξας (Ὀδυσ: Η΄.) ὅς γε.

„ . . . . . Πᾶσι
„ Φαιήκεσσιν ἄνασσε, Θεὸς δ' ὡς δῆμος ἄκουε.

Καὶ περὶ Ἀλκινόου δ' ὁ Ποιητὴς (Ὀδυσ: Ζ'.) σαφῶς ἐσὶ Φαίακων:

„ Τῷ δ' ἐκ Φαιήκων ἔχετο κάρτος τε βίη τε.

Ὀγεμὴν Εὐρύθιος, μικτὸν τὸ Φαιάκων κράτος γενέσθαι ἡγήσατο· „φησὶ γὰρ: Γ'ρέον δὲ, ὅτι εἰπεῖν, ὡς ἐξ Ἀλκινόου ἔχε- „ται, καὶ ἐξήρτηται τῷ Ἀλκινόῳ ἡ τῶν Φαιάκων „ἀρχή· ὃ δὴ καὶ ἐν τοῖς μετὰ ταῦτα ῥηθέσεται: „Βασιλέα ὑποβάλλει Φαιάκων νοεῖν τὸν Ἀλκίνοον, „Ἐν δὲ τοῖς ἑξῆς Ἀριςοκρατείαν ἐμφαίνεται παρὰ „Φαίαξιν, ἔνθα τρισκαίδεκα ἰσορηθήσονται βασι- „λεῖς· καὶ ἔσιν οἷον συνέλευσις ἐν τούτοις Βασι- „λείας τε καὶ Ἀριςοκρατείας· ὁποῖόν τι καὶ περὶ „Λακεδαίμονα ὕςερον, τὸ κατὰ τὰς ἐφόρους καὶ τὰς „Βασιλέας. Εἰδὲ ὑπερέχει μὲν τῶν ἄλλων Ἀλκίνοος, „αὐτὸς δὲ πείθεται, ὡς φανεῖται, οἷς ἡ γυνὴ Ἀρήτη „βέλεται· εἴποι ἄντις γυναικοκρατεῖσθαι τὴν γῆν „τὴν Φαιάκων.

Τοιαύτην γὰρ Γυναικοκρατείαν συνισᾶν ἔοικε τὰ περὶ Ἀρήτης ῥηθέντα: (Ὀδυσ: Η'.)

„ . . . Τὴν δ' Ἀλκίνοος ποιήσατ' ἄκοιτιν,
„ Καί μιν ἔτισ', ὡς ὄτις ἐπὶ χθονὶ τίεται ἄλλη,
„ Ὅσ κέιν η πέρι κῆρι τετίμηταί τε καὶ ἐσὶν,
„ Ἔκ τε φίλων παίδων, ἔκ τ' αὐτοῦ Ἀλκινόοιο,
„ Καὶ λαῶν, οἵ μιν ἔα, Θεὸν ὡς, εἰσορόωντες
„ Δειδέχαται μύθοισιν, ὅτε ςείχησ' ἀνὰ ἄςυ.
„ Οὐ μὲν γάρ τι νόῳ γε καὶ αὐτὴ δέυεται ἐσθλῷ,
„ Οἵσιν τ' εὖ Φρονέῃσι, καὶ ἀνδράσι νείκεα λύει.

Ἀλλὰ γὰρ εἰ καὶ τῶν Ἀρήτης βελῶν ἐπὶ τῆς Φαιάκων δυναστείας πολὺς ἦν ὁ λόγος, πάντα γε μὴν τῷ Ἀλκινόῳ νεύματι διεπράττετο. Ταύτῃ τοι καὶ πρὸς τὴν Ἀρήτης βελὴν (Ὀδυσ: Λ΄.) περὶ τῆς ἀναβληθείσης τὴν πομπὴν χρῆναι, τοιάδ' ὁ γέρων Ἐχένηος ὑπολαβὼν ἔφη:

„Ὦ Φίλοι, ἐ μὰν ὔμμιν ἀπὸ σκοπὸς, ὐδ' ἀπὸ δόξης
„Μυθεῖται Βασίλεια περίφρων, ἀλλὰ πίθεσθε·
„Ἀλκινόου δ' ἐκ τοῦδ' ἔχεται ἔργον τε ἔπος τε.

Ἀλκίνοος δὲ, ὡς ἐν ἐξουσίᾳ βασιλικῇ ἀποφαινόμενος ἀπεκρίνατο:

„Τοῦτο μὲν ὄτω δὴ ἔσαι ἔπος, αἴπεν ἔγωγε
„Ζωὸς, Φαιήκεσσι φιληρέτμοισιν ἀνάσσω.

Προσέθετο δὲ:

„. . . . . Πομπὴ δ' ἀνδρεσσι μελήσει
„Πᾶσι, μάλισα δ' ἐμοὶ· τὸ γὰρ κράτος ἔς' ἐνὶ δήμῳ.

Ὁ δὲ Εὐσάθιος, τὸ σκηπτοῦχοι Βασιλῆες ἐφερμηνεύων:
„Σκηπτούχους Βασιλεῖς λέγει τοὺς δώδεκα, οἱ συ-
„νάρχουσι τῷ Ἀλκινόῳ, οὐκ ἀποξενήσας ὐδ' αὐ-
„τοὺς τῆς Βασιλικῆς κλήσεως, εἰ καὶ ὑπερέχει ὁ
„Ἀλκίνοος· ὑποκαταβὰς δὲ σκηπτούχους μόνον
„αὐτοὺς λέγει, ἐλλείψας τὸ Βασιλεῖς· ὃς καὶ ἔπεσθαι
„ἡγεμένῳ Ἀλκινόῳ λέγει, ὡς ἐλάττονας μείζονι:

„Ὡς ἄρα Φωνήσας ἡγήσατο, τοὶ δ' ἅμ' ἕποντο
„Σκηπτοῦχοι . . . . . .

Ὅτι δ' ὲ μόνον τῇ βελῇ, ἀλλὰ καὶ τῇ δυνάμει Ἀλκίνοος αὐτῶν ἡγεῖτο, δῆλον ἐκ τῦ προτεθέντος:

„ Μηδέ τις ἀρνείσθω.

Σκηπτροφορεῖν δ' ὲ μόνοις τοῖς βασιλεῦσιν ἐνῆκεν, ἀλλὰ καὶ τοῖς δικάζειν τεταγμένοις ἐφῆτο, ὡς ἐξὶ φανερὸν ἐκ τῦ Ἀχιλλέως περὶ τῦ ἰδίυ σκήπτρυ φάσκοντος: (Ἰλ: Α΄.)

„ Ναὶ μὰ τόδε σκῆπτρον. . . . . .
„. . . . . Νῦν αὖτε μιν υἷες Ἀχαιῶν
„ Ἐν παλάμης φορέυσι δικασπόλοι, οἵ τε θέμιστας
„ Πρὸς Διὸς εἰρύαται . . . . . .

Ἐν οἷς Εὐσάθιος: Ἔξι γὰρ τὸ σκῆπτρον (φησὶν) ὲ μόνον βασιλείας, ἀλλὰ καὶ θέμιδος σύμβολον.

Τέτων βεβαιότερα περὶ τῦ παρὰ τοῖς Φαίαξι κράτυς, οἷον περ ἦν: καὶ περὶ τῦ Κερκυραίων πολιτεύματος, Ἀριστέλης ἂν ἡμᾶς ἐδιδάξατο, εἰ περιῆν αὐτῦ τὸ σύγγραμμα καθ' ἡμᾶς νῦν σωζόμενον", ἐν ᾧ τὰς Κερκυραϊκὰς διεπραγματεύσατο Ἀρχαιότητας.

ΚΕΦΑΛ. Γ.

Ἥτις ἂν ἄρα ποτὲ καὶ ἦν ἡ πάλαι Κερκυραίων πολιτικὴ διοίκησις, ἀλλὰ τὸ τὲς ἐν τῇ Νήσῳ ἡγεμονεύοντας, τῇ περὶ τὲς παρὰ σφίσιν ἐπιξενωμένυς φιλοφροσύνῃ διαφερόντως ἐπιθρυλληθῆναι ἐκ ἄδηλον, ἔκ τε τῆς τῶν Ἀργοναυτῶν τῦ πρώτου καταίρσεως, καὶ τῆς Ὀδυσσέως ἔπειτα καθορμίσεως, καὶ μὴν καὶ ἐκ τῆς Ῥαδαμάνθυος ἐκπομπῆς, περὶ ἧς Ἀλκίνοος διεξῆλθεν (Ὀδυσ: Η΄.)

„ . . . . . Οτε τε ξανθὸν Ῥαδάμανθυν
„ Ἤγον ἐποψόμενον Τιτυὸν, γαιήϊον υἱόν.

Ἀποδείκνυται δὲ τὸ τῶν Φαιάκων φιλόξενον, καὶ ἐξ ὧν αὐτὸς Ἀλκίνοος προσέθετο (Οδυσ: Η΄.) ὅτι καὶ οἱ Θεοὶ αὐτοῖς τὲς τῶν ξένων ἔφικομένες ἀπεδήλεν:

„ Εἰ δ' ἄρα τις καὶ μεῖνος ἰὼν ξύμβληται ὁδίτης
„ Οὔ τι καταρύπτεσι . . . . . .

Καὶ ἐξ ὧν (Οδυσ: Θ΄.) ἔφη: ὡς εὐδεὶς ξένος αἰτήσας ἀπέτυχε πομπῆς:

„ Οὐδὲ γὰρ ὐδέ τις ἄλλος, ὅτις κ' ἐμὰ δώματ' ἵκηται,
„ Ἐνθάδ' ὀδυρόμενος δηρὸν μένει, ἔνεκα πομπῆς.

Καὶ ἐξ ὧν ἔτι Ἀλκίνοος ἱλασκόμενος Ποσειδῶνα ἐποργιθέντα, πᾶσαν ἔτινοσεν πομπὴν τῇ λοιπῇ παραιτεῖθαι ἐντέλλεται Φαίαξιν: (Οδυσ: Ν΄.)

„ Πομπῆς μὲν πάυσασθε βροτῶν, ὅτε κέν τις ἵκηται
„ Ἡμέτερον προτὶ ἄστυ . . . . . .

Οὐ γὰρ δὴ ἐπ' Οδυσσεῖ μόνῳ πομπὲς γενομένες αἰτιάσαθαι τὲς Φαίακας ἔοικεν ὁ Ποσειδῶν, ὡς δῆλον ἐξ ὧν τὴν ἀπολίθωσιν τῇ πλοίῳ ἐπιτάξας ἔφησεν:

„ . . . . Ἵν' ἤδη χῶνται, ἀπολλήξωσι δὲ πομπῆς
„ Ἀνθρώπων . . . . . .

Ἀλκίνοος δὲ (αὐτόθι), καὶ παλαιοτέρας ἐπεμνήθη, περὶ τῇ πράγματος, ἧς παρὰ τῇ ἰδίῳ γεννήτορος ἀκηκοὼς ἦν χρησμῳδίας, ἐφ' ἕπερ καὶ ποτνιᾶται:

„ Ὦ πόποι! ἦ μάλα δήμε παλαίφατα θέσφαθ' ἱκάνει
„ Πατρὸς ἐμοῦ, ὃς ἔφασκε Ποσειδάωνι ἀγάασθαι
„ Ἡμῖν, ὕνεκα πομποὶ ἀπήμονες εἰμὲν ἁπάντων.

Αὕτη ἡ Φαιάκων περὶ τὸς ξένους τε καὶ ἀπόρους φιλανθρωπία ἐφύετο ἐκ τῦ ἠγεῖσθαι αὐτὸς, ὅτι οἱ Θεοὶ τῶν τοιούτων ἤκιστα ὀλιγωρεῦσιν· ὅθεν καὶ ἡ Ναυσικάα ταῖς ἀμφιπόλοις ἔφασκεν (Ὀδυσ: Ζ'.) περὶ τῦ Ὀδυσσέως λέγουσα:

„ Ἀλλ' ὧδε τις δύσηνος ἀλώμενος, ἐνθάδ' ἱκάνει,
„ Τὸν νῦν χρὴ κομέειν· πρὸς γὰρ Διὸς εἰσὶν ἅπαντες
„ Ξεῖνοι τε πτωχοί τε . , ...

Προήρχετο δὲ καὶ ἀπὸ οἴκτου καὶ συμπαθείας, τῆς φύσει ἀνθρώποις ἐνεγειρομένης πρὸς τὸς δεομένους, καὶ ἱκέτας προσπίπτοντας. Διὸ ἡ αὐτὴ μικρὸν ἀνωτέρω

„ Νῦν δ' ἐπεὶ ἡμετέρην τε πόλιν, καὶ γαῖαν ἱκάνεις,
„ Οὔτ' ἂν ἐθῆτος δεήσεαι, ὅτε τευ ἄλλου
„ Ὧν ἐπέοικε ἱκέτην ταλαπείριον ἀντιάσαντα.

Καὶ Ἀλκίνοος δὲ ὡσάυτως τὸ περὶ τὸν ξένον φιλόφρον τε καὶ φιλάγαθον ἐπισυνισὰς (Ὀδυσ: Θ'.) παραινεῖ τοῖς γε νῦν ἔχουσιν:

„ Ἀντὶ νασιγνήτου ξεῖνος θ' ἱκέτης τε τέτυκται
„ Ἀνέρι, ὅς τ' ὀλίγον περ ἐπιψαύει πραπίδεσσιν.

Ἀλλὰ γὰρ ὁ τηλικῦτος τῆς φιλοξενίας ἔπαινος, τοῖς ἐν τῇ Νήσῳ πρωτεύουσιν, ἔχων δὲ καὶ κοινῇ τῷ ἔθνει δίκαιος ἂν εἴη ἀποδιδόμενος. Ἀντιμαρτυρεῖ γὰρ ἡ παρ' Ὁμήρῳ (Ὀδυσ: Η'.) Ἀθήνη, ἡ Ὀδυσσεῖ εἰς τὴν πόλιν πορευομένῳ θεσπεσίην ἀχλὺν ἐπικαταχέυσασα:

„Μή τις Φαήκων μεγαθύμων ἀντιβολήσας
„Κερτομέοι τ' ἐπέεσσι, καὶ ἐξερέοι θ' ὅτις εἴη.

Καὶ περὶ τῶν Ἀλκινόε δὲ δόμων διερωτῶντι (αὐτ:) ἀπαντῶσα:

„. . . . . Ἐγὼ δ' ὁδὸν ἡγεμονεύσω,
„Μηδέ τιν' ἀνθρώπων προτιόσσεο, μηδ' ἐρέεινα:
„Οὐ γὰρ ξείνους οἵδε μάλ' ἀνθρώπους ἀνέχονται,
„Οὐδ' ἀγαπαζόμενοι φιλέουσ', ὅς κ' ἄλλοθεν ἔλθοι.

Τὴν διαφορὰν δὲ ταύτην τὴν τῶν ἀριζευόντων μεταξὺ καὶ τῦ δήμε, καλῶς οἱ χολιογραφήσαντες παρεσημειώσαντο, Δίδυμός τε καὶ „Εὐζάθιος: ὧν ὁ μὲν, εἰς τὸ: Οὐ γὰρ ξείνους κτ: ἔτω φησὶν: „Οὐ ξενίζουσι τοὺς ἀνθρώπους. Πῶς δὲν ἐν τοῖς ἑξῆς „φιλοξενοτάτους λέγει; ἢ, τὸν μὲν ναυτικὸν ὄχλον „τῷ ὄντι εἶναι ἀπόβλητον, τοὺς δὲ βασιλεῖς φιλοξένους „ἢ, ἴσως ἵνα φυλάξηται τινὸς πυθέσθαι· ἢ πρὸς „ἕτερον καταχθῆναι. Τὴν μὲν ὧν πρώτην τῶν ἑρμηνειῶν „Εὐζάθιος ἐγκρίνει, λέγων: τὸ δὲ οὐκ ἀνέχονται ξείνους, „οὐδ' ἀγαπαζόμενοι φιλέουσι, περὶ τῦ κατὰ Φαίακας „Ναυτικὸν ὄχλον λέγεται, ἤγουν τῦ δήμε, ὡς καὶ „πρὸ ὀλίγων ἐρρέθη. Εἰ γὰρ καὶ ἀγχίθεοι γεγάασιν οἱ Φαίακες, ἀλλ' ὅ πάντων τῦτο ἐστὶ τὸ σεμνὸν, μόνε δὲ τῦ βασιλικῦ γένες.

Η' δέ τοι διαφορὰ Ἰεζεκιὴλ τῷ Σπαγχεμίῳ, ἣ δοκεῖ, ἠγνόηται. Ἐν γὰρ ταῖς αὐτῦ ἐπισασίαις, ταῖς περὶ τὸν Καλλιμάχε ὕμνον τὸν εἰς τὴν Δῆλον, ἀποβλητέαν ὅλως ἐπικελεύει τὴν λέξιν: κακοξεινοτάτη: ἣν τινες τῶν ἀπογράφων τῦ Ποιητῦ ἐκάνε Κωδίκων σώζεσιν, ἀναγνωσέον δὲ ὅλως φιλοξεινοτάτη:

Κέρκυρα Φιλοξεινωτάτη ἁλλων.

Ἀνθυποφέρει γὰν Σπαγχέμιος ἑαυτῷ, τὸ ἀθετηθῆναι Κερκυραίοις τὴν περὶ τὸν υἱὸν τῷ Περιάνδρῳ ξενίαν: κἀντεῦθεν, ἐπὶ τῷ τὸ ἐν Κορίνθῳ πατρῷον κράτος ἐπικαταχεῖν προσκληθέντα ὑπ' αὐτῶν ἀθέσμως ἀναιρεθῆναι: (περὶ δ' Ἡ ρόδοτος Βιβλ: Γ'. Κεφ. κγ'.) Ἀλλ' Ὅμηρον πρὸ πάντων, καὶ τὰς τότε Σχολιαστὰς, ἀντεπαγαγεῖν Σπαγχέμης ἑαυτῷ ὤφελεν, ἄλλως τότε δοξάζοντας· ὡς ἐκ ἠγνόει ἀνὴρ ὢν τῷ ὄντι πολυμαθείᾳ μάλιστα διαφέρων, οἷον ἐν τοῖς αὐτῷ πεφιλοποιημένοις συγγράμμασι λαμπρῶς ἑαυτὸν ἐνέφηνε, καὶν ταῖς εἰς τὰς Καλλιμάχῳ ὕμνῳς λοιπαῖς ἐπιστάσεσι, περὶ ὧν εἴρηται ἄνωτ:, καὶ ταῖς εἰς τὴν περὶ χρήσεώς τε καὶ ὠφελείας τῆς ἐκ τῶν παλαιῶν Νομισμάτων παρατηρήσεσι, ταῖς οἷα εἰκὸς ἐνθεαζομέναις, ὑπὸ τῷ τὰ κατ' αὐτὸν βιογραφήσαντος. Τότε ἀλλ' ἐγὼ τὴν ἀντεισαγωγὴν τῆς λέξεως (Φιλοξεινωτάτη), ἔτοι πάνυ μέμφομαι· κακίζω δὲ τὸ θαρραλέον τε καὶ ἰταμὸν ἐπὶ τῆς ἄλλης (κακοξεινωτάτης:) ἣν περ ἀπὸ τῶν ἀπογράφων Κωδίκων ῥᾴθ' ἔτως ἀπεσκοράκισε. Μετριώτερον δήπε Ἄννιος „συνέβαλεν ἡ Δακερία, ἔτω γράψασα: Φιλοξεινωτάτη ἀναγι„νώσκεται, ἢ δὴ καὶ κακοξεινωτάτη: ἀλλὰ τὴν δημοσιευ„θεῖσαν ἀνάγνωσιν ἑλοίμην ἂν αὐτὴ κατέχειν: Φιλοξεινωτάτη), ἣν δὴ δόξαν τῇ Νήσῳ προεμνησεύσατο ἡ παρ„Ἀλκινόῳ τε Ὀδυσσέως ἐπιξένωσις. Προσθεῖναι δ' εἶχεν, ὅτι καὶ ἡ τῶν Ἀργοναυτῶν ὁμοίως, καὶ ἄλλων.

Τὸν τῶν Φαιάκων Ναυτικὸν ὄχλον, οἷς τὸ ἄξενον Ὅμηρός τε καὶ οἱ τότε Σχολιασταὶ ἐπιμέμφονται, διὰ τὸ τῆς εὐπιτίας γνήσιόν τε καὶ ἄμεμπτος οἱ αὐτοὶ δι' ἐπαίνε ἄγεσιν: ὅτι προσορμισάμενοι τῇ Ἰθάκῃ: (Ὀδυσ: Ν'.)

„ Πρῶτον Ὀδυσσῆα γλαφυρῆς ἐκ νηὸς ἄειραν,
„ Αὐτῷ σύν τε λίνῳ, καὶ ἡηγεϊ σιγαλόεντι·
„ Καδδ' ἄρ ἐπὶ ψαμάθῳ ἔθεσαν, δεδμημένον ὕπνῳ·
„ Ἐκ δὲ κτήματ' ἄειραν, ἃ οἱ Φαίηκες ἀγαυοὶ
„ Ὤπασαν οἴκαδ' ἰόντι, διὰ μεγάθυμον Ἀθήνην·
„ Καὶ τὰ μὲν ἕν παρὰ πυθμέν' ἐλαίης ἀθρόα θῆκαν
„ Ἑκτὸς ὁδοῦ, μήπως τις ὁδιτάων ἀνθρώπων,
„ Πρίν γ' Ὀδυσῆ' ἔγρεσθαι ἐπελθὼν δηλήσαιτο.

Ὅτι μὲν ἓν τοῖς Ὀδυσσεῖ καθεύδουσι, τὰ παρ' Ἀλκινόου καὶ τῶν ἄλλων Φαιάκων δεδωρημένα οἱ Ναῦται ἀδηλήτως παρακατέθεσαν, τῆς αὐτῶν πιστοσύνης τοῦτο μαρτύριον· ὅτι δ' οἱ αὐτοὶ ἐδὲ φιλοκερδείας ἧττονες ὑπῆρχον, αἱ Διδύμου τε καὶ Εὐσταθίου διερμηνεύσεις δεικνύουσι· τὸ αἴτιον ζητέντων, τί δήποτε τὸν Ὀδυσσέα ἐπὶ τῆς ψάμμου κατα-
„θέντες οἱ ναῦται, ἐχὶ πρότερον αὐτὸν διαφύπνισαν; Οὐ διανίσα-
„σαν, φησὶ Δίδυμος, παρὰ τὸ μὴ δοκεῖν χάριν τῆς
„παραπομπῆς ἀπαιτεῖν. Αὐτὸ δὲ τοῦτο καὶ Εὐσταθιος παρασημειοῦται πρὸς τοῖς ἄλλοις, οἵσπερ ὡς λόγοις τὸ προβαλλομένου ἐπάγεσιν.

Ἀριστοτέλης δὲ, (ἐν τοῖς περὶ Ποιητ:) τὰ περὶ τῆς Ὀδυσσέως ἐπὶ τῆς Ἰθάκης ἐκθέσεως τάυτης ἀναφέρων: Τὰ ἐν Ὀδυσσείᾳ, φη-
„σὶν, ἄλογα τὰ περὶ τὴν ἔκθεσιν, ὡς ἂν οὐκ ἂν ἦν ἀνεκ-
„τὰ, εἰ αὐτὰ φαῦλος Ποιητὴς ποιήσει· νῦν δὲ τοῖς ἄλ-
„λοις ἀγαθοῖς ὁ Ποιητὴς ἀφανίζει ἡδυνων τὸ ἄτο-
„πον: Μέτιθι περὶ τότου Πέτρον Οὐικτόριον ἐν τῷ αὐτοῦ ὑπομνήματι.

ΚΕΦΑΛ. ΙΑ'.

Τερατώδη τινὰ, καὶ ἅπασαν μικρῷ ὑπερβαίνεσαν πίστιν, τὴν Φαιάκων περὶ τὰ Ναυτικὰ ἐμπειρίαν ἡ Ποίησις ἐπιμαρτυρεῖ.

Τὸ τῆς πόλεως εἶδος τῷ Ὀδυσσεῖ Ναυσικάα διατυπῶσα (Ὀδυσ: Ζ'.) ἐπιφέρει:

„ Οὐ γὰρ Φαιήκεσσι μέλει βιὸς, οὐδὲ φαρέτρη·
„ Ἀλλ' ἱστοὶ, καὶ ἐρετμὰ νεῶν, καὶ νῆες ἐΐσαι,
„ Ἧσιν ἀγαλλόμενοι πολιὴν περόωσι θάλασσαν.

Ἀθήνην δὲ τῷ Ὀδυσσεῖ παραινέσα, ἐν ᾧ ἂν πρὸς δόμον τὸν Ἀλκινόου πορεύοιτο, μηδενὸς τῶν καθ' ὁδὸν διαπυθέσθαι, αὐτίκα προσίθησιν (Ὀδυσ: Η'.)

„ Νήυσὶ θοῇσιν τοίγε πεποιθότες ὠκείῃσι,
„ Λαῖτμα μέγ' ἐκπερόωσιν, ἐπεὶ σφίσι δῶκε Ἐνοσίχθων
„ Τῶν νέες ὠκεῖαι, ὥσεὶ πτερὸν, ἠὲ νόημα.

Τῷ δ' Ὀδυσσεῖ αὐτῷ Ἀλκίνοος ἀσφαλῆ καὶ βεβαίαν τὴν παραπομπὴν ὑπισχνεῖτο τὴν ἐπὶ τῆς ἰδίας αὐτοῦ, κἂν εἰ προελθεῖν δέοι Εὐβοίας ἐπέκεινα. Οἱ γὰρ Φαιάκων Ναυτῖλλοι, καὶ Ῥαδάμανθυν, φησὶ, μετεκόμισαν. (Ὀδυσ: Η'.)

„ Καὶ μὲν οἱ ἔνθ' ἦλθον, ἐπ' ἄτερ καμάτοιο τέλεσσαν
„ Ἤματι τῷ αὐτῷ, καὶ ἀπήγαγον οἶκον ὀπίσσω.

Ἔνθα Εὐσάθιος, Σημείωσαι (φησὶν) εἴτε ἀντικρὺ τῆς „ἰδίως ἔτω καλουμένης Ἠπείρου, κατὰ τὴν ἰσο„ρίαν ἡ Νῆσος τῶν Φαιάκων ὤκισται, εἴτε καὶ πο„ρρωτάτω ἐν ἀπανθρώπῳ τόπῳ, κ.τ.λ. φαὶ, ὅτι

„δοκεῖν Ὁμήρῳ, ὑπερβολικὸς ὁ ἐνταῦθα λόγος.
„Προσίθησι δ' ἓν: ἔσαν δ' ὅμως ἡ τοσοῦτος πλοῦς ἰσο-
„ρίαν δυνατὴ, εἰ τὸ τάχος τῶν Φαιακικῶν νηῶν, εἴη
ὡσεὶ πτερὸν, ἢ νόημα.

Καίτοι γε πολλῷ Ἰθάκη Κερκύρας κεῖται ἀπωτέρω ἢ Εὔβοια· ἀλλ' ἔτι ἐ πάνυ πιστὸν τὸ Φαίακας ἐν νυκτὶ μιᾷ ἀπὸ Κερκύρας εἰς Ἰθάκην περαιωθῆναι. Ὡς γὰρ (Ὀδυσ: Ν'. (ἡλίῳ δύοντος ἐκ Κερκύρας ἔλυσαν.

„Εὖ τ' ἀὴρ ὑπερέχε Φαάντατος, ὅς τε μάλιστα
„Ἔρχεται ἀγγέλλων Φάος ἠῶς Ἠριγενείης,
„Τῆμος δὴ νήσῳ προσεπίλνατο ποντοπόρος νηῦς.

Τετὶ δή, φημὶ, ἥκιστα πιστευτέον: ἀλλ' ὃ φησὶν Εὐσάθιος, τὸ πάνυ πολὺ τάχος τῶν Φαιακικῶν νηῶν, εὐπαραδέκτον πως τὸν λόγον ποιεῖ, καθ' ὃν δηλονότι πτηνὸν τάχιον ἡ ναῦς τὸν πλοῦν πεποίηται.

„ . . . . . Οὐδέ κεν Ἰρηξ
„Κίρκος ὁμαρτήσαι ἐλαφρότατος πετεηνῶν.

Ἀλλ' ἐδὲν ἕτω πίστιν ἅπασαν ἐστὶν ὑπερπεπτηὸς, ὡς τὸ ὑπὸ Ἀλκινόῳ τῷ Ὀδυσσεῖ ῥηθὲν: (Ὀδ: Θ'.)

„Εἰπὲ δέ μοι γαῖαν τε τεὴν, δῆμον τε, πόλιν τε·
„Ὄφρα σε τῇ πέμπωσι τιτυσκόμεναι φρεσὶ νῆες.
„Οὐ γὰρ Φαιήκεσσι κυβερνητῆρες ἔασσιν,
„Οὐδέ τι πηδάλιὰ ἐστὶ, τά τ' ἄλλαι νῆες ἔχουσιν·
„Ἀλλ' αὐταὶ ἴσασι νοήματα καὶ φρένας ἀνδρῶν,
„Καὶ πάντων ἴσασι πόληας, καὶ πίονας ἀγροὺς

„ Ἀνθρώπων, καὶ λαῖτμα τάχιθ' ἁλὸς ἐκπερόωσιν
„ Ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι. Οὐδὲ ποτὲ σφιν
„ Οὔτέ τι πημανθῆναι ἔπι δέος, οὐδ' ἀπολέσθαι.

Ἔνθα δὴ Εὐσάθιος, ἐντεῦθεν (φησὶν) οἱ μεταγενέστε-
„ροι ἐπὶ πλέον ἄλλοθι τερατείας τερπόμενοι, φω-
„νήεσσαν τῇ Ἀργοῖ τὴν τρόπιν, ὡς ἐκ τῆς Δωδωναίας
„δρυὸς, προσπλάττεσιν· ὃ δὴ καὶ μόνον τοῖς Φαια-
„κικαῖς ναυσὶν ἐνέλιπεν. Οἱ μέν τοι γε τὸν τὰ Ὀρφέος
Ἀργοναυτικὰ συγγραψάντα τῷ Ὁμήρῳ κρίνοντες ἀρχαιότερον, ἐδα-
μῶς παραδέξονται τὸ ὑπὸ Εὐσαθίου ῥηθὲν: ἦγεν τὸ τὸς μεταγενεστέ-
ρους τὴν τῆς Ἀργοῦς τρόπιν προσπλάσαι φωνήεσσαν. Ἐν γὰρ τοῖς
Ἀργοναυτικοῖς ἐκείνοις: ὅτι Εὔλαλος Ἀργὼ, καὶ λάλον
τρόπιν ἀναγινώσκομεν.

Ἐπὶ πᾶσι, τὸ διαφερόντως περὶ τὴν Ναυτιλλίαν σπεδάσαι τὸς
Φαίακας, καὶ τὰ ἐπίθετα δείκνυσιν ἐκεῖνα: Δολιχόρεμοι, Ναυ-
σίκλυτοι, Φιλήρεμοι, οἷς ὑπὸ Ὁμήρου πυκνῶς κεκλύνονται. Πα-
ρὰ δὲ ταῦτα, καὶ τὰ τῶν ἀνδρῶν ἐπώνυμα, καθάπερ Εὐσάθιος πα-
ρετήρησεν: (Ὀδυσ. Θ'.) ὅτι Τὰ πλείω τῶν παρὰ τὸς Φαίακας
ὀνομάτων Ναυτικά.

ΚΕΦΑΛ. ΙΒ'.

Παρὰ τὴν περὶ τὸν πλοῦν ἐμπειρίαν, καὶ τὴν ἐν παντοίοις γυμνασμά-
των εἴδεσι δεξιότητα τοῖς αὐτοῦ Φαίαξιν ἀπονέμει Ἀλκίνοος (Ὀδυσ. Θ'.)
ὡς δῆλον, ἐξ ὧν ἄθλων, χάριν Ὀδυσσέως προέθηκε:

„ Νῦν δ' ἐξέλθωμεν, καὶ ἀέθλων πειρηθῶμεν
„ Πάντων, ὡς χ' ὁ ξεῖνος ἐνίσπῃ οἷσι φίλοισιν,
„ Οἴηδε ἰοσήσας, ὅσσον περιγιγνόμεθ' ἄλλων
„ Πύξ τε, παλαισμοσύνῃ τε, καὶ ἅλμασιν, ἠδὲ πόδεσσιν.

Αὐτίκα ἓν τῶν ἀκμαιοτέρων νεάνων ἐσμὸς ἐπὶ τῆς ἀγορᾶς συνέδραμεν· ἐν οἷς:

„ Ἀν δ' ἔσαν τρεῖς παῖδες ἀμύμονος Ἀλκινόοιο
„ Λαοδάμας θ', Ἅλιός τε, καὶ ἀντίθεος Κλυτόνηος·

Ἀρχὴ δὲ τῶν ἀγώνων ὁ δρόμος ἐτέθη:

„ Οἳ δή τοι πρῶτον μὲν ἐπειρήσαντο πόδεσσι·
„ Τοῖσι δ' ἀπὸ νύσσης τέτατο δρόμος· οἳ δ' ἄρα πάντες
„ Καρπαλίμως ἐπέτοντο κονίοντες πεδίοιο·
„ Τῶν δὲ θεῶν ὄχ' ἄριστος ἔην Κλυτόνηος ἀμύμων.

Εἶτα εἰς Πάλην ἦλθον, εἰς Ἅλμα, εἰς Δίσκον, εἰς Πυγμήν:

„ Οἳ δὲ παλαισμοσύνης ἀλεγεινῆς πειρήσαντο.
„ Τῇ δ' αὖτ' Εὐρύαλος ἀπενήνυτο πάντας ἀρίστους·
„ Ἅλματι δ' Ἀμφίαλος πάντων προφερέστερος ἦεν·
„ Δίσκῳ δ' αὖ πάντων προφερέστατος ἦεν Ἐλατρεὺς·
„ Πυξὶ δ' αὖ Λαοδάμας, ἀγαθὸς παῖς Ἀλκινόοιο.

Τῶνδε δὲ τελεσθέντων, ἐπιστραφεὶς Λαοδάμας ὁ τοῦ Ἀλκινόου πρὸς Ὀδυσσέα ἔφη:

„ Δεῦρ' ἄγε καὶ σὺ ξεῖνε πάτερ, πείρησαι ἀέθλων,
„ Εἴ τινα πᾶ δεδάηκας· ἔοικε δέ σ' ἴδμεν ἀέθλους·
„ Οὐ μὲν γὰρ μεῖζον κλέος ἀνέρος, ὄφρα κεν ἦσιν,
„ Ἢ ὅ, τι ποσσίν τε ξέξῃ, καὶ χερσὶν ἔῃσι.

Ὀδυσσεὺς δὲ παρὰ χεῖμα λίθον ἄρας μείζονα τοῦτον, ἢ οἱ παίζοντες ἐώθεσαν Φαίακες χεῖσθαι, καὶ βαλὼν ὡς πορρωτάτω, ἑδενὸς δεύτερον ἐπὶ τῷδε ἑαυτὸν ἀπέφηνε τῷ ἀγωνίσματι· ἠ ἅμα προσέθετο ἑτοίμας ἔχειν, εἴτις Φαιάκων ἐθελήσειεν, ἤτοι δίσκῳ, ἢ πάλῃ ἢ δρόμῳ, ἢ τόξῳ, ἢ ἀκοντίῳ παραβαλέσθαι. Πρὸς ὃν Ἀλκίνοος:

„ Οὐ γὰρ πυγμάχοι εἰμὲν ἀμύμονες, οὐδὲ παλαισαὶ·
„ Ἀλλὰ ποσὶ κραιπνῶς θέομεν, καὶ νηυσὶν ἄριστοι.

Εἶτα πρὸς Φαίακας τοὺς οἰκείους:

„ Ἀλλ' ἄγε Φαιήκων βητάρμονες, ὅσσοι ἄριστοι
„ Παίσατε, ὡς χ' ὁ ξεῖνος ἐνίσπῃ οἷσι φίλοισιν
„ Οἶκαδε νοσφίσας, ὅσσον περιγινόμεθ' ἄλλων
„ Ναυτιλίῃ, καὶ ποσσὶ, καὶ ὀρχηστύϊ, ἠδ' ἀοιδῇ.

Οἱ δὲ τῇ Ἀλκινόου πείθονται κελεύσει:

„ Αἰσυμνῆται δὲ κριτοὶ ἐννέα πάντες ἀνέσαν
„ Δήμιοι, οἳ κατ' ἀγῶνας ἐϋπρήσσεσκον ἔπεσσι·
„ Λήιναν δὲ χορὸν, καλὸν δ' ἔρυναν ἀγῶνα.

Ἐν δὲ δὴ τοῖσι Δημοδόκος ὁ ἀοιδὸς τὴν κιθάριν ἔχων ἐς μέσον ἀνέθορεν.

„ . . . . . Ἀμφὶ δὲ κοῦροι
„ Πρωθῆβαι ἵσταντο δαήμονες ἀρχηθμοῖο
„ Πέπληγον δὲ χορὸν θεῖον ποσὶν· αὐτὰρ Ὀδυσσεὺς
„ Μαρμαρυγὰς θηεῖτο ποδῶν· θάυμαζε δὲ θυμῷ.

Ὑπὲρ δὲ τὰς λοιπὰς, Ἄλιός τε καὶ Λαοδάμας οἱ τῷ Ἀλκινόῳ ὑπερεῖχον. Ἔνθεντοι ὁ γεννήτωρ:

„ . . . . . κέλευσεν
„ Μνᾶξ ὀρχήσασθαι, ἐπεὶ σφίσιν ἄτις ἔριζεν·
„ Οἱ δ' ἐπεὶ ἂν σφαῖραν καλὴν μετὰ χερσὶν ἔλοντο
„ Πορφυρέην, τὴν σφιν πόλυβος ποίησε δαΐφρων,
„ Τὴν ἕτερος ἐίπτασκε ποτὶ νέφεα σκιόεντα
„ Ἐδνωθεὶς ὀπίσω· ὁ δ' ἀπὸ χθονὸς ὑψόσ' ἀερθεὶς
„ Ῥηϊδίως μεθέλεσκε, πάρος ποσὶν ἕδας ἱκέσθαι.
„ Αὐτὰρ ἐπειδὴ σφαῖραν ἀν' ἰθὺν πειρήσαντο,
„ Ὠρχείσθην δὴ ἔπειτα πολὶ χθονὶ πυκνὰ βαλόντε
„ Ταρφέ' ἀμειβομένω, κοῦροι δ' ἐπελήνεον ἄλλοι
„ Ἑσταότες καθ' ἀγῶνα, πολὺς δ' ὑπὸ κόμπος ὀρώρει.

Τηνικαῦτα δ' Ὀδυσσεὺς πρὸς Ἄλκινοον:

„ Ἄλκινοε κρεῖων, πάντων ἀριδείκετε λαῶν
„ Ἦ μὲν ἀπείλησας, βηλήμονας εἶναι ἀρίστους,
„ Ἦ δ' ἄρ ἔλοιμα τελυπὸ σέβας μ' ἔχει εἰσορόωντα.

Τῷ ἔντι δὲ τὰς τοιαύτας ὀρχησύας τε καὶ χορείας ἐν δόξῃ ἐτῇ τυχόσῃ γεγονέναι τοῖς πάλαι, διδάσκει Ἀθήναιος: (Βιβλ: ΙΔ'. Κεφ: „5') Ἦν γὰρ τὸ τῆς ὀρχήσεως γένος τῆς ἐν τοῖς „χοροῖς, εὔχημον τότε καὶ μεγολωτάρεπὲς, καὶ „ὡσανεὶ τὰς ἐντοῖς ὅπλοις κινήσεις ἀπομιμέμενον. Ὅθεν καὶ Σωκράτης ἐν τοῖς παιήμασι τὲς κάλλιστα χορεύοντας ἀρίστες φησὶν εἶναι τὰ πολέμια, λέγων ἕτως:

„Οἱ δὲ Θεὲς κάλλιστα χοροῖς ἰμῶσιν ἄριστοι
„Ἐν πολεμῳ. . . . . .

Σχεδὸν γὰρ ὥσπερ ἐξοπλισία τις ἦν ἡ χορεία, καὶ ἐπίδειξις ἐ μόνον τῆς λοιπῆς ἐυταξίας, ἀλλὰ καὶ τῆς τῶν σωμάτων ἐπιμελείας.

Ὁ δ' αὐτὸς Ἀθήναιος (Βιβλ: Α'. Κεφ: ΙΓ'.) τῆς Φαιάκων „ὀρχησύος μνηθεὶς: Οἱ Φαίακες (φησὶ) παρ' Ὁμήρῳ καὶ „ἄνευ σφαίρας, καὶ μετὰ σφαίρας ὠρχῆντο· „καὶ ὀρχῆνται που ἀνὰ μέρος πυκνῶς· τῆτο „γάρ ἐσὶ τὸ: ταρφὲ ἀμειβόμενοι, ἄλλων ἐφεσώτων, „ἢ ἐπικροτέντων τοῖς λιχανοῖς δακτύλοις· ὃ φησὶ λληεῖν.

Τῆς μὲν ἓν Φερομένης ἀναγνώσεως τῆ Ἀθηναίᾳ ἁπλῶς ἐχόσης: Οἱ Φαίακες δὲ παρ' Ὁμήρῳ ἢ ἄνευ σφαίρας ὠρχῆντο: Γσαὰκ ὁ Κασαυβόνος, ἐν ταῖς αὐτῆ παρασημειώσεσιν αὐτόθι, τὸ χωρίον ἐπανορθέμενος, προθεῖναι δεῖν ἡγήσατο τὸ ἐλλεῖπον, καὶ ἀναγνωτέον εἶναι ἑκάτερον: Καὶ ἄνευ σφαίρας, ἢ μετὰ σφαίρας ὠρχῆντο. Ὡσάυτως δ' ὁ αὐτὸς αὐτόθι Κασαυβόνος, μὴ συνορᾶν ἔχειν φησὶ: τί ὅτι τῷ Ἀθηναίῳ τὸ λληεῖν, ἀντὶ τῆ πηδᾶν τοῖς

λιχανοῖς εἴληπται δακτύλοις; ὁπότε Δίδυμος, τὸ παρ' Ὁμήρῳ ἐπελήνεον ἑρμηνεύων, ἔγραφεν: ἐπεβοῶντο, ἐπευρότων τοῖς ποσίν;

ΚΕΦΑΛ. ΙΓ.

Πρὸς τοῖς ἄλλοις καὶ τὸ κατὰ Μουσικὴν ἀγῶνος ἀριθμηθέντος, ἐν οἷς τὸς Φαίακας διαπρέπειν Ἀλκίνοος προλαβὼν ἔφη, Δημοδόκον ἐκέλευσε τὸν ἀοιδὸν προσκληθῆναι (Ὀδυσ. Θ'.)

„ . . . . Καλέσαθε δὲ θεῖον ἀοιδὸν]
„ Δημοδόκον· τῷ γὰρ ῥὰ Θεὸς πέρι δῶκεν ἀοιδὴν
„ Τερπνὴν, ὅππῃ θυμὸς ἐποτρύνῃσιν ἀείδειν.

Καὶ δὴ κατάγε τὸ κελευσθέν:

„ Κήρυξ ἐγγύθεν ἦλθεν, ἄγων ἐρίηρον ἀοιδὸν
„ Τὸν πέρι Μοῦσ' ἐφίλησε, δίδου δ' ἀγαθόν τε, κακόντε·
„ Ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ' ἡδεῖαν ἀοιδήν.
„ Τῷ δ' ἄρα Ποντόνοος θῆκε θρόνον ἀργυρόηλον
„ Μέσσῳ δαιτυμόνων, πρὸς κίονα μακρὸν ἐρείσας·
„ Καδδ' ἐκ πασσαλόφιν κρέμασεν φόρμιγγα λιγεῖαν
„ Ὑψοῦ ὑπὲρ κεφαλῆς, καὶ ἐπέφραδε χερσὶν ἑλέσθαι·
„ Κήρυξ παρ δ' ἐτίθει κάνεον, καλήν τε τράπεζαν,
„ Παρ δὲ δέπας οἴνοιο, πιεῖν ὅτε θυμὸς ἀνώγοι.

Τῆς δ' ἐκ χείρας πέρας ἐχέσης,

„ Μῶσ' ἄρ' ἀοιδὸν ἀνῆκεν ἀειδέμεναι κλέα ἀνδρῶν
„ Οἵμης, τῆς τότ' ἄρα κλέος οὐρανὸν εὐρὺν ἵκανε,
„ Νεῖκος Ὀδυσσῆος, καὶ Πηλεΐδεω Ἀχιλῆος.

Αὖθις δὲ μετὰ τὴν ἔρχησιν ὁ Δημοδόκος

„ . . . . Ἀνεβάλλετο καλὸν ἀείδειν
„ Ἀμφ' Ἄρεος Φιλότητος, ἐϋστεφάνου τ' Ἀφροδίτης,
„ Ὡς τὰ πρῶτα μίγησαν ἐν Ἡφαίστοιο δόμοισι.

Εὐωχίας δὲ καινῆς παρατεθείσης, παρῆν ὁμοίως μέτοχον τῶι δαιτυμόνων Δημοδόκος, ὃν τὴν περὶ τὸ ᾄδειν ἐμπειρίαν Ὀδυσσεὺς παρὰ τοῖς Φαίαξι σφόδρα ἠγάσατο:

„ Κῆρυξ, τῆ δὴ τοῦτο πόρε κρέας, ὄφρα φάγῃσι
„ Δημοδόκῳ, καί μιν προσπτύξομαι ἀχνύμενός περ.
„ Πᾶσι γὰρ ἀνθρώποισιν ἐπιχθονίοισιν ἀοιδοὶ
„ Τιμῆς ἔμμοροι εἰσὶ καὶ αἰδοῦς, οὕνεκ' ἄρα σφέας
„ Οἵμας Μῶσ' ἐδίδαξε· φίλησε δὲ φῦλον ἀοιδῶν.

Εἶτα δὲ Δημοδόκου αὐτὸν προσφθεγξάμενος:

„ Δημοδόκ', ἔξοχα δή σε βροτῶν αἰνίζομ' ἁπάντων·
„ Ἢ σέ γε Μῶσ' ἐδίδαξε Διὸς παῖς, ἢ σεγ' Ἀπόλλων·
„ Λίην γὰρ κατὰ κόσμον Ἀχαιῶν οἶτον ἀείδεις.

Ἔπειτα:

„ Ἀλλ' ἄγε δὴ μετάβηθι, καὶ ἵππου κόσμον ἄεισον
„ Δουρατέου, τὸν Ἐπειὸς ἐποίησε σὺν Ἀθήνῃ.
„ Ὃν πάϊ ἐς ἀκρόπολιν, δόλον, ἤγαγε δῖος Ὀδυσσεὺς

„ Ἀνδρῶν ἐμπλήσας, οἳ Ἴλιον ἐξαλάπαξαν.
„ Ἄϊσεν δή μοι ταῦτα κατὰ μοῖραν καταλέξῃς,
„ Αὐτίκ' ἐγὼ πᾶσιν μυθήσομαι ἀνθρώποισιν
„ Ὡς ἄρα τοι πρόφρων Θεὸς ὤπασε θέσπιν ἀοιδήν.

Εἶξε δὴ Δημοδόκος: Ὀδυσσεὺς δὲ μεταξὺ τᾶτο ἄδοντος, καθὰ πρὶν, ὅτε τὸ μεταξὺ Ὀδυσσέως τε καὶ Ἀχιλλέως διεμέλπετο νεῖκος, δάκρυσι τὰς παρειὰς περιέρρει. Ὅπερ Ἀλκίνοος παρατηρήσας, πάυσαθαι τῆς ᾠδῆς ἐπεκέλευσε Δημοδόκῳ.

Ἐπὶ δ' ἄρα τᾷ τελευταίᾳ εὐωχήματος, τῆς νηὸς ἤδη Ὀδυσσέως ἐπιβησομένᾳ, μολπὴν ἄυθις ἀναγινώσκομεν Δημοδόκον ἀναβαλέσθαι: (Ὀδυσ: Ν'.)

„ . . . . μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς
„ Δημοδόκος, λαοῖσι τετιμένος . . . . . .

Ταῦτα περὶ Δημοδόκᾳ ἐκ τῶν Ὁμήρᾳ, ὧν καὶ Πλάταρχος μέμνηται ἐν τᾷ περὶ Μαυσικῆς κατ' ἀρχὰς τᾷ Βιβλίᾳ, ἐκ τῆς Ἡρακλείδᾳ „ συναγωγῆς τῶν ἐν Μαυσικῇ ἀναλέξας: Γεγονέναι „γὰρ διέξεισι καὶ Δημοδόκον Κερκυραῖον παλαιὸν „Μαυσικὸν ὃν πεποιηκέναι Ἰλίου τε πόρθησιν, καὶ „Ἀφροδίτης καὶ Ἡφαίστου γάμον. Μᾶλλον δὲ δήπου: Φιλότητα Ἄρεος, καὶ Ἀφροδίτης ἐϋστεφάνου: καθ' Ὅμηρον εἰπεῖν.

Κέρκυραν δ' ὑπάρξαι τὴν Δημοδόκᾳ πατρίδα, παραπλησίως τῷ Πλαταρχῳ καὶ ὁ Κέκης φησὶν, ἐν τοῖς εἰς τὸν Λυκόφρονα προλεγομένοις, ὡς ἐκ Δημητρίᾳ τᾷ Φαληρέως· τὰς γὰρ ἐπὶ Μαυσικοῖς „ὀργάνοις ἔπη προσᾴδοντας ἀναφέρων: Οἵοι περ ἦσαν, (φησὶ) „Ποιηταὶ, ὡς ὁ Φαληρεὺς Δημήτριος γράφει „Αὐτομέδης, καὶ Δημοδόκος, καὶ Χάιρις, οἱ Κερκυ-

„ρᾶιοι, καὶ ὁ Ἰθάκιος Φήμιος, καὶ οἱ λοιποὶ, ἓς ὁ „Φαληρεὺς Δημήτριος γράφει. Οὐδὲ γὰρ αὐτὸς „ἀγνοῶ. Ἀλλὰ γὰρ τὸν Δημοδόκον Λακεδαιμόνιον εἶναι, Εὐσάθιος ἀποφαίνεται, (Ὀδυσ: ἐν τῷ Γ'.) τὸν αὐτὸν Φαληρέα Δημήτριον μάρτυρα προκαλέμενος. Περὶ δὲ τῦ Δημοδόκε, Ἰωάνν: Ἄλβερτος ὁ Φαβρίκιος (ἐν τῇ αὐτῦ Ἑλλην: Βιβλιοθ: Βιβλ: Α'. Κεφ: Α'., καὶ ἐν Κεφ: δὲ Γ'. τῦ αὐτῦ Βιβλ: περὶ τὸ τέλος αὖθις μεμνημένος:) ἔ φησὶ τὸν Κέκην ἀνεγνωκέναι Αὐτομέδην, ἀλλ' ἐδὲ Δημοδόκον, καὶ Χαίριν Κερκυραῖον, ἢ Φήμιον Ἰθακον: Ἀναγινώσκει δὲ αὐτὸς ἐν τοῖς Κέκε, ὥσπερ ὁ Κέκης ἐγέγραφεν· ἐξείληφέ τε (ὡς ἐγ' ὤμαι·) τὸ ἀγνοῶ, ὃ σημαίνει τὸ ἂκ οἶδα: ἀντὶ τῦ ἀναγινώσκω· ὃ δηλοῖ τὸ: Τὰ γεγραμμένα ἐν Βιβλίῳ διέρχομαι.

Παραπλησίως Ἰωάνν: Μεέρσιος ἐν τῇ Ἑλλην: Βιβλιοθ: τὰς Δημοδόκε ποιήσεις καταλέγων: Γλίσε πόρθησιν, καὶ Ἡφαίσε καὶ Ἀφροδίτης γαμον ἀναφέρων, συναδει Πλεταρχῳ τε καὶ Ἡρακλείδη, ἀλλ' Ὁμήρε λανθάνων διαπεφώνηκε, καθ' ὅ, τι ἀνήκει τῷ δευτέρῳ ποιήματι· ὅ, τι δὲ τῷ πρώτῳ ἀνήκει, ἔτως Ἡφαίσε Πτολεμαῖος ἔχει παρὰ Φωτίῳ. (Βιβλιοθ: ἐν Κώδικ: Ἑκατοστῷ ἐννε„νηκοστῷ) Ὀδυσσεὺς ἐν Τυρρηνίᾳ ἠγωνίσατο Αὐλη„τικὴν, καὶ ἐνίκησεν. Ηὔλισε δὲ Δημοδόκε ποίη„μα, Γλίσ ἅλωσιν. Παυσανίας δὲ (ἐν τοῖς Λακωνικοῖς·) τὸν „Ἀμυκλαίσ ιλιν͡ηρα (ἢ δίφρον) περιγράφων: καὶ Φαιάκων „(φησὶ) χορὸς ἐστὶν ἐπὶ τῷ θρόνῳ, καὶ ᾄδων ὁ Δη„μοδόκος.

Ἐπὶ τῆς παλαιᾶς τε καὶ πολυκρότε διαμφισβητήσεως, τῆς: πότερον πρὸ Ὁμήρε Ποιηταὶ ὑπῆρξαν: τὰ Δημοδόκε τε καὶ Φημίσ ἔπη, τὸν Κικέρωνα εἰς κατάφασιν εἵλξαν: Οὐ χρὴ ἐν„δοιάζειν (φάσκοντα) ἐν τῷ Βρύτῳ), εἰ καὶ πρὸ τῦ

„Ο᾽μήρε Ποιηταί τινες ἐτύγχανον γεγονότες;
„ξυνοράᾳν πάρεστιν ἐξ ὧν παρ᾽ αὐτῷ ἐν ταῖς τῶν
„Φαιάκων καὶ τῶν Μνηστήρων εὐωχίαις λεγομένων
„ἀκόμεν. Ἀλλὰ μήποτε τὰ τοιαῦτα ἔπη ὑπὸ Ο᾽μήρε ποιητικώτερον πέπλασται, οἷα δήπε καὶ τὰ πλεῖστα τῶν ἐν ταῖς μάχαις ἀριστευσάντων ἀνδραγαθήματα; οὕτω γὰρ καὶ Λέων ὑπειληφὼς ἦν ὁ Ἀλλάτιος, (ἐν τῷ περὶ τῆς Ο᾽μήρ: Πατρίδ: Κεφ: Δ΄.) Καὶ γάρτοι καὶ Σέξτος ὁ Ε᾽μπειρικὸς (ἐν Α΄. τῶν κατὰ τῶν Μαθηματ:) ἔφη:
„Ποίημα ἐδὲν πρεσβύτερον ἦκεν εἰς ἡμᾶς τῆς
„Ο᾽μήρε ποιήσεως. Γενέσθαι μέντοιγε καὶ πρὸ αὐτῦ Ο᾽μήρε, καὶ ἐπ᾽ ἐκείνε ὁ αὐτὸς Συγγραφεὺς πιθανὸν ἡγεῖται, ἐξ αὐτῶν Ο᾽μηρικῶν ποιημάτων· καὶ τόδ᾽ ἐπάγει ἐκ τῦ ἐν Ο᾽δυσ: Α΄.

„Τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείσσ᾽ ἄνθρωποι,
„Ἥτις ἀκροντεσσι νεωτάτη ἀμφιπέληται.

Περὶ δὴ τότε τῦ ζητήματος πολλοὶ ἐπραγματεύσαντο, καὶ πρόγε τῶν ἄλλων Λέων ὁ Ἀλλάτιος ἐν τῷ ῥηθέντι συγγράμματι: ἔνθα καὶ τὴν Βελλείε τῦ Πατέρκλε περιπτύσσεται κρίσιν: Clariſſimum (Βελλέϊος ἔφη Βιβλ: Α΄.) deinde Homeri illuxit ingenium ſine exemplo maximum; qui magnitudine operum, et fulgore carminum, ſolus appellari Poëta meruit: in quo hoc maximum eſt, quod neque ante illum, quem ille imitaretur, neque poſt illum, qui eum imitari poſſet, inventus eſt: neque quemqam alium, cujus operis primus author fuerit, in eo perfectiſſimum, præter Homerum, et Archilochum, reperiemus. Τετέσι: Περιαυγεσάτη ἐ-
„φεξῆς ἡ Ο᾽μήρε ἐπέλαμψεν εὐφυΐα, ἀπαραβλήτως
„μεγίστη, ὅστις διάτε τὸ μεγαλεῖον τῶν πεποιμένων,
„καὶ τὴν τῶν ἐπῶν ἄγλαϊν, μόνος ἀνεφάνη Ποιητὴς

„ὀνομάζεθαι δίκαιος· ἐν ᾧ τετὶ δὴ τὸ μέγιστον ἐστὶν,
„ὅτ. ἔτε δὴ πρὸ αὐτοῦ τις, ὃν ἂν αὐτὸς ἐκμιμηθείη,
„ἔτε δὴ μετ' αὐτὸν, ὃς ἂν τοῦτον ἀπομιμήσαθαι δύ-
„ναιτο, ἀνεφάνη. Οὐδὲ γὰρ ἂν ἕτερόν τινα εὕροι-
„μεν, τὸν πρῶτον, καθ' ἑαυτό τι τελεώτατον, ἐκ-
„πεπονηκότα, παρεκτὸς Ὁμήρε καὶ Ἀρχιλόχε.

ΚΕΦΑΛ. ΙΔ'.

Η περὶ τὴν Ἀφροδίτης καὶ Ἄρεος μίξιν ᾠδὴ Δημοδόκε, καὶ περὶ τῆς Φαιάκων τρυφῆς (ἥτις εἰς παροιμίαν προεξηνέχθη) διελθεῖν τι ἡμᾶς
„ἐνάγει. Ἐπεὶ κατὰ τὸν Ἀθήναιον, (ἐν Βιβλ: Α'. Κεφ: ΙΒ'.) Ο'
„παρὰ Φαίαξι Δημοδόκος, ᾄδει Ἄρεος καὶ Ἀφροδίτης
„συνουσίαν, ἐ διὰ τὸ ἀποδέχεθαι τὸ τοιοῦτον πάθος,
„ἀλλ' ἀποτρέπων αὐτὸς παρανόμων ὀρέξεων, εἰδὼς ἐν
„τρυφερῷ τινὶ βίῳ τεθραμμένες, κἀντεῦθεν
„τὰ ὁμοιότατα τοῖς τρόποις αὐτῶν τὰ πρὸς ἀνα-
„παυσιν προφέρων. Τὰ δ'αὐτὰ καὶ Σεῖδας ἔχει ἐν τῇ Φωνῇ
„(ᾠδὸς.) ὁ Δίδυμος ὁ Σχολιαστὴς ὡσάυτως: Παιδεύει (φησὶν)
„αὐτὸς μὴ ἀσελγένειν, ὡς ὑ Θεῶν διὰ ταῦτα χημονέντων.

Η' ἐν ῥαστώνῃ τε καὶ τρυφῇ ὄρεξις τε βίε, ᾗ Φαίακες ὑπεφλέγοντο, ὡς ὀλίγον ἐστὶ συμβαίνεσα τοῖς ἐς τόδε περὶ τῶν ἠθῶν τε καὶ τρόπων αὐτῶν εἰρημένοις: ἀμέλει τοι περί τε τῆς ἐν τῇ θρησκείᾳ ὁσιότητος, καὶ περὶ τῆς Φιλοξενίας, καὶ τῆς περὶ τὴν Ναυτιλλίαν ἐμπειρίας, καὶ περὶ τῶν ἐν ἄθλοις ἀγωνισμάτων: ῥᾷστον ἐστὶ συνιδεῖν. Τὰ γὰρ τοιαῦτα, ἐχὶ τοῖς Φιληδονέσι τε καὶ τρυφῶσιν ἀλλ' ἤδη πε τῷ χρησοήθει τε καὶ κοσμίῳ, καὶ καρτερικῷ, ὑ Φιλοπόνῳ προσγίνεται. Ἀλλ' ὁ δῆμος ὁ τῶν Φαιάκων, ἐ καλῶς, ᾗπερ ἔφην, παρὰ τοῖς

ἀρχαιοτέροις ἀκήκοεν. Ἔνθεν τοι καὶ κατὰ τὸν Ὡράτιον, ἄνδρες τρυφηλοί τε καὶ ἡδοναῖς προσετηκότες κέκληνται Ἀλκίνοός τε καὶ Φαίακες· (ἐν ἐπιστ: Α'. Βιβλ: Α'.)

Nos numerus ſumus, & fruges conſumere nati
Sponſi Penelopes, nebulones, Alcinoique,
In cute curanda plus aequo operata juventus.

„ (Ἥμες ἀριθμὸς, καὶ καρπὸς ἀναλῶν πεφυκῶτες,
„ Πηνελόπης μνηστῆρες, ἀχρήϊοι, Ἀλκίνοοί τε,
„ Δέρματι δαλεύσα ὑπὲρ τὸ δέον νεολαία.)

Καὶ ἐν Ἐπιστολῇ δὲ τῇ ΙΕ'.)

Pinguis ut inde domum poſſim Phaeaxque reuerti.

„ (Ὡς λιπαρὴς ἔξειν ἐπανελθεῖν οἴκαδε Φαίαξ.)

Ἡ μὲν ἐν Φαιάκων αὕτη ἐπὶ τρυφηλότητι παροιμία, ἐξ ὧν Ἀλκίνοος αὐτὸς ἔφη διεξεπήγασεν (Ο'δ: Θ'.)

„ Αἰεὶ δ' ἡμῖν δαὶς τε φίλη, κίθαρίς τε, χοροί τε
„ Εἵματά τ' ἐξαμοιβὰ, λοετρά τε θερμὰ, καὶ εὐνή.

Εἶτ' ἐπειδή τινες διέβαλλον Ὀδυσσέα, ὡς δογματιστὴν Ἐπικουρείου τρυφῆς, διὰ τὸ εἰπεῖν, τὰ ἑν (Οδυσ: Ι'.)

„ Οὐ γὰρ ἔγωγέ τι φημὶ χαριέστερον εἶναι,
„ Ἢ ὅτε κε ἐυφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα,
„ Δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ
„ Ἥμενοι ἑξείης· παρὰ δὲ πλήθωσι τράπεζαι

„ Σίτε, καὶ πρεσβυτέρου μέθυ δ' ἐκ πρητῆρος ἀφύσσων
„ Οἰνοχόος φορέῃσι, καὶ ἐγχείῃ δεπάεσσι·
„ Τῆτο τι μοι πάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι.

Ἐντεῦθεν Μεγακλείδης παρ' Ἀθηναίῳ (Βιβλ: ΙΒ'. Κεφ: Α'.) ὡς ἂν Ὀδυσσέα τῆς μέμψεως ἀπαλλάξειεν, ἐπὶ Φαίακας αὐτὴν μετέρριψε, „ λέγων: Τὸν Ὀδυσσέα καθομιλῆντα τὲς καιρὲς, ὑπὲρ τῦ „ δοκεῖν ὁμοήθης τοῖς Φαίαξιν εἶναι, τὸ ἀβροδιαίτατον αὐ- „ τῶν ἀσπάζεθαι προπυθόμενον τῦ Ἀλκινόε: Ἀεὶ δ' ἡμῖν „ δαῖς τε φίλη κτ: μόνως γὰρ ἔτως ὠήθη, ὧν ἤλπιζε „ μὴ διαμαρτεῖν.

Ἄλλως μέντοι γε τῷ Ὀδυσσεῖ ἐπαμῦναι, δίχα τῦ τοῖς Φαίαξι λοιδορήσαθαι, ἐξεῦρε παρὰ τῷ αὐτῷ Ἀθηναίῳ (Βιβλ: Α'. Κεφ: ΙΔ'.) τὰ προεκτεθέντα Ὁμήρε ἔπη, παραινῶν ἔτω χρῆναι ἀναγινώσκεθαι: „ Ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κανότητος ἀπάσης: τὰς δύο τελευτίας τῦ ἔπες λέξεις τιθεὶς ἀντὶ τῶν: κατὰ δῆμον „ ἅπαντα. Προσίθησι γὰρ Ἐρατοσθένης, ὅτι ἀδύνατον μὴ „ φρονίμες εἶναι Φαίακας, οἵ μάλα φίλοι εἰσὶ Θεοῖ- „ σιν, ὡς ὁ Ναυσικράτης φησί.

Τὴν τεθεῖσαν Ἐρατοσθένες ἐπιδιόρθωσιν ὁ Κασσεβόνος ἤκιστα δοκιμάζει, ἐν ταῖς ἐπισασίαις αὐτῦ ταῖς εἰς τὸν Ἀθήναιον. Ἐν γὰρ τῷ Ὁμηρικῷ ἔπει, κομψῶς (φησὶν) ἠχεῖ: τὰ, ἔχῃ κατὰ δῆμον ἅπαντα· τὰ ὑπὸ Ἐρατοσθένες ἀποκρεθέντα ῥήματα. Καὶ ἐπ' ἐκεῖνο δ' ὁ Κασσεβόνος ἐγκρίνει, ὅτι ἡ παρὰ τῦ Ναυσικράτες μαρτυρία παρείληπται, τῆς ἐξ Ὁμήρε παρέσης· (Ὀδυσ: Η'.) καθ' ἣν Ἀλκίνοος τὲς αὐτῦ Φαίακας ἐμεγάλυνεν, ἀγχιθέες ὄντας ἐμφαίνων. Προθεῖναι

δ' εἶχε, μηδ' ἐκεῖνο ἐγκρίναν: ὅτι τὰ τῦ Ὀδυσσέως ῥήματα: Οὐ γὰρ ἔγωγέ τι κτ: τῷ Ἀλκινόῳ προσνέμεται, καὶ μὲν δὴ καὶ τοῖς Ἀλκινέω ἐκείνοις: Αἰεὶ δ' ἡμῖν κτ:, συνάπτεται: ἐφ' οἷς Ἀθήναιον δήπε ἡ μνήμη διέλιπε. Τελευταῖον δὲ ἐδ' ἐκεῖνο ἦν ἐγκριτέον, τὸ ὑπὸ Γακώβε Δαλεκαμπίε ἐι τῇ μεταφράσει ἐπιπροσεθὲν (haud recte:) ἐκ ὀρθῶς: ὡς εἴπερ Ἀθήναιος τὴν Ἐρατοσθένες ἐπιδιόρθωσιν ἀπεβάλλετο, ὅπερ ἂν ἐν τῦ Ἑλληνικῦ ὕφες ἐ φάινεται. Παρὰ δὲ ταῦτα καὶ ἡ τοιάδε προσθήκη τὴν διάνοιαν συγχεῖ τῆς Λατινικῆς ἑρμηνείας, ὡς δῆλον ἔσαι τῷ μετιόντι. Τοιγαρῦν αὐτὸς τῆς Ἀθηναίε ἐκδοχῆς, καὶ τῆς Ἐρατοσθένες ἐπιδιορθώσεως, μᾶλλον ἂν ἐλοίμην τὴν Διδύμε δόξαν, ὃς ἐπὶ τοῖς ῥήμασιν: Οὐ γὰρ ἔγω-
„γέ τι Φημί: παρασημειοῖ ἔτω: Ταῦτα ἁρμοζόμενος
„τῷ καιρῷ λέγει· ἐ τῦ παντὸς δὲ βίε τέλος εἴρηκε
„τὴν ἡδονὴν, ἀλλὰ συμποσίε τινός. Καὶ ἑτέραν δέ τινα
„τῦ Ἀθηναίε διερμήνευσιν αὐτοὶ μετ' ἐ πολλὰ παραθήσομεν.

Τὴν πολυτελῆ, καὶ τρυφῆς ἁπάσης γέμεσαν εὐωχίαν ὁ Ναζιανζηνὸς Γρηγόριος ἐν τοῖς ἐμμέτροις αὐτῦ λόγοις παραθηλώσων, Ἀλκινόε τράπεζαν αὐτὴν ἐπωνόμασεν. Καὶ ἐν τῇ ἐπις: δὲ τῇ πρὸς τὸν Βασίλειον ὡσαύτως. Διεβλήθη δὲ τυχὸν ἡ τῦ Ἀλκινόε τράπεζα καὶντεῦθεν, ὅτι τῶν δαιτυμόνων πάλαι τῆς νυκτὸς ἐγγιζέσης ἀπέρχεθαι εἰωθότων, οἱ Φαίακες ἐπὶ μακρὸν τῆς νυκτὸς παρέτεινον προάγοντες τὰ συμπόσια: χρύσεοι ἐπεί τοιγε νεανίσκοι τινὲς, ἐπ' ὀκριβάντων ἑσάμενοι, διέφαινον τοῖς συμπόταις: (Ὀδ: Η'.)

„Ἔνθα δὲ Φαιήκων ἡγήτορες ἔδριόωντο
„Πίνοντες κ) ἔδοντες· ἐπηετανὸν γὰρ ἔχεσκον.

„ Χρύσεοι δ' ἄρα κοῦροι ἐϋδμήτων ἐπὶ βωμῶν
„ Ἕστασαν, αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχοντες,
„ Φαίνοντες νύκτας κατὰ δώματα δαιτυμόνεσσιν.

Ἀλλ' ὡς ἂν δῆλον γένοιτο ταῖς Φαιάκων εὐωχίαις μέτρον τε καὶ ὅρος ἐπετεθεῖσθαι, ὃς ἄλλοι μακρῷ τρυφηλότεροι γεγονότες παρελθεῖν εὕρηνται, ἐκ πλείστων παραδειγμάτων παρὰ τῷ αὐτῷ Ἀθηναίῳ ληφθέντων, δεῖξαι ῥᾴδιον. Καὶ πρῶτον (ἐκ τῆ Α'. Βιβλ: Κεφ: Η'.) περὶ τῆς διαίτης αὐτὸς λέγων, ἧς Σῖμμος τοῖς κατ' αὐτὸν Ἥρωσιν ἀπονέμει, ὀπτὰ τέτοις κρέα ἐπαρκέσαι γράφει, καὶ Ἀλκινόῳ δὲ τῷ τὸν τρυφερὸν ἐπανηρημένῳ βίον. Καὶ μετ' ὀλίγα δὲ, ταῖς τῶν Ἡρώων τραπέζαις, ἀδέποτε (φησὶν) Σῖμμος τὰς ἐξ ἰχθύων ἀβρότητας παρατιθέμενος φαίνεται, καί τοιγε τὰς Φαίακας πλωτικωτάτας ποιῶν. Ἀλλ' ἀδὲ τὰς ἐκ τῶν ὀπορῶν τρυφὰς, καίπερ αὐτοῖς τὴν ὀπώραν, πάντα χρόνον παρασκευάζων ἀθάνατον. Ὁ δ' αὐτὸς αὐτὲς, διαίτης „ ἀκ ἁπλήσως ἀπολαύοντας παρίστησιν, ἀλλ' ὡς οἱ „ κράτιστοι τῶν ἰατρῶν ἀφαιρεῖ τὰς πλησμονάς:

„ Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο.

„ Καὶ τὴν ἐπιθυμίαν πληρώσαντες, οἱ μὲν ἐξώρ- „ μων ἐπὶ μελέτην ἀθλητικὴν, δίσκοισι τερπόμε- „ νοι καὶ αἰγανέαις, τῇ παιδιᾷ τὰ πρὸς σπουδὴν ἐκ- „ μελετῶντες· οἱ δὲ κιθαρῳδῶν ἠκροῶντο, τὰς Ἡρωϊ- „ κὰς πράξεις ἐν μέλει καὶ ῥυθμῷ ποιούντων. Ταῦτα δὲ πάντως ἀκ ἄλλ' ἢ τὸν Φαιάκων παρίστησι καὶ ἐπαινεῖ τρόπον, περὶ ἃ ἀνωτέρω ἐλέγετο.

Αὖθις δὲ (ἐπὶ τῆ Δ'. Βιβλ:) τὰ τῶν Μνησήρων καὶ τῶν Φαι-
„ἄκων συμπόσια παραβάλλων ἀλλήλοις ἐκ τῶν Ὁμήρε: ἔστι γάρ
„(φησὶν) αὐτῷ τὸ μὲν τῶν μνησήρων, οἷον ἂν γένοι-
„το νέα νίσκων μέθαις καὶ ἔρωσιν ἀνακειμένων· τὸ
„δὲ τῶν Φαιάκων, εὐσαθέστερον μὲν τέτων, φιλήδονον δέ.

Ἔπειτα (Βιβλ: Ε'. Κεφ: ϛ'.) διεξελθὼν Ἀθήναιος τὴν Ἀλκινόε παι-
„δαισίαν, πρὸς ἣν ὁ τῆ Ὀδυσσέως ἀφορᾷ λόγος: **Οὐ γὰρ ἔγωγέ τοι**
φημὶ κτ: δῆλόν ἔ, ὅτι φιλανθρώπως τε καὶ φιλοφρόνως ἐκδεκτέος
„ἐστὶν ὁ ἐπιξενέμενος δείκνυται, προσίθησιν: Ὅπερ συμβάλλων
„τις πρὸς τὸ τῶν φιλοσόφων συμπόσια, κοσμιώ-
„τερον ἂν εὕροι· καί τοι τῆτο περιέχον καὶ ἱλαρό-
„τητα, καὶ παιδίαν εὐχήμονα. (Εἶτα ἐπάγει:) Μετὰ
„γὰρ τὸν ἀγῶνα τὸν γυμνικὸν ᾄδει ὁ ἀοιδὸς ἀμφ' Ἄρε-
„ος φιλότητα μῦθον τινὰ, χλέυη κεκραμένον, καί τοι
„εἰς τὴν μνησηροφονίαν ὑποθηκῶν ὑποτιθεμένων
„τῷ Ὀδυσσεῖ, τῆ Ἡφαίςε, καὶ τῆ Κυλλοποδίωνος τὸν ἀν-
„δρειότατον Ἄρη καταγωνισαμένε.

Τελευταῖον (ἐν Βιβλ: ΙΓ'. Κεφ: Η'.) καί τινα ἑτέραν τῶν Φαι-
ἀκων πρὸς Στράτωνα τὸν Σιδονίων Ἄνακτα παράθεσιν προβαλλόμενος,
„πρώτην ἐν ἀμφοτέροις διαφορὰν ὑπέθετο: Οἷα γὰρ τὲς Φαίακας
„Ὅμηρος ποιεῖν μεμυθολόγηκεν ἑορτάζοντας, καὶ πίνον-
„τας, καὶ κιθαρῳδῶν, καὶ ῥαψῳδῶν ἀκροωμένες, τοιαῦτα
„καὶ ὁ Στράτων διετέλει ποιῶν πολὺν χρόνον. Καὶ ἄλλην
„δὲ προσετίθει διαφοράν: ὅτι, ὁ μὲν Στράτων, Γυναικαρίοις τε
„καὶ ἑταιρίσι συνευωχεῖτο, Φαίακες δὲ (ὡς φησὶν Ὅμηρος)
„μετὰ τῶν οἰκείων γυναικῶν καὶ θυγατέρων ἐποι-
„ῆντο τὲς πότες.

Ἐξ ὧν δὴ πάντων γίνεται φανερὸν, τὲς Φαίακας, καὶ τοῖς τρυ-
φαῖς ἐκδότοις συγκαταλεγομένες δήμοις, πολὺ μέν τοι ἀποχέθαι τῆς

δι' ἀκρασίαν ἄμετρον δυσφημίας· αὐτὲς γὰρ περὶ οἰνοφλυγίαν ἔτως ἐξώλεις γενέσθαι ἡγήσαιτ' ἄν τις ὑπὸ Γακώβε παρακεσθεὶς τῆ Δαλεκαμπίε, τῆ τὸ Ἀλκινόε πρὸς Ποντόνοον ῥηθὲν (Ὀδυσ: Η'.) προβαλλομένε.

„ . . . . . Μέθυ νεῖμον
„ Πᾶσιν ἀνὰ μέγαρον . . . . .

Οὕτω δηλονότι (παρ' Ἀθην: Βιβλ: Α'. Κεφαλ: ΙΑ'.) μεταφράζοντος.

Fac ut ſint temulenti in noſtris aedibus omnes.

„ (Οἰνοβαρεῖς ποίησον ἐν ἡμῖν δώμασι πάντας.)

Κακῶς δήπε τὸ (ὡς ἔδει) μεταφραξέον.

Vinum diſtribue omnibus per domum.

Ἀλόγως γὰρ ἐκεῖνος μεταφράσας, μετείληφε τὸ μέθυ ἀντὶ τῆς μέθης, ἐκ ἀντὶ τῆ οἴνε, ὡς σύνηθες Ὁμήρῳ ὑποτίθεσθαι. Ἀλλὰ γὰρ πολλὰ ἐπὶ τῆς Δαλεκαμπίε μεταφράσεως, ἐλέγχε ἐξὶν ἄξια, ἅπερ ἀνεξέλεγκτα παρῆλθε Κασαεβόνος, καὶν ἅλως αὐτῷ γε τέτῳ τὴν τῆ Ἀθηναίε ἐπανόρθωσίν τε καὶ ἀποκατάσασιν ἐποφείλωμεν.

Τὴν τῶν οἰνοφλύγων ἐθνῶν καταγραφὴν Ἀθήναιος (ἐπὶ τῆ Γ'. Βιβλ:) προσέθετο. Καὶ Αἰλιανὸς δὲ, (ἐν τᾷ Γ'. τῶν αὐτῆ Κεφ: ΙΕ'.) ἀλλ' ἑτέρος ἐκείνοις τὲς Φαίακας συγκατέταξεν.

Περὶ δὲ τῆ, ἔτι Φαίακες Ὀδυσσέα ἐπὶ Ἰθάκης μετεπορθμέυσαντες, ἥπερ εἴρηται, ἐδαμῶς ἀφύπνισαν, ἀλλ' ἠρέμα ἐπὶ χθονὸς καταθέντες ἔτω πως ἔυδοντα ἔασαν, πρὸς δὴ ποικίλης ἄλλαις Εὐσάθιος,

„καὶ ταύτην αἰτίαν ἐπιφέρει τὴν ἐφεξῆς: Τυχὸν δὲ καὶ δεδίασι, „μὴ συχεθέντες καταμηύσωσι τὴν τέως κεκρύφ„θαι δοκοῦσαν Φαιακίαν, καὶ ἔτω ῥᾷον ἐπιβουλεύ„θωσιν, ἄνθρωποι φιλήδονίαν συναδότες ἑαυτοῖς, „καὶ βίον ἀπολαυστικὸν καὶ ἀπόλεμον· οἷς ἐβιὸς „μέλει, ἐδὲ φαρέτρη, ἀλλὰ δαῖτες, καὶ χοροὶ, καὶ „λοετρὰ, καὶ τὰ τέτοις σύστοιχα· ὅθεν καὶ νυκτὸς „αὐτοῖς ὁ ἀνάπλους γέγονεν, ἵνα μὴ ἔχῃ Ὀδυσ„σεὺς, ἡμέρας ἔσης, παρασημειῶσθαι τόπους τι„νάς. Ἀλλ' ὅπως δὴ ταῦτα συμβαίνει, τοῖς περὶ τῶν παρὰ Φαίαξιν ἀθλητικῶν ἀγωνισμάτων, καὶ τῆς περὶ τὴν ναυτιλίαν ἐμπειρίας αὐτῶν καὶ δεξιότητος· περὶ ὧν ἀνωτέρω ἐκ τῶν Ὁμήρε λόγος ἐγένετο· ἰδέτω Εὐσάθιος, ὁ Σχολιαστὴς ἐκείνε ὁ ἀκριβέστατος.

ΚΕΦΑΛ. ΙΕ.

Ἐπειδὴ δὲ ἐκ τῆς περὶ τὰς τρυφὰς ἀκρασίας, ἡ περὶ τὸ νοεῖν γενναῖαν νωθρότης τε καὶ νωχέλεια, διὰ δὴ τέτο καὶ ἐν παροιμίαις, ὡς ἀμβλεῖς τινες καὶ ἐυήθεις οἱ Φαίακες κοινῇ περιᾴδονται, καθότι καὶ τοῖς Ὀδυσσέως διηγήμασι, τῆς ὑπερβαλλέσης ἔμπλεω τερατείας, προσοχήν τε παρεχηκόσι καὶ πίστιν. Οἷον τοῖς περὶ τῶν Κικόνων ἐκείνοις, καὶ τοῖς τῶν Λωτοφάγων, καὶ τῶν Κυκλώπων, καὶ τῦ Αἰόλε, καὶ τῶν Λαιστρυγόνων, καὶ τῆς Κίρκης· καὶ περὶ τῶν ἐν Ἅδε, καὶ Σειρήνων πέρι, καὶ Σκύλλης, καὶ Χαρύβδεως, καὶ τῶν Ἡλίε βοῶν, ἅπερ ἐν τέσσαρσιν ὅλοις βιβλίοις Ὁμήρας περιείληφεν· ὅθεν καὶ ἡ Παροιμία, τῦ Ἀλκινόε ἀπολόγες ἀποκαλεῖν χαίρει τὰς μακρᾶς τε καὶ γραώδεις διαμυθεύσεις, παρά τε τῷ Διογενιανῷ, καὶ Ἑλλίῳ τῷ Πολυδεύκει· ἧς περ καὶ Πλάτων ἐμνήσθη, καὶ Ἀριστοτέλης· ὡς ἰδεῖν ἐςὶν ἐν ταῖς χιλιάσι ταῖς τῶν Παροιμιογράφων.

Ἰ'ωβενάλιος, (ἐν τῇ ΙΕ'. Σατύρᾳ τῆ Ε'. Βιβλ:) κατὰ τῆς τῶν ἀπανθρώπων Αἰγυπτίων ἀπηνείας καταφερόμενος, οἱ, τῶν κρεῶν τῶν κτηνῶν ἀποχόμενοι, κρέασιν ἀνθρωπικοῖς ἐσιτῆντο, τοιάδ' ἔχει, πρός γε τὸ προκείμενον ἐπανήκοντα.

. . . . . Attonito cum
Tale ſuper coenam facinus narraret Ulyſſes
Alcinoo, bilem aut riſum fortaſſe quibusdam
Moverat, ut mendax aretalogus. In mare nemo
Hunc abiicit, ſaevâ dignum veraque Charybdi,
Fingentem immanes Leſtrygonas, atque Cyclopas?
Nam citius Scyllam, vel concurrentia ſaxa
Cyanes, plenos et tempeſtatibus utres
Crediderim, aut tenui percuſſum verbere Circes,
Et cum remigibus grunniſſe Elpenora porcis
Tam vacui capitis populum Phaeaca putavit?
Sic aliquis merito nondum ebrius, et minimum qui
De Corcyrea temetum deduxerat urna.
Solus enim hoc Ithacus nullo ſub teſte canebat.

„Ὅτε τὸ ἔτω μιαρὸν ἔργον ἐπὶ δαιτὸς Ὀδυσσεὺς δι-
„ηγεῖτο, τῆ Ἀλκινόῃ τεθηπότος, χολὴν, ἢ γέλω-
„τα τυχὸν ἐνίοις ἐκίνει, οἷα ψεύστης Ἀρετολόγος.
„Πῶς δ' ἔτις κατὰ πελάγες ὥσατο, τὸν ὠμῆς Χα-
„ρύβδεως ἀληθῆς τε ἄξιον ὄντα; Λαιστρυγόνας τε
„θηριώδεις καὶ Κύκλωπας διαπλάττοντα; Θᾶτ-
„τον αὐτὸς πιστεύσαιμι τὰ περὶ τῆς Σκύλλης, καὶ
„τὰς κυανέας συμπληγάδας, καὶ γε τὲς ἀσκὲς
„τὲς μεστὲς χειμώνων, καὶ τὸν πληγῇ κέφῃ
„πληγέντα ὑπὸ Κίρκης Ἐλπήνορα σὺν αὐτοῖς

„Ἐρέταις εἰς χοίρους τραπέντα γρυλίξαι. Οὕτω „κενεγκέφαλον τὸν Φαιάκων δῆμον ἡγήσατο; Ταῦ- „τα τις, ἔπως ὅσον ἔδει οἰνόλεπτος ἐκ ἂν ἀποδέ- „ξαιτο, ὅς τ' ἐκ Κερκυραϊκῆς σάμνα ἐλάχιστον „ἀφύσσατο μέθυ. Μόνος γὰρ τόδ' ὁ Ἰθακός, ὑπ' „ἀδενὶ μάρτυρι ἄεδεν.

Ἦπε δ' ἐχ ὅπως ἀ χολὴν ἀδὲ γέλωτα τοῖς Φαίαξιν Ὀδυσσεὺς ἐκίνησε τοιαῦτα διεξελθὼν· ἐχ ὅπως, ἐχὶ ὡς ψέυσης ληρώδης τε καὶ. Φλήναφος ὑπ' αὐτῶν ἐκσεσύρικται· ἀλλὰ τἐναντίον μεγάλῳ σὺν θαύματι, καὶ σὺν ἡδονῇ οἱ ἐκείνα ὗθλοι προσαπεδέχθησαν. (Ὀδυσ: Λ'.)

„Ὣς ἔφατ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ·
„Κηληθμῷ δ' ἔχοντο κατὰ μέγαρα σκιόεντα.

Ταὐτὰ δὲ ταῦτ' ἔπη (καὶν τοῖς Ὀδυσ: Ν'.) κεῖται κατ' ἀρχάς. Ὅπως δὲ πρόγε τότε ἢ οἱ Φαίακες τοῖς διηγήμασιν ἐκείνοις ἐπίστευσαν, καίξ ὧν εἴρηκεν Ἀλκίνοος φαίνεται:

„Ὦ Ὀδυσεῦ, τὸ μὲν ἤτι σ' εἰσόμεν εἰσορόωντες
„Ἠπεροπῆα τ' ἐμεν καὶ ἐπίκλοπον, ἅ τε πολλὸς
„Βόσκει γαῖα μέλαινα πολυσπερέας ἀνθρώπους
„Ψεύδεά τ' ἀρτύνοντας, ὅθεν κέτις ἀδὲ ἴδοιτο·
„Σοὶ δ' ἔνι μὲν μορφὴ ἐπέων, ἔνι δὲ φρένες ἐσθλαί.
„Μῦθον δ', ὡς ὅτ' ἀοιδὸς, ἐπισταμένως κατέλεξας
„Πάντων τ' Ἀργείων, σέο τ' αὐτῦ κήδεα λυγρά.

Καὶ μετ' ὀλίγα δὲ, ὡς καὶν ὅλην τὴν νύκτα ἡδέως ἄϋπνος διαγά- γοι ἀκροώμενος Ὀδυσσέως, ὁ αὐτὸς Ἀλκίνοος μαρτυρεῖ:

„ Καί κεν ἐς ἠῶ δῖαν ἀναχοίμην, ὅτε μοι σὺ
„ Τλαίης ἐν μεγάρῳ τὰ σὰ κήδεα μυθήσαθαι.

Πολλὴν μὲν ἔν ἡδονὴν ἐκ τῶν Ὀδυσσέως διηγημάτων κεκαρπῶσθαι τὸς Φαίακας, ἐ μέν τοι καὶ πάντα ἠγήσαθαι πρὸς ἱσορικὴν ἀλήθειαν ἀπεξεσμένα εἰρῆθαι, κἂν, ἐξ ὧν Ὅμηρος φησὶ δῆλον γένοιτο. Ἐπεὶ τὰ μὲν ἐξ αὐτῶν τῦ ἱσορικῦ εἶναι, τὰ δὲ τῦ Παντὸς, εὐφυῶς μάλα ἔοικεν Ἀλκίνοος συνεωρακέναι, εἰπών:

„ Μῦθον δ' ὡς, ὅτ' ἀοιδὸς ἐπισαμένως κατέλεξας.

Διόπερ ἐδ' ἔχω εἰδέναι, ὅπως ἐκ τῶν ἀφηγημάτων ἐκείνων ἔχοι ἄντις δικάιως ἀγροικίαν τε καὶ ἠλιθιότητα τῶν Φαιάκων καταψηφίσαθαι.

Λθκιανὸς ἐν τῷ Α'. τῶν περὶ ἀληθῦς ἱσορίας, ἐν αὐτοῖς προοιμίοις, περὶ τῶν Κτησίε καὶ Γαμβύλε ψευδῶν διηγημάτων λέγων, „Ἀρχηγὸς αὐτοῖς (γράφει) καὶ διδάσκαλος τῆς τοιαύτης Βωμολοχίας ὁ τῦ Ὁμήρε Ὀδυσσεὺς, „τοῖς περὶ τὸν Ἀλκίνοον διηγέμενος ἀνέμων τε „θελέαν, καὶ μονοφθάλμες, καὶ ὠμοφάγες, καὶ „ἀγρίες τινὰς ἀνθρώπες· ἔτι δὲ πολυκέφαλας ζῶα, „καὶ τὰς ὑπὸ φαρμάκων τῶν ἑταίρων μεταβολὰς, „οἷα πολλὰ ἐκεῖνος πρὸς ἰδιώτας τὸς Φαίακας ἐτερατεύσατο.

Καί τοι γῦν ἐκ τῶνδε τῶν Λθκιανῦ, καὶ ἐξ ἄλλων ἀρχαιοτέρων μαρτυριῶν, γίνεται φανερὸν, τὸς Ἀλκινόε ἀπολόγες περὶ τῶν Ὀδυσσέως παρὰ τῷ Ἀλκινόῳ μυθολογημάτων δεῖν ἐκλαμβάνεθαι, τετὶ μέντοιγε τῶν σοφωτέρων τινὲς μὴ συνεωρακότες (ἐν οἷς καὶ Γάκωβος ὁ Περιζώνιος, ἐν τῷ εἰς τὴν Αἰλιανὲ ποικίλην ἱσορίαν αὐτῦ ὑπομνήματι) ἀντὶ τῶν λόγων αὐτῦ Ἀλκινόε, ἡρμήνευσαν. Καὶ

δεόντως μὲν Περιζώνιος, τὴν Σχεφέρε δοξασίαν (τὴν ἐν Κεφ: ΙΔ'. τῆ ΙΓ'. βιβλ:) ἀποβάλλεται: τῆ ὑπ' ἐκείνη τῆ Ε'πιγραφῆ τὴν Η'. Ρ'αψῳδ: τῆς Ο'δυσ: δηλῆσθαι ὑπολαμβάνοντος, ἐν ᾗ δήπε, οὐδὲν τῶν εἰς τὸ προκείμενον ἐπαινῆκον ἐμφέρεται, μόνης ὑπομνημονευομένης αὐτόθι τῆς τῆ Ο'δυσσέως ἐπαφ'ίξεως πρὸς Α'λκίνοον. Α'λλὰ γὰρ ἐκέτι κατὰ τὸ πρσσῆκον προσίθησιν, ὡς ἡ ἐφεξῆς Ρ'αψῳδία Θ'. continet multos ſermones Alcinoi pro concione Phaeacum, et in coena; nec dubito, quin iſte illa appellatione a noſtro deſignetur. „(Περιέχει πολλὰς λόγους τῆ Α'λκινόε ἐπίτε τῆς τῶν Φαι-„άκων ὁ μηγύρεως, καὶ τῷ δείπνῳ· οὐδ' ἐνδοιάζω, μὴ ἐχὶ „τῆτον ὑπ' ἐκείνη τῆ ἐπικλήσει πρὸς τῆ ἡμετέρε ὑπο-„σημαίνεσθαι.) Α'λλ' αὐτὸς ἀπόφημι: **τὰς Α'λκινόε ἀπολόγας**, ἐν τοῖς ὑπὸ Α'λκινόε εἰρημένοις χρῆναι ζητεῖσθαι. Α'πόφημι δὲ προσέτι, καὶ **τῶν Α'λκινόε λόγων πολλὰς**, ἐν ἐκείνη τῆ Ρ'αψῳδίᾳ ἐμφέρεσθαι, ἐν ᾗ δηλονότι, ἥτε τῶν ἀγώνων περιγραφὴ καὶ αἱ τῆ Δημοδόκε ἀοιδαὶ, τὸ πλεῖσον τῆς διατριβῆς ἐπέσχον. Καὶ τοίνυν: **τῷ Δημοδόκε ὀνόματι** πολλῷ δικαιότερον, ἢ **τῷ τῆ Α'λκινόε**, φημὶ χρῆναι τὰς ἀπολόγας προσεπιγράφεσθαι.

Ο'μολογῶ δ' ἓν ἔμπης ἐν ἄλλαις τῆς Ρ'αψῳδίας ἐκείνης ἐπιγραφαῖς, καὶ τὴν: (**Α'λκινόε ἀπόλογοι:**) προσαναγινώσκεσθαι καὶ τῇ αὐτῇ δ' ἐντυχεῖν εἶναι, καὶ ἐν τῇ Α'ριστοτέλες Ποιητικῇ τέχνῃ: ἔνθα περὶ παντοίων ἐπιγνωρισμῶν διαλεγόμενος, καὶ τὸν Ο'δυσσέως „παρὰ Φαίαξιν ἐπιγνωρισμὸν εἰσάγει, φάσκων: Καὶ ἡ ἐν τῷ Α'λκι-„νόε ἀπολόγῳ ἐπίγνωσις· ἀκέων γὰρ τῆ Κιθαριςῆ, „καὶ μνηθεὶς ἐδάκρυσεν. Ο' δὲ λόγος ἐνταῦθα περὶ τῶν ᾠδῶν Α'λκινόε, ἢ Δημοδόκε ἐν τοῖς Α'λκινόε μεγάροις, καὶ τῶν ἐπ' αὐταῖς Ο'δυσσέως δακρύων· περὶ ὧν (ἐν Ο'δυσ: Θ'.) Ε'πεὶ δὲ τὰ τοιαῦτα, ὡς ἐκ τῆ ἀπολόγε τῆ Α'λκινόε Α'ριστοτέλης διέξεισιν, ἐοικέ-

πως τῇ Ῥαψῳδίᾳ ἐκείνῃ τὸ ἐπώνυμον ἐφαρμόζεσθαι. Ἀλλὰ περὶ τῆς τοιᾶσδε ἐπιγραφῆς, καὶ περὶ τῦ Ἀριστοτελικῦ ὕφους, ἐδὲν φησὶ Περιζώνιος· καί τοιγε οὐκ ὀλίγον συντελεῖν κατὰ πρῶτον τέτων δοκέντων· κατὰ πρῶτον φημὶ: ἐπειδὴ γὰρ δῆλον ἐστὶν, διὰ τῶν Ἀλκινόε ἀπολόγων, τὰς τῆς Ὀδυσσείας τέτταρας Ῥαψῳδίας: λέγω δὴ τὰς Ι. Κ. Λ. Μ. διασημαίνεσθαι, ἐντεῦθεν καὶ τὴν πρὸ ἐκείνων ἀμέσως ἠγεμένην, περιποιεῖσθαι ἐκράτησε τὴν εἰρημένην ἐπωνυμίαν, διὰ δὴ τῦτο καὶ μόνον, ὅτι τῶν παρεπομένων μυθολογημάτων αὕτη, οἵατις ἐστὶ προανάκρυσις καὶ προαναφώνησις. Ἐνταῦθα καὶ γὰρ, ὡς τὰ τελευταῖα τῶν ἐπῶν ἀποδείκνυσιν, οἱονεί τις σωρεία ἐρωτημάτων προτίθεται, ἐξ ὧν αἱ τῶν ἐφεξῆς τεττάρων Ῥαψῳδιῶν ὑποθέσεις τε καὶ ἐπιδιηγήσεις ἐξήρτηνται· ὅθεν καὶ ἡ Ῥαψῳδία ἐκείνη κατ' Εὐσάθιον ἐπικέκληται: **Τὰ τῆς παρὰ Ἀλκινόῳ προδιηγήσεως**· ἤ, τῶν παρὰ Ἀλκινόῳ προδιήγησις. Ὁ τοίνυν τὴν προτέραν ἐπιγραφὴν μὴ συνιδὼν (ὡς ἔλεγον) Περιζώνιος, καὶν ταῖς δευτέραις δὴ ταύταις, ἐδὲν ὅλως κατεῖδεν, ἅς ἔτω διερμηνεύων ἐστὶν: Ea quae apud Alcinoum accidere ante longam illam narrationem rerum fuarum, quam fequentibus totis quatuor libris facit Ulyffes. — Vel expofitio eorum, quae apud Alcinoum accidere, ante narrationem fubfequentem. „Τετέστι: τὰ παρὰ Ἀλκινόῳ συμβάντα πρὸ τῆς μακρᾶς „ἐκείνης ἐκδιηγήσεως τῶν καθ' ἑαυτὸν, ἣν ἐν τοῖς „ἐφεξῆς ὅλοις τέσσαρσι βιβλίοις Ὀδυσσεὺς ποι„εῖται. — ἢ γᾶν, ἔκθεσις τῶν παρὰ Ἀλκινόῳ συμβάν„των, πρὸ τῆς ἑπομένης ἐκδιηγήσεως.

Προδιήγησις ἐστὶ προπαρασκευή τις πρὸς διήγησιν: καθ' Ἑρμογένην· καὶ δὴ καὶ κατ' Ἀριστοτέλην, ἐν τῷ Γ'. τῶν Ῥητορικῶν, καθὰ καὶ οἱ Λεξικογράφοι διδάσκεσι· καὶ ἔτως ἄρα: Ἀλκι-

νόϛ ἀπόλογος, ἐπικληθῆναι εἶχεν ἡ Βίβλος, ἐν ᾗ παρεσκευάσθη ἡ ὑπόθεσις τῶν ὅσον ἔπω ἐναρξομένων τῆ Ὀδυσσέως ἐκδιηγήσεων.

Ἐξ ὧν ἁπάντων σαφὲς καθίσταται, ὅτι περὶ τὸ τῆ Αἰλιανῆ χωρίον ἐκεῖνο, ἃ μικρόν τι προσέκρουσεν ὁ Περιζώνιος, καίτοιγε τὰ τῆ Συγγραφέως: Difficilia quaeque, obſcura, ignota, corrupta, partim ex MSS. partim ex graeca lingua, antiquitate, Hiſtoria, lectoribus explicare, et liquida perfundere luce. „(Ὅσα δυχερῆ ἦν, ἀσαφῆ, ἀγνοέμενα, διεφθαρ„μένα, τὰ μὲν ἀπὸ Κωδίκων χειρογράφων, τὰ δὲ „ἐκ τῆς ἑλληνικῆς γλώσσης, ἐκ τῆς ἀρχαιολογίας, „ἐκ τῆς Ἱϛορίας, τοῖς ἀναγινώσκουσιν ἀναπτύξαι, „καὶ φωτὶ καθαρῷ διατρανῶσαι) ἐπιβαλόμενος: ὡς αὐτὸς φησὶν, ἐν τῆ ἀρτίως ἐκδοθείσῃ ὑπ' αὐτῆ διαλέξει· ὧν τε τὰ παραπλήσια χεδὸν ἔχει καὶν τῆ προεισηγήσει τῆ πρὸ τῆς καινοτέρας προεκτεθείσῃ ἐκδόσεως. Ἅπερ ἕν ἔτω πως αὐτῷ εἰρημένα, ἐγὼ μὲν μεγαλορημοσύνης ἥκιϛα αἰτιῶμαι, ὡς ἐ δεόντως ἐποίησεν Ἰάκωβος ὁ Γρονόβιος, ἐν τῆ προσφάτῳ αὐτῆ εἰδήσει, τῆ περὶ τῶν Αἰλιανῆ διαφόρων τόπων. Ἐπεὶ καὶ τοιάδέ τινα ἐπὶ τῆς Περιζωνίϛ ἐκείνης προεισηγήσεως εἴρηται: Sed et nullus dubito, quin, quum tam varia & multa hic tractaverim, aliquando quoque humani quid fuerim paſſus. Prudentiae enim foret & vigilantiae inuſitatae, in tanta rerum varietate & copia, nunquam dormitaſſe. Ἀλλ' ἐδὲ περὶ ἐκεῖνο πάν„τη ἀναμφιλέκτως ἔχω, ὡς ἔτω ποικίλων πέρι „καὶ πολλῶν ἐνταῦθα πραγματευσάμενος, ἐχὶ καί„τι ἀνθρώπινον ἐνίοτε πεπονθὼς εἴην. Συνέσεως „γὰρ ἂν εἴη, καὶ ἐγρηγόρσεως ἔτοι συνήθες, ἐν το„σάυτῃ ποικιλίᾳ τε καὶ πληθύϊ πραγμάτων, τὸ

„μηδαμῆ μηδέποτε καὶ ἐπινυσάξαι. Ἀλλ' ἀναγνωσέον αὐτὰ τὰ τῆς Περιζωνίδι, ἐν τῇ αὐτῆς ἀπαντήσει τῇ πρὸς τὴν εἰρημένην Εἴδησιν.

Ὁ μὲν δὴ Θεοφύλακτος ἐν τῷ περὶ τῶν ἱστοριῶν προοιμίῳ, περὶ ὑπεροχῆς τε καὶ ὠφελείας τῆς ἱστορίας διαλεγόμενος, καὶ μηδὲν ἔτω συντελεῖν φάσκων τῷ βίῳ, ὡς τὰ παντοῖα τῶν ἱστορεμένων εἰδέναι, ὃ καὶ ἀκοῆς ἐστὶν ἐντρύφημα, καὶ τῇ ψυχῇ οἱονεί τι ταμεῖον μαθήσεων καθίσασθαι εἰς κατασκευὴν τῆς λεγομένης τὰ ὑπὸ τῆς Ὀδυσσέως παρ' Ἀλκινόῳ ἱστορέμενα εἰς παράδειγμα ἐπάγει, ταῦτα γράφων: Τὸν „δὲ Φαίακας ἔτω τὰ τῆς ἱστορίας ἐνήυφρανεν, ὡς „χαίρειν εἰπόντας τῷ πότῳ, θέατρον εἶναι δοκεῖν „τὸ συμπόσιον, καὶ διανιστᾶν τὰ ὦτα, καὶ κεχηνέ„ναι θεωμένους τὸν ἄνδρα, καὶ τῷ μήκει μηδαμῶς „τῆς διηγήσεως ἀποκναίεσθαι· καί τοι τὰ πολ„τῶν ἀφηγημάτων κατηφεῖς εἶχε τὰς ὄψεις με„γίστων γὰρ κινδύνων ἐμπειρία περιέρρει τῇ συ„νεσίᾳ.

Πρὶν ἢ ἐφ' ἕτερα μεταβῆναι, σημειωτέον εἶναι μοι δοκεῖ καὶ τόδε: ὅτι καὶ τὰ τῇ Πηνελόπῃ πρὸς Ὀδυσσέως ἀφηγηθέντα, παραπλήσια μὲν ἐστὶ τοῖς τῷ Ἀλκινόῳ, ἐπιτομώτερα δ' ἔμπης. Ἀλκινόος δὲ ἀπόλογος καὶ αὐτὰ ὑπὸ Ἀριστοτέλους ὠνόμασαι (Ῥητορικ: Βιβλ: Γ.) Περὶ ὃν δήπου τόπον, Ἐράσμός τε, καὶ οἱ ἄλλοι τῶν Παροιμιογράφων, οἱ διερμηνεῦσαι ἐπιχειρήσαντες, τῆς σκοπεμένης διήμαρτον. Πέτρος δὲ Βικτώριος, εὐθὺ ἐτόξευσεν ἢ δοκεῖμοι, ἐν τῷ αὐτῆς ὑπομνήματι, ἐξ ἧς καὶ τὴν ἐπενεχθεῖσαν ἀνάπτυξιν εἴληφα. Διδάσκει γὰρ ὁ κλεινὸς ἀνὴρ ἔτος, ὅτι τὸ Ἀριστοτελικὸν ὕφος (Παράδειγμα ὁ Ἀλκινόος ἀπόλογος, ὃς πρὸς τὴν Πηνελόπην ἐν ἐξήκοντα ἔτεσι πεποίηται) διττῆς χρήζει τῆς ἐπιδιορθώσεως: τῆς μέν, ὅτι ἔπεσι χρὴ θέσθαι, ἀντὶ τῆς ἔτεσι· τῆς δὲ, ὅτι τὸν ἀριθμὸν ἐξήκοντα

κατά γε τὸ ἥμισυ δεῖ ἐκμεῖξαι· τὰ γὰρ ἔπη, οἷς Ὀδυσσεὺς τῇ Πηνελόπῃ τὰ καθ' ἑαυτὸν διηγήσατο, κατὰ μὲν τὰ ἐκδοθέντα Βιβλία, τριάκοντα καὶ δύο εἰσὶν· ἦγεν ἐν ἐπὶ τοῖς τριάκοντα. Ἐὰν δὲ τῷ τὲ Εὐσταθίῳ ξοιχήσωμεν ἐπιλογισμῷ, τὸ χωρίον ἐπανορθωθὲν, τοιάνδε τὴν διάνοιαν ἀποδίδωσι. (Παράδειγμα ὁ τοῦ Ἀλκινόου ἀπόλο-„γος, ὁ τῇ Πηνελόπῃ δηλ.: ἐν ἔπεσιν ὡσεὶ τριά-„κοντα ἐκτεθείς.)

ΚΕΦΑΛ. ΙϚ'.

Ἥκω δὴ νῦν ἐπὶ τὰς γυναικῶν ἐπασκήσεις, καὶ καθ' ἃς διάγειν εἰώθεσαν τρόπους. Τὴν μὲν ἓν Ναυσικάαν, καὶ τὰς περὶ αὐτὴν θεραπαινίδας, ἁρματηλατούσας τε, καὶ πλύνειν ἐναχολεμένας, καὶ σφαίρας μεταξὺ παιδιᾷ τερπομένας παρίξησιν Ὅμηρος, (Ὀδυσ. Ζ'.) ἐπὶ γὰρ τὸν ποταμὸν ἀπελευσομένων, τὸ μὲν βασιλικὸν Κόριον

„. . . Ἕλαβεν μάσιγα, καὶ ἠνία σιγαλόεντα,
„Μάσιξεν δ' ἐλάαν, ναναχὴ δ' ἦν ἡμιονοῖϊν
„Αἱ δ' ἄμοτον τανύοντο . . . . . .

Ὡς δ' ἐπὶ τὸν ποταμὸν ἵκανον, αἱ ἀμφίπολοι

„. . . Ἡμίονας μὲν ὑπ' ἐκπροέλυσαν ἀπήνης·
„Καὶ τὰς μὲν σεῦαν ποταμὸν παρὰ δινήεντα
„Τρώγειν ἄγρωσιν μελιηδέα . . . . . .

Ναυσικάα δ' αὖ ἐπὶ τὸ ἄξυ ἐπανελευσομένη, ἀναβᾶσα ἐπὶ τᾶ δίφρᾳ

„ . . . . . Ἵμασεν μάσιγι Φαεινῇ
„ Ἡμιόνως, αἱ δ' ὦκα λίπον ποταμοῖο ῥέεθρα.
„ Αἱ δ' εὖ μὲν τρώχων, εὖ δὲ πλίσσοντο πόδεσσιν,
„ Ἡ δὲ μάλ' ἠνιόχευεν . . . . . .

Εἰκών τις Ναυσικάας ἁρματηλατέσης, Λάρνακά τινα διεκάλυνεν, ἐν Προτεμενίσμασι Ναᾶ Ἥρας ἀποκειμένην (ἢ διέξεισι Παυσαν: ἐν „τοῖς Ἡλειακ:) Παρίστη δὲ ἡ εἰκὼν Παρθένας ἐπὶ ἡμι„όνων, τὴν μὲν ἔχουσαν ἡνίας, τὴν δὲ ἐπικειμένην „κάλυμμα ἐπὶ τῇ κεφαλῇ· Ναυσικᾶν τε νομίζου„σιν εἶναι τὴν Ἀλκίνου, καὶ τὴν θεράπαιναν ἐλαύ„νουσαν ἐπὶ τᾶς πλυνέας. Ὁ τὰ Παυσανίου διερμηνεύσας Ῥω„μῦλος Ἀμασαῖος, τὴν ἐν καταρχῇ τῆς ῥήσεως λέξιν, ἅτως ἐκφέρει: Jam vero insidentes ciſto virgines duas (ἤδη δ' ἐπὶ τᾶ δίφρᾳ καθημένας παρθένας δύω:) Οὐμήρῳ μᾶλλον, ἢ τᾷ ἰδίᾳ τοιχῶν συγγραφεῖ: ἀλλ' ἐδὲν διοίσει, ἐὰν τὸ κατὰ Παυσανίαν: ἐπὶ ἡμιόνων: ἀντὶ τῆς ὅλης παραληφθῇ ἀπήνης, τῆς ὑπὸ τῶν ἡμιόνων ἐφελκομένης, τᾶ μέρως δηλ: ἀντὶ τᾶ ὅλω συνεκδοχικῶς νοουμένω.

Καὶ ἑτέραν δὲ τῆς Ναυσικάας εἰκόνα, ὑπὸ Πρωτογένους γραφεῖσαν, ἐν τῷ προπυλαίῳ τᾶ ἱερᾶ τῆς Παλλάδος Ἀθήνησι κεῖσθαι, Πλι„νιος ἱστορεῖ (Βιβλ: ΛΕ΄. Κεφ: Γ΄.) λέγων ἅτω: Fecit nobilem Paralum et Hemionida, quam quidem Nauſicaam vocant.

(Ἐποίησε τὸν ἀριδείκετον Πάραλον, καὶ τὴν Ἡμιο-
„νίδα, ἣν δὴ Ναυσικάαν καλέσιν.) Οἱ δ' ἄλλως, ἀντὶ τῆς ἡμιονίδα φωνῆς, ἀνθυποβάλλοντες τὴν Ἑρμιονίδα, ἢ Ἀμμονίδα, ἢ Ἀμμωνιάδα: (ἣν ἐγκρίνει καὶ ἡ Βαταβικὴ ἔκδοσις, σὺν ταῖς ὑπὸ διαφόρων παρασημειώσεσι·) τὸ Πλινίῳ ὕφος διαφθείρεσι, μὴ συνορῶντες, τὴν ἐπὶ ἀπήνης ὑπὸ ἡμιόνων ἐφελκομένης ἐφεζομένην Ναυσικάαν, καλῶς ἂν δυνηθῆναι ἡμιονίδα προσειρῆθαι.

Τὴν δὲ τῆς ὑπὸ ἡμιόναν ἀγομένης ἀπήνης χρῆσιν, παλαιάν τε ἅμα καὶ ἐπίσεμνον ἔσαν ἀποδεικνὺς Ἰεζεκιὴλ ὁ Σπαγχέμιος, (ἐν τοῖς περὶ χρήσ: καὶ τιμιότ: τῶν παλ: Νομισμ: Διαλέξ: Η'.) εἰς δεῖγμα πρέθηκε τὴν παρ' Ὁμήρῳ ἀπήνην, ἐφ' ἧς Πρίαμος (Ἰλ: Ω'.) τῷ Ἀχιλλεῖ προσήγαγε τὰ ὑπὲρ τῶν λειψάνων τοῦ υἱοῦ αὐτοῦ Ἕκτορος ἄποινα, ἤτοι λύτρα. Ἀλλ' ἦν προσφυέστερον, ἴσως, τὸ ὄχημα προθέσθαι, ἐφ' οὗ Ναυσικάα καθῆσο, Βασίλεια Κόρη, αὐτεργέσα τὴν ἔλασιν.

Ὡς ἓν ἐπὶ τὸν ποταμὸν ἀφίκοντο (τοῦθ' ὅπερ ἦν τῆς ὀχήσεως τὸ σκοπέμενον:) αἱ μὲν ἀμφίπολοι,

„. . . . . ἀπ' ἀπήνης
„Εἵματα χερσὶν ἔλοντο, καὶ ἐσφόρεον μέλαν ὕδωρ,
„Στεῖβον δ' ἐν βόθροισι θοῶς ἔριδα προφέρεσαι.
„Αὐτὰρ ἐπεὶ πλῦναν τε, κάθηράν τε ῥύπα πάντα,
„Ἑξείης πέτασαν παρὰ θῖν' ἁλὸς, ἦχι μάλιστα
„Λαίγγας ποτὶ χέρσον ἀποπλύνεσκε θάλασσα.

Παυσανίας (ἐν Ἀττικ:) περὶ τοῦ τῆς Θέμιδος ἱεροῦ λέγων, „φησὶν, ὅτι καὶ Πολύγνωτος ἔγραψε, πρὸς τῷ „ποταμῷ, ταῖς ὁμοῦ Ναυσικάᾳ πλυνέσαις ἐφιζά„μενον Ὀδυσσέα.

Ἐν δὲ τοῖς Πλατάρχου Συμποσιακοῖς Προβλήμασιν (Βιβλ: Α'.) „τὸ Θ'. τῶν Προβλημ: τοιαύτην ἐξὶν ἐπιγραφὴν ἔχον: Διατὶ „τῷ ποτίμῳ μᾶλλον ἢ τῷ θαλαττίῳ πλύνεται τὰ ἱμά„τια; ἔνθα τις Θεμιστοκλῆς ὄνομα Στωϊκὸς, πυν„θάνεται: διὰ ἣν αἰτίαν Ὅμηρος, ἐν ποταμῷ πλύνου„σαν, ἐκ ἐν τῇ θαλάττῃ, καίπερ ἐγγὺς ὖσῃ, τὴν „Ναυσικάαν πεποίηκεν; (Ὅρα τὸ μνημονευθὲν πρό„βλημα:)

„. . . . Ποταμοῖο ῥόον περιαλλέ' ἵκοντο
„Ἔνθ' ἦτοι πλυνοὶ ἦσαν ἐπηετανοὶ· πολὺ δ' ὕδωρ
„Καλὸν ὑπεκπροῤῥέει, μάλαπερ ξυπόωντα καθῆραι.

Ἐν ᾧ δ' ἂν τὰ πλυνθέντα ἱμάτια ταῖς ἀμφ' ἡλίῳ αὐγαῖς ἀφαυανθείη

„Σφαίρῃ ταί τ' ἄρ' ἐπαιζον, ἀπὸ κρήδεμνα βαλοῦσαι,

Καὶ μετὰ βραχὺ δέ τι:

„Σφαῖραν ἔπειτ' ἔῤῥιψε μετ' ἀμφίπολον Βασίλεια,
„Ἀμφιπόλῳ μὲν ἅμαρτε, βαθείῃ δ' ἔμπεσε δίνῃ.

Γυναῖκα δή τινα Κερκυραίαν, ᾗ ὄνομα Ἀγαλλὶς, τὴν εἰς τὸ σφαιρίζειν ἄσκησιν τῇ Ναυσικάᾳ παραδῶναι, μαρτυρεῖ Ἀθήναιος (ἐν „Βιβλ: Α'.) Ὀρχήσεις εἰσὶ παρ' Ὁμήρῳ, αἱ μέν τινες

„τῶν Κυβιστητήρων, αἱ δὲ διὰ τῆς σφαίρας, ἧς τὴν „ἔυρεσιν Ἀγαμὶς ἡ Κερκυραία Γραμματικὴ, „Ναυσικάᾳ ἀνατίθησιν, ὡς πολίτιδι χαρι„ζομένη.

Εὐσάθιος ἐν τῷ χολιογραφεῖν, προσημειώσας σφαιριστικὰς γενέθαι, ἐν μὲν πόλεσι κοινῇ Λακεδαιμονίας, ἐν δὲ Βασιλεῦσι τὸν μέγαν Ἀλέ„ξανδρον, ὑποσυνάπτει: Ἰδιωτῶν δὲ, Σοφοκλῆς ὁ Τραγι„κὸς ὃς, καὶ ὅτε, φασὶ, τὰς πλυντρίας ἐδίδασκε, „τὸ τῆς Ναυσικάας πρόσωπον σφαίρᾳ παιζούσης „ὑποκρινόμενος, ἰσχυρῶς ἐυδοκίμησεν.

Ἡ μὲν ἓν ἁρματηλασία, καὶ ἡ σφαιρικὴ, γενναίας τε καὶ ἀρρενικὰς τὰς τῶν Φαιακίδων Νεανίδων παρισῶσι ψυχάς. Κοινὰ δ' ἓν ἑξῆ ταύταις μετὰ τῶν ὑπολοίπων γυναικῶν, τὰ ἑπόμενα: Ναυσικάα καὶ γὰρ, περὶ Ἀρήτης τῆς μητρὸς αὐτῆς διεξιοῦσα πρὸς Ὀδυσσέα (ἐν Ζ'. Ὀδυσ:) φησίν:

„. . . Ἡ δ' ἧσαι ἐπ' ἐσχάρῃ, ἐν πυρὸς αὐγῇ
„Ἠλάκατα τρωφῶσ' ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι·
„Κίονι πεκλιμένη, δμωαὶ δέ οἱ εἵατ' ὄπιθεν.

Ὀδυσσεὺς δέ τοι τὸ ἀνάκτορον εἰσιὼν, πεντήκοντα ἐκεῖ γύναια, περὶ μυλῶνας, ἠὲ ἔρια, ἠὲ ἱστὸς σπεδάζοντα κατείληφεν (Ὀδυσ: Η'.)

„Πεντήκοντα δέ οἱ δμωαὶ κατὰ δῶμα γυναῖκες
„Αἱ μὲν ἀλετρεύουσι μύλας ἐπὶ μήλοπα καρπὸν,
„Αἱ δ' ἱστὸς ὑφόωσι, καὶ ἠλάκατα τρωφῶσιν
„Ἥμεναι, οἷα τε φύλλα μακεδνῆς αἰγείροιο·
„Καιροσέων δ' ὀθονέων ἀπολείβεται ὑγρὸν ἔλαιον·
„Τόσσον Φαίηκες πέρι πάντων ἴδριες ἀνδρῶν,

„Νῆα θοὴν ἐνὶ πόντῳ ἐλαυνέμεν· ὡς δὲ γυναῖκες
„Ἶσον τεχνῆσαι· πέρι γὰρ σφίσι δῶκεν Ἀθήνη
„Ἔργα τ' ἐπίστασθαι περικαλλέα, καὶ φρένας ἐσθλάς.

Δύω τινὰ ἐστὶ τὰ ἐπὶ τῶν τελευταίων τούτων ἐπῶν τοὺς Σχολιαστὰς ἀνασκολοπίζοντα: ἥ, τε παράθεσις δηλονότι ἐκείνη: οἷά τε φύλλα μακεδνῆς αἰγείροιο· Καὶ τὸ παραυτίκα τούτῃ ἐγγὺς ἑπόμενον: Καυροσέων δ' ὀθονέων ἀπολείβεται ὑγρὸν ἔλαιον. „Πρὸς μὲν ἓν τὸ πρῶτον, ἔτως ὁ Δίδυμος: Οἱ μέν, ὅτι ἡλιοτρο-„πίοις τάξιν ἐπεῖχον καθήμεναι θεατροειδῶς· οἱ „δὲ, ὅτι πεπύκνωται τὸ δένδρον τοῖς φύλλοις. Φύλ-„λα δὲ, ἤτοι διὰ τὸ πλῆθος, ἢ διὰ τὸ εὐκίνητον „τῶν χειρῶν ἐν τῷ τρέφειν τὴν κρόκην. Ὡς καὶ τὰ „φύλλα τῆς αἰγείρου ἀντεσταλμένα ἀλλήλοις, καὶ „εὐκίνητα ῥαδίως καὶ ὑπὸ τυχούσης αὔρας. — Τὰ δ' αὐτὰ κεδὸν καὶ Εὐσάθιος, ὥπερ ἀρέσκει ἔτω πως παρεικαθῆναι τοὺς ἀμφιπόλους διά τε τὸ εὐκίνητον, καὶ τὸ συνεχὲς τῆς αὐτῶν ἐργασίας, καὶ ἀδιάλειπτον. Εἰς δὲ δὴ τὸ δεύτερον, ὁ ῥηθεὶς Δίδυμος ἔχει: „Ἤτοι ἔτως ἦσαν πυκναὶ αἱ ὕφαὶ, ὡς μηδὲ ἔλαιον δι' „αὐτῶν ἐλθεῖν· ἢ ἔξωθεν ὡς ἔλαιον ἔστιλβον διὰ τὴν „λευκότητα· ἢ τρυφεραὶ ἦσαν, ὡς δοκεῖν ἀποῤῥεῖν· „ἢ ἔτως ἀποστίλβειν τὸν μῖτον, ὡς δοκεῖν ἔλαιον „ἀποβάλλειν. Εἰς ταὐτὸ δὲ τείνει καὶ τὰ παρ' Εὐσταθίῳ ἀναγι-„νωσκόμενα.

ΚΕΦΑΛ. ΙΖ'.

Ψυχὴν δ' ἀγαθὴν ταῖς γυναιξὶ Φαιάκων τὴν Ἀθηνᾶν ἐνθέσθαι, ἐ μόνον τὰ περὶ τῆς Ἀρήτης ὑπο Ὁμήρε εἰρημένα ἐμφαίνει, ἀλλὰ καὶ τὰ περὶ τῆς Ναυσικάας νῦν εἰρησόμενα (ἐξ Ὀδυσ. Ζ'.) τῆς αἰδοῖ παρθενικῆ περικεκοσμημένης Βασιλόπαιδος.

Ἐπειδὴ Παλλὰς τὰ περὶ τῆς Ὀδυσσέως ἐπαιόδα ἐπὶ τὴν πατρίδα πολυωρῆσα, εἰς ὑπαντὴν αὐτῷ ἐλθοῦσα ὠκονόμησε τὴν Ναυσικάαν, τάυτη γε ἕτως ἐντυχῆσα κατ' ὄναρ προσδιελέξατο:

„ Ναυσικάα, τί νυ σ' ὧδε μεθήμονα γείνατο μήτηρ;
„ Εἵματα μέν τοι κεῖται ἀκηδέα, σιγαλόεντα·
„ Σοὶ δὲ γάμος χεδὸν ἐστὶν, ἵνα χρὴ καλὰ μὲν αὐτὴν
„ Ἔννυσθαι, τὰ δὲ τοῖσι παραχεῖν, οἵ κε σ' ἄγωνται.
„ Ἐκ γάρ τοι τάτων φάτις ἀνθρώπυς ἀναβαίνει
„ Ἐσθλὴ· χαίρυσιν δὲ πατὴρ, καὶ πότνια μήτηρ,
„ Ἀλλ' ἴομεν πλυνέυσαι . . . . . .

Οἷς δὴ προσίθησιν:

„. . . Οὔ τοι ἔτι δὴν παρθένος ἔσσεαι,
„ Ἤδη γάρ σε μνῶνται ἀρίσηες κατὰ δῆμον
„ Πάντων Φαιάκων, ὅθι τοι γένος ἐσὶ καὶ αὐτῇ.
„ Ἀλλ' ἄγ' ἐποτρύνον πατέρα κλυτὸν, ἠῶθι πρό
„ Ἡμιόνυς καὶ ἅμαξαν ἐφοπλίσαι, ἥκεν ἄγῃσι
„ Ζῶστρα τε καὶ πέπλυς, καὶ ἐηγεα σιγαλόεντα.

„ Καὶ δέ σοι ὧδ' αὐτῇ πολὺ κάλλιον, ἠὲ πόδεσσιν
„ Ἔρχεσθαι· πολλὸν γὰρ ἄπο πλυνοὶ εἰσὶ πόληος.

Ναυσικάα ἐπὶ τῷ ὀνείρατι ἐκπλαγεῖσα, ὡς αὐτίκα ἐξέγρετο, τῷ πατρὶ ἐντευξαμένη, ἐπιτρέψαι αὐτῇ ἐξητήσατο, τὸ ἐπὶ τὸν ποταμὸν ἀπελθεῖσαν τὰς ἐσθῆτας πλυνεῖν. Τά γε μὴν περὶ τοῦ γάμου αἰδημόνως ἐσίγησεν· ἔφη καὶ γὰρ:

„ Πάππα φίλ', ἦ μὴν ἄν δήμοι ἐφοπλίσειας ἀπήνην
„ Ὑψηλὴν, ἔυκυκλον, ἵνα κλυτὰ εἵματ' ἄγωμαι
„ Εἰς ποταμὸν πλυνέουσα, τά μοι ῥερυπωμένα κεῖται;
„ Καὶ δέ σοι αὐτῷ ἔοικε μετὰ πρώτοισιν ἐόντι,
„ Βουλὰς βουλεύειν καθαρὰ χροῒ εἵματ' ἔχοντα·
„ Πέντε δέ τοι φίλοι υἷες ἐνὶ μεγάροις γεγάασιν,
„ Οἱ δὲ, ὀπυίοντες, τρεῖς δ' ἠίθεοι θαλέθοντες·
„ Οἱ δ' αἰεὶ ἐθέλουσι, νεόπλυτα εἵματα ἔχοντες
„ Εἰς χορὸν ἔρχεσθαι· τὰ δ' ἐμῇ φρενὶ πάντα μέμηλεν·
„ Ὡς ἔφατ', αἴδετο γὰρ θαλερὸν γάμον ἐξονομῆναι
„ Πατρὶ φίλῳ· ὁ δὲ πάντα νόει . . . . . .

Καὶ αἰδῶ δὲ παρθενικὴν ἡ Ναυσικάα ἐνέφηνεν, ἡνίκα τὸ σὺν Ὀδυσσεῖ τὴν πόλιν εἰσιέναι φεύγουσα, τοιάδε πρὸς ἔβαλλετο:

„ Καὶ νύ τις ἂν εἴπησι νεμεσσητὸς ἀνὴρ ὃς:
„ Τίς δ' ὅδε Ναυσικάᾳ ἕπεται καλός τε μέγας τε
„ Ξεῖνος; ποῦ δέ μιν ἧῦρε; πόσις νύτοι ἔσσεται αὐτῇ·
„ Ἢ τινά που πλαγχθέντα νομίσσατο ἧς ἀπὸ νηὸς,

„ Ἀνδρῶν ἱηλεδαπῶν· ἐπεὶ ἄλλοι ἐγγύθεν εἰσίν.
„ Ἴλις οἱ εὐξαμένῃ πολυαρήϊος θεὸς ἦλθεν
„ Οὐρανόθεν καταβάς; ἔξει δὲ μιν ἤματα πάντα
„ Βέλτερον, αἴ κ' αὐτή περ ἐποιχομένη πόσιν εὕρεν
„ Ἄλλοθεν· ἦ γὰρ τὸς δέ γ' ἀτιμάζει κατὰ δῆμον
„ Φαίηκας, τοὶ μὶν μνῶνται πολέες τε καὶ ἐσθλοί.
„ Ὣς ἐρέεσιν, ἐμοὶ δὲ κ' ὀνείδεα ταῦτα γένοιτο·
„ Καὶ δ' ἄλλῃ νεμεσῶ, εἴ τις τοιαῦτα γε ῥέζοι,
„ Ἥ τ' ἀέκητι φίλων πατρὸς καὶ μητρὸς ἐόντων
„ Ἀνδράσι μίσγηται, πρὶν γ' ἀμφάδιον γάμον ἐλθεῖν.

Καί περ ἀλλ' ἓν τοσῦτον ὑπῆρχεν ἡ Ναυσικάα προσέχεσα, τὸ μή τινα τῶν κακοτρόπων πολιτῶν φαῦλον τι περὶ αὐτῆς καθυπονοῆσαι, ἐδόλως γεμὴν ἐνέλιπον οἱ εἰς ἀναίδειαν τρέψαντες ἣν εὐχὴν ἤυξατο, ἑαυτῆς πόσιν ἐφιεμένη τὸ Ὀδυσσέως τυχεῖν:

„ Αἴ γὰρ ἐμοὶ τοιὸς δε πόσις κεκλημένος εἴη
„ Ἐνθάδε ναιετάων, καὶ οἱ ἄδοι αὐτόθι μίμνειν.

Ἀλλ' ἐντεῦθεν ὃ πάντη ὁ Πλέταρχος τῆς Βασιλείδ κόρης κατα-„ψηφίζεται, διαιρέσει χρησάμενος τοιᾷδε: Εἰ μὲν ἡ Ναυσικάα „ξένον ἄνδρα τὸν Ὀδυσσέα θεασαμένη, καὶ πα-„θοῦσα τὸ τῆς Καλυψοῦς πάθος πρὸς αὐτὸν, ἅτε „δὴ τρυφῶσα, καὶ γάμων ὥραν ἔχουσα, τοιαῦτα „μωραίνει πρὸς τὰς θεραπαινίδας, ψεκτέον τὸ „θράσος αὐτῆς, καὶ τὴν ἀκολασίαν. Εἰ δὲ τοῖς λό-„γοις τοῦ ἀνδρὸς τὸ ἦθος ἐνιδοῦσα, καὶ θαυμάσα-„σα τὴν ἔντευξιν αὐτοῦ πολὺν νοῦν ἔχουσαν, εὐχε-

„τᾳ τοιέτῳ συνοικεῖν μᾶλον, ἢ πλωτικῷ τινι, καὶ πορχησικῷ τῶν πολιτῶν, ἄξιον ἄγαθᾳ.

Οὐκ οἶδ' ὅθεν ὁ Πλέταρχος ἔχεν ἡγήσαθαι, τὴν Ναυσικάαν ἐκ τῆς ἐντεύξεως τὸ εὐφυὲς τᾶ ἀνδρὸς ἐπιγνᾶσαν, καὶ το ἐχέφρον ἐπαγασαμένην τῶν λόγων τῷ Ὀδυσσεῖ προσεκκαῆναι· ὁπότε ταύτην ἐκ τῆς ὥρας τᾶ σώματος ἐκείνᾳ ἁλῆσαν, προδήλως ἐμφαίνει τὰ ἡγησάμενα τῶν ἐπῶν, ἐν οἷς ἀναγινώσκεται περὶ τᾶ Ὀδυσσέως:

„ Αὐτὰρ ἐπεὶ πάντα λοέσσατο, καὶ λίπ' ἄλειψεν,
„ Ἀμφὶ δ' εἵματ' ἔσσατ' ἃ οἱ πόρε παρθένος ἀδμής,
„ Τὸν μὲν Ἀθηναίη θῆκεν, Διὸς ἐκγεγαυῖα,
„ Μείζονά τ' ἐσιδέειν, καὶ πάσσονα, καδ δὲ κάρητος
„ Οὐλας ἧκε κόμας, ὑακινθίνῳ ἄνθει ὁμοίας.

Ἐχομένως δὲ:

„ Ἕζετ' ἔπειτ' ἀπάνευθε κιὼν ἐπὶ θῖνα θαλάσσης
„ Κάλλει καὶ χάρισι σέλβων· θηεῖτο δὲ κούρη.

Τὸ τοίνυν τᾶ σώματος γάνος, ἔκδν τὸ ἐπὶ τῆς ἐντεύξεως φρενῆρες τὸν Ὀδυσσέως, πόθον τῇ Ναυσικάᾳ ἐνέσαξεν. Ἐφ' ᾧ δὲ μὴ αἰσχύνης ἀγαγεῖν ὑπ' εὐθύνην, τοῖς ὑπὸ τῆς παιδὸς εἰρημένοις προσέχωμεν, δι' ὧν τό τε κάλλος καὶ τὴν χάριν τᾶ σώματος, τὴν συνημμένην θειοτέρῳ τινὶ ψυχῆς παρασήματι ἀγαθὴν τὸν Ὀδυσσέα, αὐτὴ μαρτύρεται;

„ Οὐ πάντως ἀέκητι Θεῶν, οἳ Ὄλυμπον ἔχουσι,
„ Φαίηκεσσ' ὧδ' ἀνὴρ ἐπιμίσγεται ἀντιθέοισι.

„ Πρόσθεν μεν γὰρ δή μοι ἀεικέλιος δόατ' εἶναι,
„ Νῦν δὲ Θεοῖσιν ἔοικε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.

Εἰκὸς ἦν ἐκ τῆς σωματικῆς καλλονῆς, τὸ τῆς ψυχῆς εὐφυὲς τὴν Ναυσικάαν φάναι τεκμηριώσασθαι; ὡς καὶ αὐτὴν περὶ τοῦ Ὀδυσσέως εἰπεῖν δυνηθῆναι, ὃ καὶ τὴν Ἀρήτην περὶ αὐτοῦ εἰρηκεῖαν ἐυρίσκομεν. (Ὀδυσ: Λ΄.)

„ Φαίηκες, πῶς ὔμμιν ἀνὴρ ὅγε φαίνεται εἶναι,
„ Εἶδος τε, μέγεθος τε, ἰδὲ φρένας ἔνδον ἐΐσας;

Παντὸς ἦν ἔτως ἀναιδείας μῶμος τῆς Ναυσικάας ἀπολυθείσης, τοσούτῳ μείζονος ἀξία θαύματος ἡ ἀγνεία παρίσταται, ὅσῳ γε δὴ καὶ μᾶλλον ἐπηγλαΐζετο, ἐπισήμῳ συνημμένη τῇ ὡραιότητι. Ἦν γὰρ, ὡς ἐν καταρχῇ τῆς Ζ΄. Ὀδυσ: γέγραπται:

„ . . . . . Ἀθανάτῃσι φυὴν καὶ εἶδος ὁμοίη.

Αὐτῇ δ' Ὀδυσσεὺς ἐντυχὼν, ἔτωσὶ τὸ κάλλος ἐξαίρει:

„ Γνοῦμαί σε Ἄνασσα· Θεὸς νύ τις, ἢ βροτὸς ἐσσί;
„ Εἰ μέν τις Θεὸς ἐσσὶ, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
„ Ἀρτέμιδι ἔγωγε Διὸς κούρῃ μεγάλοιο,
„ Εἶδος τε, μέγεθός τε, φυήν τ' ἄγχιστα εἴσκω.
„ Εἰ δέ τις ἐσσὶ βροτῶν, τοὶ ἐπὶ χθονὶ ναιετάουσι,
„ Τρισμάκαρες μὲν σοιγε πατὴρ καὶ πότνια μήτηρ,
„ Τρισμάκαρες δὲ κασίγνητοι· μάλα πού σφίσι θυμὸς
„ Αἰὲν ἐϋφροσύνῃσιν ἰαίνεται εἵνεκα σεῖο,

„ Λευσσόντων τοιόνδε θάλος χορὸν εἰσιχνεῦσαν·
„ Κεῖνος δ' αὖ πέρι κῆρι μακάρτατος ἔξοχον ἄλλων,
„ Ὅς με σ' εἐδνοισι βρίσας οἶκον δ' ἀγάγηται.
„ Οὐ γάρ πω τοιῶτον ἴδον βροτὸν ὀφθαλμοῖσιν
„ Οὐτ' ἄνδρ', ὅτε γυναῖκα, σέβας μ' ἔχει εἰσορόωντα.

Μικρὸν δὲ πρόγε τέτων, Ναυσικάαν σὺν ταῖς ἀμφιπόλοις σφαιρίζεσαν, τῇ Ἀρτέμιδι κατὰ θήραν μετὰ τῶν Νυμφῶν ἐναχολεμένῃ ὁ Ποιητὴς παρετίθετο. Αὕτη δ' ἐστὶν ἡ παράθεσις, ἣν ἐκ ἐρρωμένως ἀπομιμήσασθαι ἔδοξεν Οὐαλερίῳ τῷ Πρόβῳ (ὡς οἱ ἐκείνῳ μαθητιῶντες Αὐλῳ παρέδωκαν τῷ Γελλίῳ) Οὐιργίλιος, τῇ αὐτῇ Ἀρτέμιδι τὴν Διδῶ παραβάλλων: Et quoniam de transferendis ſententiis loquor, memini audiſſe me ex Valerii Probi diſcipulis, doctì hominis, et in intelligendis penſitandis que veteribus ſcriptis bene callidi, ſoliti eum dicere, nihil quicquam tam improſpere Virgilium ex Homero vertiſſe, quam verſus hos amoeniſſimos, quos de Nauſicaa Homerus „fecit. (Ἐπεὶ δὲ περὶ ἐννοιῶν μετακομίσεως πρό„κειταί μοι λόγος, μέμνημαι δήποτε ἀκηκοὼς, „τῶν παρὰ Οὐαλερίῳ μαθητιόντων τῷ Πρόβῳ, „ἀνδρὶ σοφῷ, καὶ τὰ ὑπὸ τῶν παλαιοτέρων συγ„γραφέντα συνιέναι τε, καὶ ταλαντεύειν ἐμπειρο„τάτῳ, ὡς λέγειν ἔτος εἰώθει,, μηδέντι ἔτως „ἀπροσδιονύσσως τὸν Οὐϊργίλιον ἐκ τῶν Ὁμηρι„κῶν μεταφράσασθαι, ὡς τὰ ἔπη τάδε τὰ κάλ„λιστα, ἃ περὶ Ναυσικάας Ὅμηρος ἐποίησεν.) Οὕτω Γέλλιος ἐν Βιβλ: ΙΑ'. Κεφ: Θ'. Εἶτα καὶ τὰ ἔπη προτιθέμενος, τά τε Ὁμηρικὰ, καὶ τὰ Οὐϊργιλιακὰ: κἀκείνων ταῦτα πολλῶν ἕνεκα μακρῷ ἐνδεέστερα εἶναι διατεινόμενος, τελευταῖον τοῖς δὲ τοῖς

ῥήμασι τὸ Κεφάλαιον ἐπισφραγίζει: Praeter ista omnia, florem istius totius loci videri Virgilium omisisse; quid hunc „Homeri versum exigue secutus est. (Παρὰ ταῦτα „πάντα, τὸ ἄνθος τῆδε κομιδῇ τῆ χωρίᾳ ἐοικέ„ναι, φησὶ, τὸν Μάρωνα παραλελοιπέναι, τῷ „Ὁμηρικῷ τᾷδ' ἔπει ἔλαττον παρακολουθήσας).

„Ρεῖα δ' ἀριγνώτη πέλεται· καλαὶ δέ τε πᾶσαι.

Quando nulla major, cumulatior que pulchritudinis laus, quam quod una inter omnes pulchras excelleret, una „facile ex omnibus noscereturi. (Ὁπότε ἔτις ἐστὶν „ὡραιότητος ἔπαινος μείζων, ἢ ὅτι μία μέσον „ὡραίων ὑπέρκειταί τε καὶ ὑπερῆρεν ἐν ἁπάσαις „γνωριζομένη.) Μέτιδι Γάλιον Καίσαρα Σκαλίγερον, ἐν τῇ Ποιητικῇ τέχνῃ (Βιβλ: Ε'. Κεφ: Γ'.) τὸν τὰ Ὁμηρικὰ ἢ Οὐιργιλιακὰ ἔπη, ἐπὶ τῆς δε τῆς παραθέσεως διεξοδικώτερον παρεξετάζοντα. καί γε ὑπὲρ τῶν Οὐιργιλιακῶν, ἥπερ αὐτῷ σύνηθες, σφοδρότατα ὑπεραγωνιζόμενον.

Τελευταῖον δὲ (Ὀδυσ: Θ'.) ὁ Ποιητὴς ἀπονέμει τῇ Ναυσικάᾳ κάλλος τι θεῖον·

„.... Ναυσικάα δε, Θεῶν ἄπο κάλλος ἔχουσα.

Ἄχρι δὴ τῆδε τὰς Κερκυραίων ἀρχαιολογίας ἐξ Ὁμήρου διῆλθον· ὧν περὶ τὴν ἐξίχνευσιν ἡ Ἀνδρέᾳ τῷ Μαρμαρᾷ ἱστορία αὐτὴν ἐμοὶ ἐπιβοήθημα προσενείκατο· ὥστε καὶ τἀναντίον, εἰπὲ καὶ τῇ ἐκείνῃ ἐκδιηγήσει ἐπεβαλόμην πιστεῦσαι, βαρύτατά μοι ἐξαμαρτήσεσθαι πέπρωτο. ἐν γὰρ τῷ τοιῷδε συγγράμματι, τοσάγε ἁπαντᾷ διημαρτημένα, ὅσα μικρῷ δεῖν εἰρημένα. Διέξεισιν αὐτὸς ἐπὶ τῆς ἐν Κερκύρᾳ χαράδρας τὸν Ὀ-

δυσσέα σὺν πάσαις αὐτῆ ταῖς ναυσὶ ναυαγῆσαι. Τὴν τῆς Τροϊκῆς ἁλώσεως ἱστορίαν πολλάκις Ἀλκινόῳ αἰτησαμένῳ ἐπανειληφέναι. Περὶ Ἐχενῆος τῆ Κερκυραίων στρατηγοῦντος ἐπὶ Τροίας, ὅτι Ἕκτορός τε καὶ Ἀχιλλέως τῇ ἰσχύϊ ὁ δεύτερος ὤφθη, αὐτῆ Ὀδυσσέως ἀνακηρύττοντος, δάκρυα τῷ Ἀλκινόῳ ἀπ' ὀφθαλμῶν ἀπέρρει. Ναυσικάαν πρὸς Ἀλκινόῃ τῷ Ὀδυσσεῖ μνηστευθῆναι, καὶ ἐν μὲν Κερκίρᾳ τὸς γάμους ἐκτελεσθῆναι, συνάμα δὲ τῇ γαμετῇ τὸν Ὀδυσσέα ἐπὶ Ἰθάκης τῆς ἰδίας πατρίδος ἐπανελθεῖν· ἐν οἷς περ ἅπασιν ἀπὸ τῶν Ὁμήρε διηγημάτων, ἐδ' ἔστι φᾶναι, ὅσον ὁ Μαρμαρᾶς ἐκπεπλάνηται· μᾶλλον δὲ καὶ τῶν παλαιῶν ξυγγραφέων ἁπαξαπάντων, ἐδ' ἑνὸς γε φερομένε, (ἢ αὐτὸς εἰμὶ ἓν ἀπάτῃ ἐγὼ·) οὗ ἄν τις ἐξέλοιτο. Διὸ, ἐδὲ τῶν νεωτέρων οἷμαι τὶς εὑρεθήσεται, ὃς ἂν ἐπὶ τῶν τοιῶτων πλασμάτων ἡγεμὼν τῷ Μαρμαρᾷ γένοιτο. Τὴν τοίνυν ναυαγίαν ἐκείνην, τὴν Ἐχενῆος στρατηγίαν, τὰ Ἀλκινόε δάκρυα, τὸς Ναυσικάας γάμους, αὐτὸν εἰκαίως ἐπινενοηκέναι τὸν Μαρμαρᾶν, διπλάσια ἀνθ' ἁπλῶν, αὐτὸς ἂν ἐγὼ ξήσαιμι.

Ῥᾷον ἂν τις τῶν ἀναγινασκόντων, δίκαια κρίνων, τῇ ἀσκητῇ συγγνόιη τῷ νέῳ, τῷ Συλλέκτορι τῆ πίνακος (οὗ Βερνάρδος ὁ Μοντφαυκώνιος ἐν τῇ Κοϊολιανῇ Βιβλιοθήκῃ κατὰ τὴν αὐτῷ σύνηθη ἀκριβῆ ἐπιμέλειαν κατελέξατο.) Ὅτι Ἀλκινόῳ τῷ Φαιάκων Ἄνακτι τῷ υἱῷ Ναυσιθόε, τὴν ἔξιν ἕ, τῆ Ἀλκινόε Πλατωνικῆ ἀνδρὸς πραγματείαν, (τὴν περὶ τῶν Πλάτωνος δογμάτων ἐπιγραφεῖσαν·) φέρων ἀνέθηκε. Καὶ τετὶ μὲν τὸ ἁμάρτημα πρῶτον. ὁ γὰρ Συγγραφεὺς ἐκεῖνος, κατ' ἀρχὰς τῆς δευτέρας τῶν ἀπὸ Χριστῆ τῆ Σωτῆρος ἑκατοντάδος ὑπὸ τῶν Σοφωτέρων ἀνάγεται, τριακοσίοις πε δηλονότι ἐπὶ τοῖς χιλίοις ἔτεσι, τῆ Φαιακὶε Ἀλκινόε ὕστερος γεγονώς. Καὶ εἴτε ἐξ ἀπαιδευσίας (ὃ μόλις ἂν πιστεύσαιμι·) εἴτ' ἔν, καὶ ἐκ τῆς ἄγαν κατεστευσμένης χειρὸς τῆ γράφοντος: (οἷα πε καὶ ἐξ ἄλλων φαίνεται τῶν μὴ καλῶς κειμένων ἐπὶ τῆ αὐτῆ Πίνακος.) Τόγε ἐξαμαρτηθὲν τῆτο, κἄφον ἐπωσῦν ἀναφαίνεται παρὰ τὰ ψεύδη παρακρινόμενον, ὧν ἔμπλεως ἐστὶν ἡ Ἀνδρέε τῆ Μαρμαρᾶ διήγησις. Ὅτι δὲ ἄρα ὑπὸ τῆδε

τῦ Συγγραφέως, σύμπαντες οἱ τῆς ἀληθῦς ἱσορίας ὅροι ἄνω τε καὶ κάτω πεποίηνται παρεκτὸς τῶν ἐς τόδε φθασάντων εἰρῆθαι, ἐκ περισσίας δείξει καὶ τὰ καθεξῆς εἰρησόμενα· ὥσε μὴ αὐτὸν τὴν ἱσορίαν τῆς Κερκύρας, ἀλλα τὸς Ἀλκινόε τῷ ὄντι ἀπολόγες, τοῖς Κερκυραίοις δοκεῖν ἐπιβαλέθαι συντάξαι, καὶ τὴν Γ'εβενάλιε χολὴν δεόντως καθ' ἑαυτῦ ἐπισπάσαθαι.

Tam vacui capitis populum Phaeaca putavit?

„ Τὼς οἱ Φαιήκων κενεόν κάρα δόξε φρενῶν γε;)

ΚΕΦΑ'Λ. ΙΗ'.

Ὅτε Ὀδυσσεὺς ἀπὸ Κερκύρας ἀπῆρε, τότε δὴ καὶ Αἰνείας, ἀκτὰς παραμείβων τὰς Φαιακίδς, μετὰ τον ἐμπρησμὸν τῆς αὐτῦ πατρίδος, ἐπὶ γαίας μεταναστεύων μακρὰν ἀποκειμένας, μετὰ σόλε νηῶν δυεῖν ἐπὶ εἴκοσι. Πλέων δὲ, καὶ εἰς τὴν Ἤπειρον προσωρμίσατο, ἔνθα πρὸς Ἑλένε κατὰ ξενίαν ὑποδοχῆς ἔτυχεν. Αὐτὸς ἐσὶν Αἰνείας, ὁ παρὰ Οὐιργιλίῳ ἐν Βιβλ: Γ'. τῆς Αἰνειάδος τὰ κατ' αὐτὸν ἔτω διεξιών:

Protinus aërias Phaeacum abſcondimus arces,
Littoraque Epiri legimus, portuque ſubimus
Chaonio, et celſam Buthroti aſcendimus urbem.
Hic incredibilis rerum fama occupat aures;
Priamidem Helenum Grajas regnare per urbes,
Conjugio Aeacidae Pyrrhi, ſceptrisque petitum,
Et patrio Andromachen iterum ceſſiſſe marito.

Ἅτινα δὴ ἔτως ἔχει καὶ Ἑλληνιςὶ ἐκφερόμενα:

„ Αὐτίκα ἠερίας Φαιήκων ἡρύπτομεν ἄκρας,
„ Ἀκτὰς τ' Ἠπείρε παρμείβομεν· αὐτὰρ ἐν ὅρμῳ
„ Χαονίῳ κέλσαντες, ἀνείρομεν ὑψικάρηνον
„ Βεθρωτοῖο ἀν' ἄστυ, ἁλιζόνε ἐπὶ πέτρης.
„ Ἔνθ' ἀ πιστή τις Φάτις, ἄψα πρὸς ἄστυ βάλλεν
„ Πριαμίδην Ἕλενον πόλεος Ἑλλήνων ἐπιάρχειν·
„ Πύῤῥε τ' Αἰακίδε ἄλοχον, καὶ σκῆπτρα λαχόντα,
„ Ἀνδρομάχην πατρίῳ τ' αὖ κληρωθῆναι ἀκοίτην.

Καὶ μετὰ βραχέα:

. . . . . sese a moenibus Heros
Priamides multis Helenus comitantibus affert;
Agnoscitque suos, laetusque ad moenia ducit.

„ . . . . . Εὖ τ' ἐκ ταχῶν ἄστεος Ἥρως
„ Πριαμίδης Ἕλενος, πολλοῖς σὺν ὀπάοσιν ἐλθὼν
„ Ἔγνω τ' οἰκείους, χαίρων τ' ἀνὰ τεῖχε ἐπῆγεν.

Ἀλλ' ἴδε παρ' αὐτὸ οἷον τὸ Ἀνδρέε τῦ Μαρμαρᾶ πλάσμα ἡμῖν προσαντᾷ. Τὸν Ἕλενον ἕπος καθιζορεῖ, ἐπὶ τὴν Κασσιόπειον ἀκτὴν τῆς Κερκύρας κατάραντα θύειν ἐπιβαλέσθαι· τὴν δὲ βῆν τᾷ αὐχένι πλησσεῖσιν ἐν ᾇ ἔμελλε θύεσθαι τὰς ἱερέων ἀπεκφυγεῖν χεῖρας, καὶ τὸ θαλάσσης κῦτος διανηξαμένην, ἐπὶ τὴν ἀντίπεραν χέρσον ἐξικέσθαι. Τὸν δὲ Ἕλενον ἐπιδιώξαντα παρὰ χρῆμα, ἐπὶ τῶν θινῶν τῆς Ἠπείρε τὴν βῆν ἐκπνέεσαν κατειληφέναι, κἀνταῦθα δὴ πόλιν τὸ Βεθρωτὸν κτίσαντα, τὴν βασιλείαν ἑαυτῷ καθιδρύσασθαι. Ἀλλὰ γὰρ τὸν Ἕλενον πλέοντα ἐπὶ Κερκύρας κατᾶραι, ἐδαμᾶ γέγραπται.

„Στέφανος δὲ ὁ Βυζάντιος τὸ γεγονὸς ἕτω διέξεισι: Βαθρωτὸς „Χερρόνησος περὶ Κέρκυραν. Ἔστι καὶ πόλις. Ἐκ- „λήθη δὲ, οἱ μὲν Φασὶν, ἀπὸ τῆ οἰκιστῆ. Οἱ δὲ „μυθεύονται, ὅτι Ἑλένῳ ἐκ Τροίας πλέοντι εἰς „ἑσπέραν, θύσαντι ἀποβατήρια ἐν Ἠπείρῳ, τὸ „θῦμα ἡ βῆς ἀποδράσασα ἐκ τῆ βεπλῆγος, ὤχε- „το φεύγουσα διὰ τῆ μεταξὺ πόντε εἰς τὸν κόλ- „πον, καὶ ἐς τὴν χέρσον ἐμβᾶσα, (καὶ γὰρ τρῶ- „μα ἐν τῇ δεξῇ εἶχεν.) αὐτῆ ἤριπε καὶ ἔθανε, καὶ „κληδόνι Ἕλενος χρῆται ἵνα ἔθηκε Βαθρωτὸς ὄνομα, „ὡς φησὶ Τεῦκρος ὁ Κυζικηνός. Ταῦτα δὲ καὶ ὁ Συγγαφεὺς ἔχει τῆ μεγάλε ἐτυμολογικῆ ἐκ τῆ αὐτῆ Τεύκρε τῆ Κυζικηνῆ. Οὐκ οἶδ' ἄρ' ὁπόθεν τῷ Μαρμαρᾷ κατὰ νῆν ἐπῆλθεν, εἰς Κέρκυραν πρότε- ρον καταίροντα τὸν Ἕλενον, κἀκεῖ θείειν τὰ ἀποβατήρια ἐπιχειρῆντα, ἐξισορῆσαι. Ἀλλὰ περὶ τὰ ὑπὸ τῆ Συγγαφέως τότε λεγόμενα, συχ- νότατά μοι συμβαίνει, τετί με καὶ μόνον εἰδέναι, ὅτι ἐδὲν οἶδα.

Τὰς Αἰνείε νῆας, τὰς εἰς ἔθη Νυμφῶν μεταμορφωθείσας, τὸν σκόπελον ἡ Ναῦς Ὀδυσσέως μεταπεποίητο θεασαμένας, γεγηθείας ἐπασμενίσαθαι γράφει Ουίδιος ἐν τῷ ΙΔ'. Βιβλ: τῶν Μεταμορφώσεων.

Neritiae que ratis viderunt fragmina lactis
Vultibus, et laetae videre rigeſcere puppim,
Cautibus Alcinoi, ſaxum que increſcere ligno.

„(Νηριτίε νηός τε ἐσεῖδον θραύσματα Φωδρᾶς
„Ὄψεσι, καὶ γήθησ' ὧρων ῥιγόσσαν πέτραις
„Πρύμνην Ἀλκινόε, αὐξομένά τε λᾶν ἐνὶ δόροις.)

Περὶ δὲ δὴ τῆ τοιῆτε σκοπέλε, ἕ πλέον ἢ ἅπαξ ἐμνήσθημεν, ἃ παραλειπτέον ὧδε, τὸ παρὰ Προκοπίῳ (ἐν τοῖς περὶ τῆ Γοτθικῆ

Πολέμ. Βιβλ. Γ'. Κεφ. 27.) ἐν ἀμφισβητησίμοις ἀνακαλύμενον: Εἰ τὸ ἐν ἅδα Νηὸς παρὰ τὰς ἀκτὰς τῆς Φαιακίας ὁρώμενον νησίδιον, τὴν Ναῦν παρίσησι, τὴν Ὀδυσσέα ἐπὶ Ἰθάκης διαπορθμεύσασαν; φησὶ γάρ: „Τὸ πλοῖον ἀμέλει, ὅπερ ἐν γῇ τῇ Φαιακίδι, „ἐκ λίθου λευκοῦ πεποιημένον παρὰ τὴν ταύτῃ „ἀκτὴν ἔστηκεν, ἐκείνην τινὲς εἶναι τὴν Ναῦν οἵ„ονται, ἢ τὸν Ὀδυσσέα ἐς τὴν Ἰθάκην ἐκόμι„σεν, ἡνίκα ξεναγεῖσθαι αὐτὸν ἐνταῦθα ξυνέ„βη, καί τοι ἐμονοειδὲς τὸ πλοῖον τοῦτ' ἐστὶν, ἀλλ' „ἐκ λίθων ὅτι μάλιστα πολλῶν ξύγκειται· καὶ γράμ„ματα ἐν αὐτῷ ἐγκεκόλαπται. Καὶ διαῤῥήδην βοᾷ, „τῶν τινα ἐμπόρων ἐν τοῖς ἄνω χρόνοις ἱδρύσα„σθαι τὸ ἀνάθημα τοῦτο Διὶ τῷ Κασίῳ. Δία γὰρ Κάσιον „ἐτίμων ποτὲ οἱ τῇδε ἄνθρωποι. Ἐπεὶ καὶ ἡ πόλις, „ἐν ᾗ τὸ πλοῖον τοῦτο ἔστηκεν, ἐς τόνδε χρόνον, Κασ„σιώπη ἐπικαλεῖται.

Ὁ αὐτὸς δ' αὐτόθι Προκόπιος, καὶ περὶ Σκυλαίας διεξιὼν τῆς ἄξεως, καὶ λῆρον εἶναι δεικνὺς τὸ αὐτόθι γυναῖκα θηριώδη τινὰ παροικῆσαι: Τὸ γὰρ ὄνομα (φησὶ) τῆς Σκυλαίας ἔλαβον, ἐκ τῆς πολλῆς ἐν ἐκείνῳ τῷ πορθμῷ ἰχθύων σκύλακας (ἤτοι κύνας θαλασσίας) ἐμφιλοχωρεῖν. Προσίθησι δὲ, ὡς ἐν ἀρχῇ μὲν σύμφωνα τοῖς πράγμασιν εἰώθει ἐπιτίθεσθαι τὰ ὀνόματα. Περιφερομένων δ' ἐφεξῆς τούτων καὶ παρ' ἄλλοις ἀνθρώποις ἐξ ἀγνοίας τῆς ἀληθοῦς, ἀπάτας ταῖς τῶν ἀγνοούντων ψυχαῖς ἐναποτεννᾶσθαι· καὶ τοῦ χρόνου προϊόντος, εἰς μῦθον ἀποκαθίστασθαι τοὺς ποιητὰς ἐπιμαρτυροῦντας εὐρίσκοντα, οἷς τισι τὸ μυθολογεῖν προσηκόντως ἡ τέχνη ἐνδίδωσιν. Εἰς δὲ παράδειγμα τοῦ συμβαίνοντος, τὴν τῆς Κυνὸς κεφαλῆς,

„ἐπὶ τῆ Κερκυραϊκῆ Ἀκρωτηρίᾳ ἐπωνυμίαν, ὁ Προκόπιος ἐπεισάγει Ταῦ-
„τα τοι (λέγωι) ἐκ παλαιᾶ μὲν ὠνόμασαν οἱ Ἐπιχώριοι,
„Κυνὸς κεφαλὴν ἄκραν τὴν μίαν Κερκύρας τῆς Νή-
„σου, ἣ πρὸς ἀνίσχοντα ἥλιον ἐστίν. Ἄλλοι δὲ ἀπ' αὐτῆ Κυνο-
„κεφάλας τινὰς εἶναι βέλονται τὰς τῇδε ἀνθρώπους.

Τελευταῖον δὲ (ὡς ἂν καὶ τόδε προθείην·) λόγον ὁ Προκόπιος καθιστὰς περὶ τῆ Ναυτικῆ στόλῳ, ᾧ δὴ Τοτίλας ἀπὸ τῆ Σικελικῆ πορθμῆ ἄχρι Κερκύρας πλεύσας μηδὲν ἐδυνήθη διαλυμήνασθαι, καὶ
„τὴν αἰτίαν, ἀποδιδὺς ἔτω φησὶ: Νῆσον γάρ ἐστι μίαν ἐν τῷ
„δε τῷ διάπλῳ οἰκεμένην ξυμβαίνει εἶναι, ἐκτῆ κα-
„τὰ τὴν Χάρυβδιν πορθμῆ μέχρις ἐς τὴν Κέρκυ-
„ραν· ὥστε πολλάκις ἐγὼ ἐνταῦθα γενόμενος διηπο-
„ρέμην, ὅπη ποτε ἄρα τῆς Καλυψῦς ἡ Νῆσος εἴη;
„τάυτης γὰρ τῆς θαλάσσης ἐδαμῆ νῆσον τεθέα-
„μαι, ὅτι μὴ τρεῖς, ἀπολῶ ἄποθεν τῆς Φαιακίδος,
„ἀλλ' ὅσον ἀπὸ σταδίων τριακοσίων, ἄγχιστά ποι ἀλ-
„λήλων ἔσας, βραχείας κομιδῆ, καὶ ἐδὲ ἀνθρώπων
„ἐχούσας οἰκίας, ἐδὲ ζώων, ἐδὲ ἄλλων τὸ παράπαν
„ἐδέν. Οὐθονόι δὲ τὰ νῦν καλῦνται αἱ Νῆσοι αὗται.
„Καὶ φαίη ἄν τις τὴν Καλυψῶ ἐνταῦθα γενέσθαι,
„καὶ ἀπ' αὐτῆ τὸν Ὀδυσσέα, γῆς τῆς Φαιακίδος
„ὄντα ἀπολῶ ἄποθεν, ἢ χειδίᾳ (ὡς φησὶν Ὅμηρος)
„ἢ ἄλλῳ τῷ τρόπῳ, νηὸς τινὸς χωρὶς, ἐνθένδε δια-
„πορθμεύσασθαι.

Ἡ τῶν εἰρημένων ὅμως Νήσων ἀπὸ τῆς Φαιακίδος βραχεία ἀπόστασις, τῇ εἰκασίᾳ ἀντιτείνει τῆ προκοπίῃ, ὅσα ἀνήκει τῇ περὶ τῆς Καλυψῦς Νήσου. Ἐντεῦθεν καὶ γὰρ, ἐρίβρεντος, Ὀδυσσεὺς ἀπάρας (Ὀδυσ: Ε.)

„Ἑπταικαίδεκα μὲν πλέεν ἵματα ποντοπορεύων
„Ὀκτωκαιδεκάτῃ δ' ἐφάνη ὄρεα σκιόεντα
„Γαίης Φαιήκων . . . . . .

ΚΕΦΑΛ. ΙΘ'.

Ἔξω γενόμενοι τῶν τῆς ποιητικῆς Μυθολογίας ἀδύτων, ἁπαντῶμεν τοῖς ἐκ Κορίνθε ἐπὶ Κερκύρας ἀποίκοις, ὑπὸ τῇ Χερσικράτες ἡγεσίᾳ ἐξιορεμένοις. Περὶ δὲ δὴ τοῖς ἀποικίας ταύτης ὁ Στράβων διέξεισιν ἐν „Βιβλ: ς'. Πλέοντα τὸν Ἀρχίαν εἰς τὴν Σικελίαν „καταλιπεῖν μετὰ μέρες τῆς στρατείας τὸ τῶν „Ἡρακλειδῶν γένος Χερσικράτην, συνοικιζόντα „τὴν νῦν Κέρκυραν καλομένην, πρότερον δὲ Σχε„ρίαν· Ἐκεῖνον μὲν ἔν ἐκβαλόντα Λιβυρνές κατέ„χοντας οἰκῆσαι τὴν Νῆσον. Συμφώνως δὲ περὶ τότε καὶ ὁ Σχολιογράφος Εὐσάθιος, (ἐν τῷ τὸ περιηγητῆ Διονυσίε ποιήματι, „ἔπερ ἐχ ἅπαξ ἐμνήθημεν·) Κορινθίων ἀποικία ἐστὶν ἡ „Κέρκυρα· Συνάδει δ' ἐν τούτῳ καὶ Κόνων, ἐν Διηγήματι Γ'. παρα„φωτίω: Ὕστερον δὲ ἐπάκισαν αὐτὴν μοῖρα Κορινθίων, καὶ τότε εἰς Κερκύραν μετέβαλεν. Αὐτο δὲ τοῦτο καὶ Θεκυδίδης πολλαχοῦ διδάσκων ἐστὶ, περὶ οὗ κατωτέρω.

Χερσικράτην δὲ ἐκ τῶν Βακχιαδῶν γενέσθαι μανθάνομεν ἐξ Ἀπολλωνίε τοῦ Ῥοδίε, ὡς καὶκ τοῦ εἰς τὰ τότε Σχολιογραφήσαντος, τὸν τοῦ ἀποικισμοῦ διδασκόμεθα χρόνον. Ὁ μὲν γὰρ (ἐν τῷ Δ'. τῶν Ἀργοναυτικῶν) περὶ τῶν Κόλχων γράφων, τῶν ἐν Κερκύρᾳ ὑποδοχῆς τυχόντων, αὐτοῦ, φησὶ, τοῖς Φαίαξιν ἐκείνες συνοικεσθῆναι.

„ Εἰς ὅτε Βακχίαδαι γενεὴν ἐφύρηθεν ἰόντες
„ Ἀνέρες ἐννάσσαντο μετὰ χρόνον· οἱ δὲ περαίην
„ Νῆσον ἔβαν, κεῖθεν δὲ Κεραύνια μέλλον Ἀβάντων
„ Οὔρεα, Νεσαίης τε καὶ Ὤρικον ἐσαφικέσθαι.]

Ὁ δέ τοι Σχολιογράφος: Βάκχιος (λέγει) ἐγένετο υἱὸς „Διονύσου ἐν Κορίνθῳ δὲ διέτριβεν· ἦσαν δὲ εὐγε„νέστατοι οἱ ἀπ' αὐτοῦ τὸ γένος ἕλκοντες, οἵτινες „ἐξεβλήθησαν ἐκ Κορίνθου διὰ τὸν Ἀκταίωνος θά„νατον: (εἶτα τὴν ἔξωσιν διελθὼν προσίθησι:) Χερσικράτης δὲ „εἷς τῶν Βακχιαδῶν ἔκτισε Κέρκυραν ἐκβαλὼν τοὺς ἐνοικοῦν„τας Κόλχους. (ὅσα δὲ γ' ἐπὶ τὸν χρόνον ἀνήκει, τὴν ἐκ Τιμαίου μαρτυρίαν „προβάλλεται.) Τίμαιος δὲ φησὶ μετὰ ἔτη ἑξακόσια τῶν „Τρωϊκῶν, Χερσικράτη ἀπόγονον τῶν Βακχιαδῶν, „εἴτε ἐκπεσόντα τῆς Κορίνθου, εἴτε καὶ ἑκόντα, „ἀπελθεῖν διὰ ἀτιμίαν, καὶ κατῳκηκέναι τὴν „Νῆσον.

Τῷ γοῦν τοιούτῳ ὑπολογισμῷ ὁ πολύτι ἀπέχον ἐστὶ τὸ διάστημα τοῦ χρόνου, ὅπερ οἱ ἀκριβέστεροι τῶν χρονολογούντων μεταξὺ τιθέασι, τῆς τε Τρωϊκῆς ἁλώσεως, καὶ τῆς Βακχιαδῶν ἐξελάσεως τῆς ἀπὸ γε Κορίνθου. Τὴν μὲν γάρ προτέραν τῶν ἐποχῶν ὑποτίθενται, ἐν ἔτει τῆς Ἰθλιακῆς περιόδου 3530. Τὴν δ' ὑστέραν ἐν ἔτει 4056. Ἀλλὰ γὰρ πορρωτέρω τοῦ ὑπολογισμοῦ ἀφίσανται, οἱ σὺν Οὐσσῶνι τῷ Ἐμμίῳ περὶ τῶν τῆς ἀρχαίας Γραικίας, ἐκ τοῦ Α'. Βιβλ: τῶν Ἡροδότου, τὴν Κέρκυραν ὑπὸ Κορινθίων κτισθῆναι διαβεβαιούμενοι, κατὰ τὴν ΙΖ'. τῶν Ὀλυμπιάδων. Ἐπειδὴ γὰρ ἀπὸ Τροίας ἁλώσεως, ἐς γ' ἐπὶ τὴν Ὀλυμπιάδα τὴν πρώτην, κατὰ ψῆφον τῆς δοκιμωτέρας χρονολογίας, ἔτη χωρεῖ 408. ἐν' ἂν ἐνιαυτοὶ πεντακόσιοι παρίσντες εἶεν, οἱ μεταξὺ τῶν ἐποχῶν παραῤῥεύσαντες. Πόῤῥω δὲ καὶ τῶν Στράβωνος ῥημάτων ὁμοί-

ως ἀπέχει ὁ αὐτὸς Ἔμμιος γράφων αὐτόθι: ἐν μὲν τῷ Α΄. ἔτει τῆς ΙΑ΄. Ὀλυμπιάδος τὰς ἐν Σικελίᾳ Συρακέσας κτισθῆναι ὑπὸ Κορινθίων Ἀρχίᾳ ἄρχοντος. Ἔπειτα μετ' ἐνιαυτὸς 25 ἐπὶ τῆς ΙΖ΄. Ὀλυμπιάδος, ὑπὸ τῶν αὐτῶν Κορινθίων τὴν ἀποικίαν ἐπὶ Κερκύρας τῆς Νήσου ἐπενεχθῆναι· καὶ γὰρ ὁ Στράβων κατὰ χρόνον ἅμα τὸν αὐτὸν, ἀμφοτέρας τὰς ἀποικίας προεξηνέχθαι παρέδωκε, καταλειφθέντος Χερσικράτους ἐν Κερκύρᾳ ὑπὸ Ἀρχίου, ἐν ᾧ αὐτὸς ἐπὶ τῷ κτίσαθαι Συρακέσας τὸν πλοῦν ἀνειλήφει.

Ἀλλὰ γὰρ πολλῷ μᾶλλον σημειωθῆναι ἀξία ἐστὶν ἡ διαφωνία, ἡ μέσον τῆς Τιμαίου ὑποψηφίσεως, καὶ τῆς Θουκυδίδου ἐν τῷ Ϛ΄. Βιβλ: ἐκδιηγήσεως, ἐξ ἧσπερ ἔχομεν τῶν Ἑλληνικῶν τὸν Χαλκιδέως Θεοκλέους ἡγεμόνα, τὴν ἐν Σικελίᾳ δείμασθαι Νάξον· ἐν δὲ τῷ ἔτει τῷ ἑπομένῳ, τὸν Κορίνθιον Ἀρχίαν, τὰς Συρακέσας. Καὶ κατὰ τὸν αὐτὸν δὲ χρόνον, καὶ τὸν Μεγαρέα Λάμιν, πρῶτα μὲν ἐπὶ τῆς αὐτῆς Νήσου δομῆσαι Τρώιλον, εἶτα δὲ Θάψον· τοῦ δέ τοι Λάμεως τεθνηκότος, τὸν Θάψου ἐποικεῖν, Ὑβλέως τοῦ Σικελῶν Ἄνακτος ἡγησαμένου, τὸν Μεγαρεῖς κατασήσασθαι, Ὑβλαίους κληθέντας. Τὸν δὲ μετὰ ἔτος τεντεῦθεν 145. ἔκ τε τοῦ ἄστεος, καὶ τῶν ἀγρῶν, ἀπεξελαθῆναι ὑπὸ Γέλωνος τοῦ Συρακοσίων ἀνάσσοντος. Αὕτη ἡ τελευταία τοῦ χρόνου παρασημείωσις διδασκαλίαν ἐπιχορηγεῖ βεβαίαν Φιλίππῳ τῷ Κλαυδιῳ (ἐν τοῖς περὶ τῆς παλ: Σικελ: Βιβλ: Α΄. Κεφ: Β.) ὅτι Νάξος ἐκτίσθη ἐν τῷ Α΄. ἔτει τῆς ΙΑ΄. Ὀλυμπιάδος, ἔτει μετὰ τὴν Τρωϊκὴν μάχην 448. τῷ δ' ἐγγὺς ἑπομένῳ ἐνιαυτῷ καὶ τὰς Συρακέσας· περί γε μὴν τῆς Νάξου, καὶ τὴν Εὐσεβίου ἐν τῷ χρονικῷ μαρτυρίαν ἀρίδηλον προσεκτίθησι.

Καὶ ταῦτα μὲν ὡς ἄριστα προβαίνει· ἐξ ὧν ἐπαγαγεῖν ἂν ἐξείη τὴν Χερσικράτους ἐπὶ Κερκύρας κάθοδον, εἰστὸ μετά γε τὰ Τρωϊκὰ 249 ἔτος ἀνήκειν· ὅτε Ἀρχίας καὶ τὰς Συρακέσας κατῴκισεν. Ἀλλ' ἡ ἐπενεχθεῖσα ὑπὸ τοῦ εἰς τὰ Ἀπολλωνίου χολιογραφήσαντος μαρτυρία, ἡ ἐκ Τιμαίου, μετὰ τῆς ὑπὸ Χερσικράτους εἰς Κέρκυραν ἐπενεχθείσης ἀποικίας, ἐπὶ

ἐς ἔτος ἑξακοσιοστὸν μετὰ τὰ Τρωϊκὰ χρονολογεῖται, λίαν ἀμφισβητήσιμον τὸ περὶ ἧς ὁ λόγος καθίσησιν. Ὁ μέντοι τόπος ἐκεῖνος (ὁ τῆ Τιμαίᾳ) ἔτε δὴ Κλεβερίῳ, ἔτέ τῳ ἄλλῳ τῶν τὰ τοιαῦτα πραγματευσαμένων, ὃν ἂν αὐτὸς εἰδείην, δῆλος πάντη ἐγένετο. Οὐ δέ γε ἄλλας παῤ ἐδὲν θέσθαι δέον τὴν τοιάνδε μαρτυρίαν, καὶ γάρ τοι καὶ Σικελὸς ἦν τὸν οἶκον ὁ Τίμαιος, καὶ παρὰ ταῦτα, καί περ ἐν τοῖς περὶ τῶν Ἀγαθοκλεῖ πεπραγμένων (ὡς τῷ Σουίδᾳ, καὶ ἄλλοις τῶν παλαιῶν παρατετήρηται·) ἐ πολλῆς ἔδοξε πίσεως εἶναι ἄξιος, παρὰ τὴν εἰς τὸ ἐπιτιμᾶν τε καὶ ἐπικακίζειν ῥοπήν τε καὶ ἔφεσιν, ἣ καὶ περὶ ἑτέρας προσεχρήσατο· ἐξ ἧς ἡ Ἐπιτίμαιος (ἣ Διόδορος μαρτυρεῖ ὁ Σικελιώτης ἐν Ε΄. Βιβλ:) ἀλλ' ἐκεῖνον, τῆ ἀληθῆς τῆς ἱσορίας πεποιῆθαι λόγον, ὁ αὐτὸς αὐτόθι ἐπιμαρτυρῶν ἐςὶ Σικελιώτης Διόδορος, „τοιάδε γράψας: Τιμαῖος μὲν ἓν μεγίσην πρόνοιαν πεποι„ημένος τῆς τῶν χρόνων ἀκριβείας, καὶ τῆς πολυπαιρίας „πεφροντικὼς, διὰ τὰς ἀκαίρες καὶ μακρὰς ἐπιτιμή„σεις ἐυλόγως διαβάλλεται.

Πρὸς τοῖς εἰρημένοις τὴν κατὰ τὰ Τροϊκὰ χρονικὴν ἐποχὴν, ἐπὶ τῷ σήσαθαι τὴν τῶν Ἑλληνικῶν ἀποικισμῶν ἐν Σικελίᾳ καταρχὴν, καὶ Στράβων ἐχρήσατο ἐν Βιβλ: ς΄., καὶ Σκύμνος ὁ Χῖος: ἀλλ' ἑδετέρε τέτων τὸ ὖφος ἐῤῥῶθαι οἱ Κριτικοὶ διατείνονται Παρὰ μὲν γὰρ τῷ Στράβωνι, ὡς ἐκ τῶν Ἐφόρε ἀναγινώσκεται, τὰς ῥηθείσας ἀποικίας ἐπενεχθῆναι: τῇ γενεᾷ τῇ μετὰ τὰ Τρωϊκὰ: κατὰ δὲ τὸν Σκύμνον: ἀπὸ τῶν Τρωϊκῶν δεκάτῃ γενεᾷ μετὰ ταῦτα. Ἐφ' ᾧ ἕν τὸν Στράβωνα, τῷ Σκύμνῳ συμβῆναι, παρὰ μὲν ἐκείνῳ ἀναγνωσέον εἶναι παραινεῖ Ἰωσὴφ ὁ Σκαλίγερος (ἐν ταῖς σημειώσ: ταῖς εἰς τὸ Ἐυσεβ: χρονικὸν.) κατ' ἔτος τὸ Ἀβρ: 1281 τῇ δεκάτῃ γενεᾷ: (Ὁ δὲ Κλεβέριος τῇ πενλεκαιδεκάτῃ.) Παρὰ δε τᾷ Σκύμνῳ ὡσάυτως, (ὃν οἱ ῥηθέντες Συγγραφεῖς, ὑπὸ τῇ ὑποβολιμαίᾳ κλή-

σει ἀναφέρσι Μαρκιανῦ τῦ Ἡρακλεέως:) δεκάτῃ γενεᾷ μετὰ πέντε.

Τῆς τοίνυν Κερκυραίων ἀρχοειδῦς καταβολῆς (ὡς ἂν ἐς αὐτὴν ἐπανέλθοιμι·) ἔνδειξιν ἡμῖν καινοφανεστέραν, ἐπιχορηγῦσιν ἔσιν ἄττα τῶν Κερκυραϊκῶν Νομισμάτων, ἐν οἷς ἐπίσημον ὁρᾶται ἐπικεχαραγμένος ὁ Πήγασος. Ἐπεὶ γὰρ σύνηθες ἦν τοῖς πάλαι, ἐξ ὧν ἔσχον λαβῦσαι τὴν πρώτην καταβολήν, ἤτοι ἐκ τῶν ἰδίων Μητροπόλεων, ἐξ ὧν δηλονότι σφίσιν αἱ πόλεις ἐκτίσθησαν, ἢ γῆν ἀπῳκίσθησαν, σημαίνεσθαί τε ὑπ' αὐτῶν ἐκείνων, καὶ ἐπ' ἐκείναις περισεμνύνεσθαι, καὶ τούτων μάλιστα τοῖς συμβόλοις προσρῆσθαι ἐν τοῖς ἰδίοις Νομίσμασιν, ὁ Πήγασος τὸ Κορινθίων ἐπίσημον, τὰς ἐκ Κορίνθ προγόνας τῶν Κερκυραίων σαφῶς ἀποδείκνυσι. Τῆς τοιᾶς δὲ τῶν ἀποικήσεων τῆς πατρίδος αὐτῶν τῆς γε ἐνεστώσης, πρὸς τὴν ἀρχῆθεν κοινωνίας τε καὶ οἰκειότητος, πολλάκις ἥψατό τε καὶ ὑπεμνήσθη, ἐν τῷ περὶ χρείας τε καὶ χρήσεως τῶν ἀρχαίων νομισμάτων Ἰεζεκιὴλ ὁ Σπαγχέμιος· πληρέστερον δὲ καὶ ἀκριβέστερον, ἐν τῇ Θ'. τῶν αὐτῦ Διατριβῶν· ἔνθα ἧττον ἀπηκριβῶσθαι γράφει τὰ ὑπὸ Ἰωάννε Ἀρδοίνε τὰ περὶ τῶν Νομισμάτων διαληφθέντα διαφόρων ἐθνῶν τε καὶ πόλεων. Ἐντεῦθεν ἔν τοῖς Κερκυραίων Νομίσμασιν ὁ Πήγασος ἐγκεκολαμμένος ἐνορᾶται τὸ Κορινθίων ἐπίσημον, ὅτι Κερκυραῖοι συνῳκείοντο Κορινθίοις. Τὰς δὲ Κερκυραίας ἐκ Κορινθίων γενέσθαι ἀποίκας, πάντως διατείνεται ὁ ῥηθεὶς Σπαγχέμιος. Ἀλλὰ γὰρ εἴπερ τοῖς ὑπὸ τῦ Στράβωνος, καὶ Ἀπολλωνίε τῦ Ῥοδίε εἰρημένοις ἀτενέστερον ἐπισήσειέ τις, ἐχ' ὅτως οἱ Κερκυραῖοι Κορινθίων ἄποικοι νομιστέοι εἰσὶ γενέσθαι, ὡς μὴ κατὰ τὸ αὐτὸ νομίζεσθ' ἄν, πρὸς τὰς αὐτὰς καὶ ἑταιρείαν ἐχηκέναι· ἢ γὰρ Ἀπολλώνιος παρέδωκεν εἰς Κέρκυραν καταίροντες οἱ ἀπὸ Κορίνθ, τὰς τῶν Κόλχων ἱδρύσεις, (ὡς ὁ Σχολιαστὴς τρανώτερον ἀναπλύσει:) ἢ γῆν τὰς τῶν Λιβυρνῶν (ὡς φησὶν ὁ Στράβων) ἐπικατέλαβον. Οὐδέτερον δὲ τούτων ὑπεμφαίνει, τὸ ἐκ τῆς χώρας τηνικαῦτα ἐξεῶσθαι

τὰς Γ'θαγενεῖς Φαίακας. Ὥ'σε φανερὸν εἶναι, ὅτι Κερκυραῖοι, ὃν τρόπον τὰς Κολχὰς τὸ πρότερον, ὡς ἑταίρας μᾶλλον καὶ συμπολίτας καὶ συνοικισάς τε, καὶ συνεποίκας, ἢ ὡς καθιδρυτὰς καὶ πατέρας τὰς Κορινθίας παρὰ σφίσιν ὑποδεχθῆναι μένειν, ὅσα γε ἐξ Α'πολλωνίας ἔνεσι, καὶ ἐκ Στράβωνος ὑπολαβεῖν. Περὶ μὲν ἓν τῶν Κόλχων ἀνωτέρω συνείδομεν: περὶ δὲ τῶν Λιβυρνῶν, πότερον ἀπόγονοι Φαιάκων ἦτοι ὑπῆρξαν; ἢ γῆν ἐξελάσαντες Φαίακας, τὴν τέτων χώραν εἰς τόδε κατέχον, ἀδήλον τῦτο λανθάνειν Ἔμμιος, ἐν τῇ περιγραφῇ τῆς Κερκυραίων πολιτείας ἀποφαίνεται. Α'λλὰ γὰρ ὑπὸ τῷ Λιβυρνῶν ὀνόματι, ὅτι καὶ οἱ Κόλχοι αὐτοὶ ὑποσημαίνεσθαι ἔχουσιν, (ἴν', ἔτω ἢ συμβιβασθείη τὰ εἰρημένα Α'πολλωνίῳ καὶ Στράβωνι) ἐξ αὐτῶν ἔπεσιν εἰκάσαι τῶν τῦ Α'πολωνίε (ἐν τῷ Δ'. τῶν Α'ργοναυτ:) τῦ τὸν Α'ργοναυτῶν διάπλων γενέσθαι διὰ τῦ Α'δριατικῦ περιχεάφαντος.

„ . . . . Τὰς δ' ἀπέλειπον ὅσσοι Κόλχοισι πάροιθεν
„ Ἐξείης πλήθοντο Λιβυρνίδες εἰν ἁλὶ νῆσοι.

Περὶ τῦ τοιῦδε ἀποικισμῦ, καλὸν ἑκατέρου τῶν δήμων ἀκῦσαι, ἀντιδιατεινομένων πρὸς ἀλλήλυς παρὰ Θεκυδίδῃ ἐν τῷ Α'. τῆς ἱςορίας: „Ἦν δὲ λέγωσιν (οἱ Κερκυραῖοι περὶ τῶν Κορινθίων „λεγόντων ἀποτεινόμενοι:) ὡς ἐδίκαιον τὰς σφε„τέρας ἀποίκυς ὑμᾶς δέχεσθαι, μαθέτωσαν ὡς „πᾶσα ἀποικία, εὖ μὲν πάσχυσα τιμᾷ τὴν Μητρό„πολιν, ἀδικυμένη δὲ, ἀλλοτριῦται. Οὐ γὰρ ἐπὶ τῷ „δῦλοι, ἀλλ' ἐπὶ τῷ ὁμοίοις τοῖς λειπομένοις εἶναι „ἐκπέμπονται. (Οἱ δὲ δὴ Κορίνθιοι ἀντιβάλλον„τες:) Α'ποικοι δ' ὄντες, ἀφεςᾶσί τε διὰ παντὸς, „καὶ νῦν πολεμῦσι, λέγοντες: ὡς ἐκ ἐπὶ τῷ κακῶς „πάσχειν ἐκπεμφθείησαν· ἡμεῖς δὲ, ἐδ' αὐτοὶ φαμὲν „ἐπὶ τῷ ὑπὸ τέτων ὑβρίζεσθαι κατοικίσαι, ἀλλ' ἐπὶ τῷ „ἡγεμόνες τε εἶναι καὶ τὰ εἰκότα θαυμάζεσθαι. Αἵ

„γῆν ἄλλαι ἀποικίαι τιμῶσιν ἡμᾶς, καὶ μάλιστα
„ὑπὸ ἀποίκων σεργόμεθα.

Πρὶν ἢ δὲ Χερσικράτην παρῶμεν, καλὸν ἰδεῖν καὶ ὅπως ἡμῖν Ἀνδρέας ὁ Μαρμαρᾶς, τὸ παλαιὸν ἄξυ κτισθῆναι ὑπὸ τῶ Χερσικράτες τότε παρίσησι: τὴν γὰρ εἰκόνα, ἤτοι τὴν ἰχνογραφίαν τῆς πόλεως, ἔτω γραφικῶς διηκριβωμένην ἐκτίθησιν, ὡς ἐν αὐτῇ τές τε ἀνακτορικὲς δόμες οἷον ὑπ' ὀφθαλμοῖς παρέχειν ὁρᾶσθαι· καὶ τὰ ἐπὶ κατασκευῇ τῶ κέρματος ἀργυροκοπεῖα, καὶ τὰ τῶν Δικασῶν πρυτανεῖα, καὶ κρήνας, καὶ Ναὲς ἢ ἀνδριάντας, καὶ λιμένας, καὶ ὁπλοθήκας, καὶ ἁπάσας κομιδῇ τὰς ἐν μέρει οἰκοδομίας· καὶ οἷ ἕκαστα ἔκειτο, καὶ οἵας μορφῆς τε καὶ χήματος λελάχει ἐπὶ λεπτῶ καταδείκνυσθαι. Οὕτως ἐπὶ τηλικαύτης τῆς ἀρχαιότητος ὑπενδοιάζειν μηδόλως ὁ Μαρμαρᾶς ἐοικὼς, ἢ περιδεδιέναι, μὴ ἄλλως πως ἕκαστα εἶχεν, ὡς ἔγε ταῦτα, εἴτε ἐξ ἐρειπίων τῶν ἔτι περιόντων, εἴτε ἐκ σαφῶν ἐπιμαρτυρήσεων τῶν ἀνέκαθεν διὰ συγγραφῆς μνείαν πεποιημένων, ἀσφαλέσταται ἅπαντα καταμάθοι. Ἀλλ' ἀριδηλότατον ἐξὶν αὐτὸν ἄνευ τῶν τοιότων ὑπομνημάτων τὰ ῥηθέντα ἐξ ἑαυτῶ διαχειρίσαι, καὶ πόλιν ἀνατυπώσασθαι τηλικαύτην, οἵαν ἔτε Χερσικράτης ἐκεῖνος, ἔθ' ἕτερός τις, ἀλλ' αὐτὸς μόνος καθ' ἑαυτὸν ὁ Μαρμαρᾶς, πρὸς τὸ δοκῆν ἀρχιτεκτονήσας, ἀπεδομήσατο· Ἔξι μὲν γὰρ χῶρος τις ἐν Κερκύρᾳ, ὃν παλαιόπολιν οἱ ἐπιχώριοι ἔτι καὶ νῦν ὀνομάζεσιν, ἐν ᾧ ἔθ' ἅττα, παλαιοτέρας τινὸς καὶ ἐπισήμε γενομένης ποτε πόλεως, ἐρείπια διαφαίνεται· ἃ μέν τοιγε ὥστε καὶ τὴν πρὸς τῶ Μαρμαρᾶ ὑποτυπωθεῖσαν, ἐδὲ βραχὶ γῆν, οἷα πιστώσασθαι. Τὸν αὐτὸν ἓν τρόπον ὁ Μαρμαρᾶς προσέτι, ἑδενὸς αὐτῷ ἐπὶ μαρτυρῆντος, ἀνεβάλετο ἰσορῆσαι, ἢ ὅτι τελευτήσαντος Χερσικράτες, Ἀλχεμέα οἱ Κερκυραῖοι ἑαυτοῖς ἐβασίλευσαν· μεθ' ὃν ἀποβεβιωκότα ἐφεξῆς, Λυκόφρονα· ἴση καὶ γὰρ τῇ ἀναιδείᾳ, ὥσπερ τὴν πάλαι τῆς Κερκύρας πόλιν διετεκτήνατο, ἔτω καὶ τὲς ἐν αὐτῇ ἡγεμονεύσαντάς τε καὶ βασιλεύσαντας, ἐκ τῶ ἰδίε ἐγκεφάλε ἐπικατέσησεν. Ἄλλως τε γὰρ ἡμῖν καὶ ὁ Ἀλχεμεὺς ἐκεῖνος τὸ παράπαν

ἐσὶν ἀγνοάμενος, ὅς τις ποτὲ καὶ ἦν. Λυκόφρονα δ' ἴσμεν τὸν Περιάνδρε τῦ Κορινθίε, ὑπὸ μὲν τῦ πατρὸς εἰς Κέρκυραν ἀπεξελαθῆναι, ὑπὸ δὲ Κερκυραίων, ἐφ' ᾧ μὴ Περίανδρος κατὰ τῆς ἑαυτῶν χώρας ἐπισρατεύσειεν, ἀποκτανθῆναι.

ΚΕΦΑ'Λ. Κ'.

Ἀλλ' ἤδη καὶ τὰς ὑπὸ τῶν Κερκυραίων αὐτῶν ἐκπεμφθείσας ἀποικίας σκεψώμεθα· τήν τε εἰς Ε'πίδαμνον, ὅπερ τὸ νῦν ὑπάρχει Δυρράχιον, καὶ τὴν εἰς Α'πολλωνίαν.

Τῆς Ε'πιδάμνε, μόνες τὰς Κερκυραίες ἀποικίας γενομένες Στράβων τε, καὶ Στέφανος, καὶ Σκύλαξ παρέδωκαν. Στράβων καὶ γὰρ ἐν „τῷ Ζ': Ε'πίδαμνος (φησὶ) Κερκυραίων κτίσμα, ἥ νῦν „Δυρράχιον, ὁμωνύμως τῇ Χερρονήσῳ λεγομένη, „ἐφ' ἧς ἵδρυται. Ταὐτά ἀναγινάσκεται καὶ παρὰ Στεφάνῳ· παρ' ὅσον ὑπὸ τέτε, καὶ ὁ Ξυγγραφεὺς προσίθεται ἐξ ἧ παρείληφεν· ἤτοι ὁ Φίλων, ὁ ἐπὶ Τραϊανῦ βιώσας, καὶ τὰ περὶ πόλεων τριάκοντα Βιβλία συντάξας· περὶ ἧ Σεί̈δας τε γράφει, καὶ ὁ τῦ Μεγάλε ἐτυμολογικῦ πατὴρ, καὶ ἄλλοι. Ε'πὶ δὲ τοῖς ῥηθεῖσι τέως καὶ Σκύμνος ὁ Χῖος ἐν τῇ Περιηγήσει, ἔτω:

„ Πρὸς τῇ θαλάττῃ δ' ἐσὶν Ε'πίδαμνος πόλις
„ Ε'λληνὶς, ἣν Κέρκυρ' ἀποικίσαι δοκεῖ.

Ε'κπροελθεῖν δὲ τήν δε τὴν ἀποικίαν ἐκ Κερκυραίων, ἀλλὰ Φαλίε τῦ Κορινθίε ἡγησαμένε, καί τινων Κορινθίων ἑταίρων αὐτῦ, καὶ ἄλλων ἐκ γένες καταγομένων τῦ Δωρικῦ, ὁ Θεκυδίδης (ἐν Βιβλ: Α'.) „φησὶν: Ε'πίδαμνος ἐσὶ πόλις, ἐν δεξιᾷ ἐσπλέοντι

„τὸν Ἰώνιον Κόλπον· προσοικεῖσι δ' αὐτῇ Ταυλάν-
„τιοι Βάρβαροι, Ἰλλυρικὸν ἔθνος. Ταύτην ἀπώκι-
„σαν μὲν Κερκυραῖοι, οἰκιστὴς δ' ἐγένετο Φάλιος
„Ἐρατοκλείδε Κορίνθιος, γένος τῶν ἀφ' Ἡρακ-
„λέες, κατὰ δὴ τὸν παλαιὸν νόμον ἐκ τῆς Μητρο-
„πόλεως κατακληθεὶς· ξυνώκισαν δὲ καὶ τῶν Κο-
„ρινθίων τινές.

Καὶ οἱ Ἐπιδάμνιοι δὲ αὐτοὶ Κορινθίες ἐπεγίνωσκον τὲς ἰδίες ἀποικητὰς· κατὰ χρησμὸν γὰρ τὸν αὐτοῖς δοθέντα εἰς Κόρινθον ἦλθαν, „τὴν ἐκεῖθεν ἐπικουρίαν αἰτέμενοι: τὸν οἰκιστὴν ἀποδεικνῦν-
„τες σφῶν, ἐκ Κορίνθε ὄντα: ὡς ἐν τῷ Α'. Βιβλ:
„Θεκυδίδης διέξεισι· παρ' ᾧ δὴ πρόσκεται, καὶ ὅτι
„Κορίνθιοι ἑτοίμως εἶχον Ἐπιδαμνίοις ἐπαμύνα-
„θαι, ἅτε δὴ τὴν Ἐπίδαμνον ἡγέμενοι, ἐκ ὅπως
„ἑαυτῶν εἶναι, ἢ Κερκυραίων.

Τἐναντίον δὲ Κερκυραῖοι, ἐδενὶ λόγῳ τὴν Ἐπιδάμνε ἀποικίαν προσήκειν διετείνοντο Κορινθίοις, διὸ δὴ παρὰ Θεκυδίδῃ ἐν τῷ αὐτῷ Βιβλίῳ, τὰς παρὰ τέτων φρεφὰς ἐξ Ἐπιδάμνε ἐκέλευον ἀποπεμφθῆναι, „ὡς δ' μετὸν αὐτοῖς: ὡς εἴγε σφίσιν ἀπονέμοντες
„ἐπιμένοιεν οἱ Κορίνθιοι, δίκας ἤθελον δῶναι ἐν
„Πελοποννήσῳ παρὰ πόλεσιν, αἷς ἂν ἀμφότεροι
„ξυμβῶσιν. ὁποτέρων δ' ἂν δικαθῇ εἶναι τὴν ἀποι-
„κίαν, τέτες κρατεῖν. Ἤθελον δὲ καὶ τῷ ἐν Δελφοῖς
„Μαντείῳ ἐπιτρέψαι· Πόλεμον δ' ἐκ εἴων ποιεῖν. Ἀλλ' ἡ Κερκυραίων ἰσότης τὰ τῆ πολέμε ἀποσεῖσαι εἰκῇ ἐσπέδασεν. Ἐντεῦθεν γὰρ ὁ χαλεπώτατος ἐξῆπται πόλεμος ὁ καλέμενος Πελονησιακός.

Περὶ τῆς ἐς Ἀπολλωνίαν δὲ ἀποικίας μαρτυρῆσι Στράβων τε, καὶ Σκύμνος ὁ Χῖος ἀμφότεροί γε μὴν ἐπὶ τὴν ταύτης ἐξαγωγὴν τοῖς Κερκυραίοις ἅμα τὲς Κορινθίες συνάπτεσι· Στράβων καὶ γὰρ (ἐν τῷ Ζ'.

Βιβλ:) μεθ' ἃ περὶ Δυῤῥαχίε ἀνωτέρω παρεθέμην, αὐτίκα προσέ-
„θηκεν: Εἶθ' ὁ Ἄ"ψος ποταμὸς, ἢ ὁ Ἄωος, ἐφ' ᾧ Ἀπολ-
„λωνία πόλις εὐνομωτάτη, κτίσμα Κορινθίων καὶ
„Κερκυραίων· τῷ ποταμῷ μὲν ἀπέχουσα σταδίες δέ-
„κα, τῆς θαλάττης δὲ ἑξήκοντα. Ὁ δὲ Σκύμνος ὁ Χῖος.

„. . . . . ἡ Ἀπολλωνία
„Κορινθίων, Κερκυραίων τε καὶ κτίσις.

Κορινθίοις δ' ἓν μόνοις τὴν ἀποικίαν ἐκείνην ἀποδίδωσι Θσκυδίδης ἐν τῷ
„Α'. Βιβλίῳ. Ἐπορεύθησαν δὲ πεζῇ ἐς Ἀπολλωνίαν Κορινν-
„θίων ἔσαν ἀποικίαν. Ὡσαύτως δὲ τῶν Κορινθίων ἐπεμνήθη μόν-
νων καὶ Πλίνιος (ἐν Βιβλ: Γ'. Κεφ: 21.) Apollonia quondam Corin-
„thiorum colonia (Ἀπολλωνία ἡ Κορινθίων πάλαι ἀποικία.)
Καὶ Διονυσιος δὲ ἐν τῇ ΜΑ'. τῆς ἰσορ: Κορινθίαν ἀποκαλεῖ τὴν
„Ἀπολλωνίαν. Καὶ Στέφανος δὲ: Ἀπολλωνία (φησὶ) πρώτη πό-
„λις Γλλυρίας, ἣν ᾤκεν Γλλυριοὶ κατ' Ἐπίδαμνον. Ὑ"σε-
„ρον διακοσίων Κορινθίων ἀποικία ἐς αὐτὴν ἐσά-
„λη, ἧς ἡγεῖτο Γύλαξ, ὃς Γυλακίαν ὠνόμασε. Ψεῖ-
δος δὲ τῷ χωρίῳ ἐμφιλοχωρῆσαι τῇδε ὑφορᾶν ἔδοξεν Ἀβραὰμ ὁ
Βερχέλιος ἐν τῇ ὑπομνήματι: καὶ αὐτὶ τῦ διακοσίων Κορινθίων
ἀποικία, ἀναγινώσκειν ἡγήσατο δεῖν: διακοσίων Κορκυραίων
τε καὶ Κορινθίων ἀποικία: ὡς ἂν, τυχὸν Στεάβωνί τε καὶ
Σκύμνῳ σύμφωνον τὸν Στέφανον ἀναδείξειε· καίπερ ἄλλως ὁμολογῶν
τῆς προτέρας ἀναγνώσεως ἔχεσθαι τὰς Κώδικας ἀπαραλλάκτως Ἀλλὰ
γὰρ ἐν ᾧ φησὶ τὸν Θσκυδίδην μόνον τὴν Ἀπολλωνίαν εἰρηκέναι ἀποικίαν
τῶν Κορινθίων, ἔοικε μηδαμῶς ἐντετυχηκέναι, οἷς Πλίνιός τε καὶ Διο-
νύσιος γεγράφατον.

Τὴν Κερκυραίων ἅμα καὶ Κορινθίων ἑταιρείαν τε καὶ συνδρομὴν ἐπὶ τῷ Ἀπολλωνίας κτίσματι ἐπιβεβαιοῖ ἡ τὰ (ἐν τοῖς Προτέρ: Ηλειακ:) „ ὑπὸ Παυσανίε λεγόμενα: Ἀποικισθῆναι φάσκοντος ἐκ Κερ„ κύρας τὴν Ἀπολλωνίαν. Οἱ δὲ Κορινθίοις αὐτοῖς „ μετεῖναι λαφύρων, φασίν.

Ἐπὶ τούτοις δὲ τὴν Κέρκυραν, ὡς πάλαι πατρίδα σφίσι γενομένην Ἀπολλωνιάται, καὶ οἱ ἐκ Δυρραχίε νενομίκασιν ὡς ἐπιμελῶς Σπαγχέμιος ἐν τῇ ῥηθείσῃ αὐτῆ Θ'. διατριβῇ παρετήρησεν: Ἐπεὶ τὰ τῶν Δήμων ἀμφοτέρων νομίσματα, τοῖς αὐτοῖς ἑκατέρωθεν ἐκτυπώμασιν ἐπισημαινθέντα καὶ νῦν καθορῶμεν· τετραγωνικὴν δηλονότι παριστῶντα ἄλω μετὰ ὀπωρῶν, καὶ βῆν μετὰ μόχε θηλάζοντος: οἷα περ κἂν τισι τῶν Κερκυραϊκῶν Νομισμάτων φέρεται καθορώμενα. Ὅσα δὲ τὰ πρὸς τὴν Ἀπολλωνίαν ἀνήκει, ἐκ τῆς Νηὸς διαπιστώσασθαι ἔχει, τῆς ἔν τινι τῶν ἐκείνης Νομισμάτων (Πατίνε τε καὶ Ἀρδεΐνε συμμαρτυρέντων) ἐπιφαινομένης. Ἦν δὴ καὶ τῶν Κερκυραίων ἕναι σύμβολον ἀρίγνωτον, ἀνωτέρω συνέφην. Νόννιον μὲν ἓν τὸν Γολτζίε διερμηνευτὴν Σπαγχέμιος ἐπιμέμφεται, ὡς μηδὲν ἐπὶ τοῖς προτέροις καθεωρακότα τυπώμασι· πολλῷ δὲ ἄρα δικαιότερον κακίσειέ τις Ἀρδεΐνον, τὸν ἐν τῷ δευτέρῳ, τήν τε τῶν Ἀπολλωνιατῶν, καὶ τὴν τῶν Κερκυραίων Ναῖν, ὡς εὐδαιμονίας ἐξειληφότα γενικὸν σύσσημον, μηδὲν δὲ τὸ σύνολον προσεθεικότα περὶ τῇ κατὰ τὴν Ναυτιλλίαν κλέες, καθ' ἣν Κερκυραῖοι διαφερόντως ὑπερεῖχον, ἥς τε πρὸς ἔνδειξιν ἀναμφιλέκτως, καὶ τῷ τῆς Νεὰς παρασήμῳ ἐχρῶντο ἐν τοῖς ἰδίοις αὐτῶν Νομίσμασι.

Περὶ τῇ χρόνε καθ' ὃν ἡ ἐπὶ τὸ Δυρράχιον ἀποικία ἐστάλη, οὐδὲν ἔχω λέγειν, ἢ ὅτι ὑπὸ Ἐμμίε, (ἐν τοῖς περὶ τῶν Ἑλλάδος ἀρχαιοτήτων·) ἐπὶ τὸ τρίτον ἔτος τῆς τριακοστῆς ὀγδόης Ὀλυμπιάδος ἀνήνεκται. Πότερον δ' ἄρα, τῶν παλαιῶν τινὰ Συγγραφέων συνεπιμαρτυρῆντα αὐτᾷ, ἐκείνε ἔχοντος; ἀγνοῶ. Ἀλλ' ἡ τῇ Ἀπολλωνίας κτίσματος ἐποχὴ ὑπὸ Πλουτάρχε δηλῆται ἐν τῷ Βιβλίῳ, ἧ ἐπιγραφή: Περὶ τῶν ὑπὸ τῇ θείε βραδέως τιμαρεμένων. Ὅπε τὰς

ἐκ τῆς μελλήσεως τῆς ἐπενεχθησομένης ποινῆς ὠφελείας καταλέγων, „μηδὲ τὴν Ἀπολλωνίαν οἰκισθῆναι ἂν ἔφη, εἰ Περίανδρος ἐκολάθη „μὴ μετὰ πολὺν χρόνον. Ἐβασίλευσε δὲ Περίανδρος ὁ τοῦ Κυψέλου ἐν Κορίνθῳ, ἀπὸ τοῦ πρώτου ἔτους τῆς τριακοστῆς ὀγδόης Ὀλυμπιάδος, ἕως ἐπὶ τὸ τέταρτον τῆς ὀγδόης ἐπὶ τῇ τεσσαρακοστῇ. Ἀνθ' ἧς δὴ τότε τοῦ ἀριθμοῦ τοῦ ὑστέρου παρὰ Πεταβίῳ, (ἐν τῷ Λογιστηρίῳ τῶν χρόνων Μέρει Β'. Βιβλ: Β'.) εἴτε παρὰ τῶν χειρογραφέων, εἴτ' ἂν καὶ παρὰ τῶν τυποθετούντων, ἐσφαλμένως φέρεται ὁ ἀριθμὸς, 84.

Παρὰ τὸ Δυρράχιον καὶ τὴν Ἀπολλωνίαν (ὡς περὶ τῆς ἐλάσσονος Κερκύρας ἐν τῷ Β'. Κεφαλαίῳ ἡμῖν εἴρηται·) καὶ ὄλλας προσέτι πόλεις τὴν ἰδίαν ἑαυτῶν καταβολὴν τῇ Κερκύρᾳ ἐπωφληκέναι, λίαν εἰκὸς πιθανὸν, ἅτε τῶν Κερκυραίων ἐν τοῖς τηνικαῦτα χρόνοις, δι' ἀπάσης περίξ θαλάσσης ἐπικρατούντων· ἐξ ἧς καὶ Κορινθίοις Κερκυραῖοι ἐδόκουν ὀλίγου τιθεσθαι, καθάπερ ὁ Θουκυδίδης ἐν τῷ Α'. τῆς συγγραφῆς „αὐτοῦ ἰσορρεῖ: ὡς καὶ δυνάμει ὄντες κατ' ἐκεῖνον τὸν „τρόπον ὅμοια τοῖς Ἑλλήνων πλεσιωτάτοις, καὶ „τῇ ἐς πόλεμον κατασκευῇ δυνατώτεροι. Ναυ„τικῷ δὲ καὶ πολὺ προέχειν ἔσιν ὅτε ἐπαιρόμενοι, „καὶ κατὰ τὴν τῶν Φαιάκων προενοίκησιν τῆς „Κερκύρας κλέος ἔχοντες τὰ περὶ τὰς ναῦς. Περὶ δὲ τοῦ ἐπὶ τῇ Ναυτικῇ τῶν Φαιάκων κλεος, μάρτυρα ἔχει τὸν Ὅμηρον ὁ Θουκυδίδης ἐχέγγυον (ὡς ἐν ἰδίῳ τόπῳ ἢ αὐτοὶ συνείδομεν.) Παρὰ γὰρ Θουκυδίδῃ, οἷαπερ καὶ παρ' Ὁμήρῳ: οἱ Κορίνθιοι ἐπὶ τῆς Ἀθηναίων ἐκκλησίας ὁμολογοῦσι, μὴ συχνὴν εἶναι τοῖς Κερκυραίοις τὴν πρὸς ὀθνείας ἐπιδημίαν, καὶ τὴν παρὰ τούτοις παραμονὴν καὶ συγκατασκήνωσιν· συχνὴν δὲ τὴν τῶν ἄλλων, παρ' αὐτὸς καταίρειν ἀναγκαζομένων ὑποδοχὴν καὶ Φιλοφροσύνην· ἐν οἷς τῶν Κερκυραίων, κατὰ σπουδὴν κοσμιότητος, καὶ σεμνοπρεπείας τοῦτο ποεῖν ἀπολογουμένων, ὥσπερ ἢ διὰ τοῦ Ὁμηρικοῦ ὑπεμφαίνεται ἔπος·

„ . . . . Οὐδέ τις ἄμμι βροτὸς ἐπιμίσγεται ἄλλος.

Οἱ Κορίνθιοι τὴν τοιαύτην σπονδὴν εἰς Φλαῦρον μεθερμηνευκότες ἀπήντησαν: ὅτι τὸ τοιόνδε εὐπρεπὲς, ἄσπονδον καὶ ἀσυνάλλακτον εἰσὶ προβαλλόμενοι, ἐχ ἵνα μὴ ἑτέροις ξυναδικῶσιν, ἀλλ' ὅπως κατὰ μόνας ἀδικῶσι καὶ ἵνα, ἐν ᾧ μὲν ἄν κρατᾶσι, βίαν προσενέγκωσιν, ἔδ' ἄν λάθωσι, τὸ πλέον ἔχωσιν: ἢν δέ πε τι προσλάβωσιν, αἰσχυντῶσι. Τὴν τοιαύτην ἀλλ' ἓν τῆς Φαιάκων ἀγωγῆς μεθερμήνευσιν, τὰ ἐξ Ὁμήρε ἀνωτέρω προενεχθέντα δαψιλῶς ἐξελέγχσιν.

ΚΕΦΑΛ. ΚΑ'.

Ἐπὶ τῇ ἐν χερσὶ Κεφαλαίᾳ ἔθ' ἅττα ἡμῖν ἀποτεταμίευται προσεπεκτεθεισόμενα νῦν, ἀρχαῖα μὲν αὐτὰ, τῷ δὲ χρόνῳ ἄδηλα καὶ ἀόρισα.

Παυσανίας ἐν τοῖς Προτέρ: Ἠλειακ: πρός γε τὸ τέρμα, περὶ „τᾷ ὑπὸ Κερκυραίων ἀνατεθέντος Ὀλυμπιάσι Βοὸς τοιάδε ἔχει: Ἀν„θότε μὲν οἱ Κερκυραῖοι, τότε ἐν Ὀλυμπίᾳ, καὶ ἕτε„ρον βᾶν ἐς Δελφοὺς ἀνέθεσαν, δηλώσει μοι τὰ ἐς „Φωκέας τᾷ λόγᾳ. Ἐπὶ δὲ τᾷ Ὀλυμπιάσιν αὐτῶν „ἀναθήματι, συμβῆναι τοιόνδε ἤκεσα: Παῖς μι„κρὸς ὑπὸ τέτῳ καθήμενος τῷ βοΐ, ἐς τὸ κάτω νενευ„κὼς ἔπαιζεν· ἀναχὼν δὲ ἐξαίφνης τὴν κεφαλὴν, „κατεάγη τε αὐτὴν πρὸς τὸν χαλκοῦν καὶ ἐκτὸς ἡμέ„ρας ὕστερον ἀπέθανεν ὑποπλαῖς. Ἠλεῖοι μὲν ἓν τὸν „βᾶν, ἅτε αἵμασιν ἔνοχον ἐβουλεύοντο ἐκκομίσαι, „τῆς Ἄλτεως· ὁ δὲ σφᾶς, ὁ δὲ Θεὸς ὁ ἐν Δελφοῖς, „κατὰ τὸ ἀνάθημα, καθάρσια ἔχρα ἐπ' αὐτῷ πο-

„ησαμένες, ὁπόσα Ἕλληνες ἐπ' ἀκεσίῳ φόνῳ νομί-
„ζεσι.

Ἀ δὲ ἐν τοῖς Φωκαϊκοῖς ὁ Παυσανίας περὶ τῶν ἀναθημάτων ἐκεί-
„νων ἐξέθετο, τοιαῦτα ἐστίν: Εἰσελθόντι δὲ ἐς τὸ τέμενος
„(τῶν Δελφῶν) χαλκῆς Ταῦρος, τέχνη μὲν Θεα-
„ρόπε ἐστὶν Αἰγινήτε, Κερκυραίων δὲ ἀνάθημα.
„Λέγεται δὲ ὡς Ταῦρος ἐν τῇ Κερκύρᾳ καταλιπὼν
„τὰς ἄλλας Βῆς, ἐξαπὸ τῆς νομῆς κατερχόμενος,
„ἐμυκᾶτο ἐν τῇ θαλάσσῃ· γινομένε δὲ ἐπὶ ἡμέρᾳ
„πάσῃ τῇ αὐτῇ, κάτεισιν ἐπὶ θάλασσαν ὁ Βεκέ-
„λος, καὶ ἔδει ἰχθύων τῶν θύννων ἀτέκμαρτόν
„τι ἀριθμῷ πλῆθος· καὶ ὁ μὲν, δῆλα τοῖς ἐν τῇ πό-
„λει Κερκυραίοις ἐποίησεν· οἱ δὲ, (ἑλεῖν γὰρ τὲς
„θύννες προαιρέμενοι τηνάλως ταλαιπωρίαν
„εἶχον.) θεωρὲς ἀποσέλλεσιν εἰς Δελφὲς καὶ ἔτω
„Ποσειδῶνι τε ἐκεῖνον θύσει τὸν Ταῦρον, καὶ αὐ-
„τίκα μετὰ τὴν θυσίαν αἱρέσι τὲς ἰχθῦς καὶ
„σφίσι τὸ ἀνάθημα, ἐν Ὀλυμπίᾳ τε καὶ ἐν Δελ-
„φοῖς ἐστὶν ἡ δεκάτη τῆς ἄγρας.

Καὶ ἐξ ἑτέρας δὲ ἄγρας δεκάτη ἐπὶ τῆς Ἠλείων ἀγορᾶς, σοά
τις ἀνωκοδόμηται, ἧς Παυσανίας καὶ αὐτῆς ἐν τοῖς Ἠλειακοῖς μέμνη-
„ται τοῖς ὑστέροις. Τῇ σοᾷ (φησὶν) ἔνθα οἱ Ἕλλανοδίκαι
„διημερεύουσιν, ἔστιν ἐγγὺς ἄλση σοᾶ· τὸ μεταξὺ
„αὐτῶν ἀγυιὰ μία. Τάυτην ὀνομάζουσι Κερκυραῖ-
„κὴν οἱ Ἠλεῖοι. Ναυσὶ γὰρ εἰς τὴν σφετέραν ἀπὸ
„τῶν Ἠλειακῶν ἀγρῶν Κερκυραίες ἐλθόντας,
„ἑλᾶσαι μοῖραν τῆς λείας λέγουσι· λαβεῖν τε ἔπει-
„τα (νόει μοι τὲς Ἠλείες) ἐκ τῆς Κερκυραίων πολλα-
„πλάσια (ἦγον πολῷ πλείονα τῶν σφίσιν ὑπ
„Κερκυραίων πρότερον ἡρπαγμένων) καὶ οἰκοδο-
„μήσασθαι ἀπὸ τῶν λαφύρων τῆς δεκάτης.

Τελευταῖον Παυσανίας ἐν τῷ αὐτῷ Βιβλίῳ, τὲς ἐκ τῆς Κριτικῆς σχολῆς καταλέγων ζωγράφες, Πτόλιχόν τινα Κερκυραῖον ἡμῖν ὑποβάλ-„λει, ἐκείνε μὲν μαθητὴν, Ἀμφίωνος δὲ διδάσκαλον. Πτόλιχος „μὲν γὰρ ἔμαθεν ὁ Κερκυραῖος παρ' αὐτῷ Κριτίᾳ, „Πτολίχε δὲ ἦν μαθητὴς Ἀμφίων.

Ὥσπερ ἓν δυοῖν ὑπεμνήθη Παυσανίας ἀναθημάτων Κερκυραϊκῶν, ἕτω καὶ ἑτέρε μνημονέυοντα ἐυρίσκομεν Στράβωνα, ἐν τῷ Ζ'. ἔνθα περὶ τὲ Δωδωναίε Λέβητος· ἢ μᾶλλον (ὅπερ ἐςὶ φάναι) τὸν Στράβωνος Ἐπιτομέα. Οὐ γὰρ ὁλοχερὲς περισώζεται καθ' ἡμᾶς τὸ πρωτότυπον τῆ Ζ'. Βιβλ: τῶν τὲ Στράβωνος· ἀλλ' ἐξακέσασθαί πως τὴν ἀποβολὴν ἐπειράσαντο ἔκ τινων ἀποσπασματίων τῶν ἐκ τῆς Στράβωνος ἐπιτομῆς ὑπολειφθέντων, ὥνπερ (ἐν τῷ ῥηθέντι τῆ Ζ'. μέρει) ἐπὶ τὸν ἀνενυχθέντα Λέβητα προσανηκόντων, ἡ ἀρχὴ ἀναφέρεται. Ἐν αὐτοῖς δὲ ἑ μόνον τῆ Κορκυραϊκῆ Ἀναθήματος γίγνεται μνεία, ἀλλὰ καὶ τῆς θρυλλεμένης παροιμίας: **Κερκυραίων Μάςιξ.** Γράσοι δὲ τὰ αὐτὲ ἀναγινωσκόμενα: Ὅτι ἡ παροιμία, **τὸ ἐν Δωδάνῃ χαλκεῖον**, ἐντεῦθεν ὠνομάθη. Χαλκεῖον „ἦν ἐν τῷ ἱερῷ, ἔχον ὑπερκείμενον Ἀνδριάντα „κρατῆντα μάςιγα χαλκῆν· ἀνάθημα Κερκυραίων· „ἡ δὲ μάςιξ ἦν τριπλῆ ἀλυσιδωτὴ, ἀπηρτημένες „ἔχεσα ἐξ αὐτῆς ἀςραγάλες, οἱ πλήττοντες τ' „χαλκεῖον συνεχῶς, ὁπότε αἰωροῖντο ὑπὸ τῶν ἀνε-„μων, μακρὲς ἦχες ἀπηργάζοντο· ἕως ὁ μετρῶν „τὸν χρόνον ἀπὸ τῆς ἀρχῆς τὲ ἤχε μέχρι τέλες, „ἐπὶ 400 προέλθοι εν· ὅθεν καὶ ἡ παροιμία ἐλέχθη **Κερκυραίων μάςιξ.**

Πρὸ τῆ τὴν τελευταίαν ταύτην παροιμίαν τοῖς ὑπὸ τῶν λοιπῶν Ἑρμηνέων εἰρημένοις ἐκθέσθαι ῥήμασι, τὰ τὲ Συγγραφέως αὐτὲ προθήσω, οἷς περ ἂν ἀριδηλον γένοιτο καὶ πιςὸν, ὅτι τὸ περίπυξον τὲ

Δωδωναίε Διὸς ἱερὸν, ἐ πόῤῥω Κερκύρας ἦν ἀποκείμενον, ἀλλ' ἐπὶ τῆς ἀντιπέραν ἠπείρε ἱδρυμένον. Περὶ γὰρ τῶν προενεχθέντων, τοιάδε ἀνα-„γινώσκεται: Τὸ δὲ ἐν Δωδώνη μαντεῖον ἐν τῇ Θεσπρω-„τίᾳ ἐςὶ· καὶ οἱ Ποιηταὶ Θεσπρωτίδα τὴν Δωδώνην „ἔφασαν. Σκύλαξ δὲ ὁ Χαριανδηνὸς ἐν τῷ Περίπλῳ, λέγων τὴν „Κέρκυραν Νῆσον εἶναι κατὰ Χαονίαν, προσίθησιν: Ἐπιβάλλει „δὲ ἡ Κέρκυρα καὶ ἐπὶ τὴν Θεσπρωτίαν, πλεῖον ἢ „ἐπὶ τὴν Χαονίαν.

Καὶ Σκύμνος δὲ ὁ Χῖος ἐν τῇ περιηγήσει:

„Κέρκυρα Νῆσος δ' ἐςὶ κατὰ Θεσπρωτίαν.

Παρίημι τὰ περὶ τῆς γνησίας ἀναγνώσεως τῆς Φωνῆς Δωδώνη, καὶ περὶ τὸ ἐτύμε αὐτῆς, καὶ τὰ περὶ τῆς τὸ Δωδωναίε Μαντείε ἀρχαιότητος, καὶ περὶ τῆς πολλαπλασίονος αὐτῷ ἕδρας, καὶ τῶν ἐν αὐτῷ μαντικῶν περιτερῶν: Περὶ ὧν ἁπάντων μετιτέον Ἀβραὰμ τὸν Βερχέλιον, ἐν τοῖς εἰς τὸν Στέφανον αὐτῷ ὑπομνήμασι, καὶ Γάκωβον Γρονόβιον ἐν τοῖς θησαυροῖς τῶν Ἑλληνικῶν Ἀρχαιοτήτων· καὶ Γάκωβον Τριγλαύδιον, αὐτ:, καὶ ἄλλες δὲ τῶν περὶ τὴν Φιλολογίαν μάλιτα σπεδασάντων. Ἀλλὰ πρό γε πάντων μετιτέον τὸ περὶ τῆς Δωδάνης ἄρθρον, τὸ ἐν τῷ ἐπισήμῳ ἀποσπάσματι Στεφάνε περὶ Πόλεων, καὶ ἰδίᾳ ἐν τῇ Κοϊσλινιανῇ Βιβλιοθήκῃ· ἔνθα Βερνάρδος ὁ Μοντφαυκόνιος ἀπὸ τῶν ἐν ταῖς προλαβέσαις ἐκδόσεσιν ἐπιπολαζόντων σφαλμάτων περιεκάθηρε, καὶ ὡς ἐνῆν ἀκριβέσατα ἑρμηνεύσας ἐκδέδωκεν εἰς κοινὴν χρῆσιν ἐσόμενον.

Ἐκ τῶν ἀπὸ Στράβωνος προενεχθέντων εἰσβάλοι ἄν τις, καθ' οἵαν δὴ ἔννοιαν εἰς παροιμίαν προελήλυθε τὸ Δωδωναῖον Χαλκεῖον, κατὰ τὴν αὐτὴν προελθοῦσαν καὶ τὴν Κερκυραίαν μάςιγα: ὡς ἄνθρωπον ἐπισημαίνειν τὸν ἀκαίρως τε καὶ ἀτόπως καταδολεχόντα,

ἢ τὴν ἠχὴν μιμεῖθαι διαφιλονεικῆσαι τῇ χαλκείᾳ ἐκείνῃ, ἢ (ὡς ὁ Καλλίμαχος ἐν τῷ εἰς τὴν Δῆλον ὠνόμασεν ὕμνῳ·) ἀσιγήτοιο λέβητος· τῇ διὰ τῆς Κερκυραίας μάσιγος κατακροτουμένῃ. Ἀλλὰ τὴν Κερκυραίαν μάσιγα οἱ παλαιοὶ εἰς δήλωσιν ἐξειλήφασι χρήματος τῇ περιττῶς ἄγαν ἐπικεκοσμημένῃ· ἔτω γὰρ Ἡσύχιος: Κερκυραία μάσιξ: Περιττήν τινα τὴν κατασκευὴν εἶχον αἱ Κερκυραῖαι μάσιγες· οἱ δὲ, καὶ διπλᾶς αὐτὰς ἔφασαν εἶναι· εἶχον δὲ καὶ ἐλεφαντίνους κώπας, καὶ τὰ μεγέθη περιττὰ ἦσαν. Ὡσαύτως καὶ ὁ τῇ Ἀριστοφάνους Σχολιαστὴς (ἐν Ὄρνισι) λέγεταί τις Κερκυραία μάσιξ. Συνεχῶς Κερκυραίοις ἀταξίαι γίνονται. Διὸ τὸ σασιάζειν ἔν ἐπόλασε παρ' αὐτοῖς ἡ μάσιξ, ὥσε διπλαῖς χρῆθαι καὶ ἐλεφαντοκώποις.

Καὶ εἰς τῆτο δὲ ὑπὸ τῶν παροιμιογράφων ἡ καλεμένη Κερκυραία ἐφέλκεται μάσιξ, καθ' ἣν Λυκέργος ὁ Ῥήτωρ ἐπιτιμήσας ἐγένετο Ἀθηναίοις δημηγορῆντι αὐτῷ ἐπιθορυβῆσιν, ἢ διέξεισι Πλέταρχος (ἐν Ἱ. βίων Ῥήτορ:) Ἦν δὲ ὁ Λυκέργος παῤῥησιαστὴς διὰ τὴν εὐγένειαν· Ἀθηναίων γάρ τοι ποτὲ ἐκ ἀνεχομένων αὐτῇ δημηγορῆντος, ἔκραγεν ἐκβαλλόμενος: ὦ Κερκυραία μάσιξ, ὡς πολλῶν ταλάντων ἦ ἀξία! Δεσιδέριος δ' ἐν ταῖς χιλιάσιν, ἐπισεσημάνθαι φησὶν ἐντεῦθεν, δῆμον ἀλυσιτελῆ μὲν, πολλῆ δὲ θρεπτέον.

Τῆς Κερκυραϊκῆς μάσιγος, τήν τε εἰς τὸ τὴν περιττὴν δηλῆν περικόσμησιν ἐκδοχὴν, ὡς τῇ τῶν παλαιῶν παραδόσει ἐρειδομένην: ὡσαύτως δὲ καὶ τὴν εἰς τὸ τὴν συνήθη τε καὶ συνεχῆ χρῆσιν τῆς ὑσπληγος παρὰ Κερκυραίοις, ὡς λίαν σασιάδεσι γενομένοις ὑπεμφαίνειν, ἐκ ἂν ἄξαρνος εἴην· ἀλλ' ἐκεῖνο μοι θαυμάζειν ἔπεισι, πῶς Ἔρασμος, καὶ οἱ λοιποὶ τῶν παροιμιογράφων, ἐδόλως καὶ αὐτῷ τῷ Δωδωναίῳ προσέχον λέβητι, τῷ ὑπὸ τῆς Κερκυραίας μάσιγος διηνεκῶς κατακροτε-

μένῳ, ἐξ ἧς καὶ τὴν παροιμίαν ληφθῆναι ὁ Στράβων μαρτυρεῖ. Μᾶλλον γᾶν εἰκὸς τὸν ἐκτόπως ἀδόλεχόν τε καὶ φλύαρον ἅτω παροιμιάζεσθαι.

Ὁ δὲ Πλάταρχος, καί τινας ἀποίκους Κερκύρας, τὰς ἡμῖν ἄλλοθεν ἀγνοουμένας καθυποβάλλει. Τὰς γὰρ Ἐρετριεῖς αἰτιολογῶν (ἐν τῷ Ι'. τῶν Ἑλληνικ: προβλημ:) τί δήποτε ἀποσφενδόνητοι προσείρηνται; Κέρκυραν (φησὶ) τὴν Νῆσον Ἐρετριέας κατῴκησαν· Χαρικράτης δὲ πλεύσαντος ἐκ Κορίνθου μετὰ δυνάμεως καὶ τῷ πολέμῳ κρατοῦντος, ἐμβάντες εἰς τὰς Ναῦς οἱ Ἐρετριεῖς ἀπέπλευσαν οἴκαδε. Ἐπειδὴ γὰρ οἱ τῆς πόλεως αὐτὰς ἐνσφενδόναις ἀπῆρξαν, ἐκ τότε τῶν ἀποσφενδονήτων αὐτοῖς ἐπετέθη τὄνομα.

ΚΕΦΑΛ. ΚΒ'.

Ἐπισφραγίζεται τὸ Βιβλιάριον, δυεῖν ἐπιγραφῶν Κορανίδος δίκην προσιθεμένων, ἃς παρὰ Ἀποσολίῳ τῷ Ζήνῃ Ἐνετίησι Μοντφαυκόνιος εἰς δῶρον λαβὼν, καὶ ἀπεκλατινίσας τῇ Φράσει, διὰ τῆς Ἰταλικῆς Ἡμερολογίᾳ τύποις δεδημοσίευκεν, ὑπόμνημα ἀρχαιολογίας ἐπίσημον, κατ' αὐτὸν εἰπεῖν, ἐσομένας. Τούτων δὴ τῶν ἐπιγραφῶν, τὴν μὲν πρότεραν, ὡς μὴ Ἑλληνιστὶ, μόνον δὲ Λατινιστὶ ἡμῖν ἐκτεθεῖσαν· καὶ ταῦτα, οὐδὲ πρὸς τὸ ἀκριβὲς, (ὡς ὁ Συγγραφεὺς αὐτὸς ὑπηνίξατο·) ἐκπεφρασμένην· ἄλλως τε δὲ, καὶ διεξοδικὴν λίαν ἔσαν, καὶ μηδὲν φέρουσαν, ἔπερ ἂν καί τις βραχεῖα γᾶν, ἐν Κερκύρᾳ ἐφ' ἡμῶν ἐνδιασώζοιτο μνήμη: τούτων ἕνεκα παριόντες, τὴν δευτέραν ὧδε παρατιθέμεθα μόνην, παρὰ Μοντφαυκονίῳ ἀποκεκαθαρμένην, ἐκ Κυριακῆς τῆς Ἀγκωνιτανῆς ληφθεῖσαν, καὶ ἐξ Ὠλσενίῳ, ἐν ταῖς παρασημειώσεσι, καὶ ἐπανορθώσεσι ταῖς εἰς τὸν Στέφανον: ἐν λέξει Σχερία. Ἔχει δ' ἑκατέρωθι οὕτως:

„ Πυνθάνεαι τὶς ἔφυν, ξένε; τίς δ' ἐγενήθην;
„ Ἀ'ρόδειτα (ἴτ: ὦ παροδῖτα) μάθε, σὰς ὀλίγον πρὸ τάφων.
„ Γέννα μὲν Γλαῦκος με πατὴρ, τίκτεν δέ με μήτης
„ Χρυσογόνη, καὶ μεῦ δύσμορος ἔπνατο.
„ Τηλόθι γὰρ πάτρης βεβυνίδος ὤλεσα θυμὸν
„ Ναυτιλίη κε . . . (ἴσ κεχρίη,) νηΐτε μὴ πίσυνος.
„ Κῆμαι δ' ἐν Σχερίη, παρὰ θεῦ ἁλὸς ἠνεμόεσσαν,
„ Ὕσατα λυγρὸν ἐμοὶ δερκόμενος πέλαγος.

Καὶ ἄλλας δέ τινας ἐπιγραφὰς ἐπὶ ταῖς δυσὶ ταύταις, τῷ πρὸς Μοντφαυκόνιον δώρῳ προσέθηκεν ὁ ῥηθεὶς Ἀ'ποστόλιος ὁ Ζήνος, τὰν ἀριθμὸν πέσσαρας ἐπὶ εἴκασι. Βραχυλογωτέρας μὲν αὐτὰς, ἐδὲν μέν τοι πρός γε τὸ προκείμενον ἡμῖν συντελέσας, ἃς κ' διὰ τᾶτο παραλειπτέον· τὰ γὰρ ἐμφερόμενα ἐν ἐκείναις ὀνόματα, οἷα περ ὁ Νικάνωρ, καὶ ὁ Φιλώτας, καὶ ὁ Φιλωνίδας, παρὰ τὰ μηδὲν εἰς τὸν σκοπὸν φέρειν, κ' ἀπροσφυῶς, κ' ἀπροσδιονύσως ὁ Μαρμαρᾶς ἀνεγίνωσκεν, ἐπὶ τῶν Νομισμάτων οἷς ἐπικεχάρακτο οἷον τὸ ἔχατον τᾶ Φιλονίδα, ἄνευ τῶν ἐπιτελευτίων στοιχείων, ἅτως ἐπιγραφῆν, ἧπερ ἦθος: Φίλων: αὐτὸς Μαρμαρᾶς ἡρμήνευσε Λατινιστὶ: Amicorum. Ἔ'νθα δὲ ὁλογράφως ἔκειτο: Φιλωνίδας: αὐτὸς διῆρει: Φίλονἴδας, κ' μετέφραζεν, Amicorum vidisti. Εἶτα καὶ τὸ Κερκυραίων Νικάνωρ μετελθών: Corcyraei victores εἶπεν ἐκλατινίσας, μὴ συνορᾶν ἔχων τὸ κύριον ὄνομα Νικάνωρ. Καί τοι γε καὶ ἐπὶ τὸ προσηγορικὸν μετακυλίσας, τὸ Λατινικὸν ὕφος αἰδεσθῆναι γᾶν ὤφειλε τῆς

συντάξεως· καὶ ἔχι Corcyraei victores, ἀλλὰ Corcyraeorum victor ἔδει εἰπεῖν· ἢ γὲν, de Corcyraeis victor.

Ὡσαύτως δὲ τὸν Μαρμαρᾶν ἰδεῖν ἔστι ληρῆντα, ἐν τῷ ἀναπτύσσειν τὰ ΚΡΚ, τὰ ἐν τοῖς Κερκυραϊκοῖς Νομίσμασι συνεχῶς ἅπαντῶντα, ἅπερ ἐδὲν σημαίνει ἀλλ' ἢ τὰ **Κόρκυρα** ἢ τὰ Κέρκυρα, καθάπερ εἰώθει λέγεσθαι ἐν τοῖς Ἐκκλησιαστικοῖς ὑπομνήμασιν ἡ Κερκύρα πολλάκις. Ἐξ ὧν τέτων ἁπάντων ἐμφανὲς γίνεται τὸν Μαρμαρᾶν ἐξ ἴσε ἐυδοκιμηκέναι, τό τε **ἰσρικὸν** εἶδος, καὶ τὸ **Ἑρμηνευτικὸν** μετεχόμενον.

Περὶ τέτε Βανδέριος ἐν τῇ Νομισματικῇ Βιβλιοθήκῃ τοιάδε ἔχει: Andreas Marmora, nobilis Corcyrenſis, patriae ſuae Hiſtoriam Italico ſermone ſcripſit, in octo libros diſtributam; quorum primi duo Hiſtoriam complectuntur, ex quo incoli coepit inſula, donec libertatem amiſit. Tertius eandem continuat, usque ad Conſtantinum. His libris addita ſunt in quinque Tabellis aeneis Numiſmata ad ſexaginta in Corcyrâ cuſa. Qua in re cum de patria ſua bene, tum etiam de litteratis non male meruit Marmora, tam etſi in eorum diſcriptione a vero ſaepiuscule aberraverit. „(Ἀνδρέας ὁ Μαρμαρᾶς Κερκυραῖος τῶν εὖ γεγο„νότων, συνέγραψεν Ἰταλιστὶ ἱστορίαν τῆς πατρί„δος αὐτε ἐν Βιβλίοις ὀκτὼ· ὧν τὰ μὲν πρῶτα δύο, „περιέχει τὰ ἐξ ἔπερ ἡ Νῆσος οἰκεῖσθαι ἤρξατο, „ἄχρις ἔτ' ἦν ἐλευθερίαν ἀφῆρηται. Τὸ δὲ τρίτον „ἐφεξῆς, τὰ ἔς γ' ἐπὶ Κωνσαντῖνον τὸν Κράτος ἀνα„δυσάμενον. Τοῖς ἑηθεῖσι Βιβλίοις προσέθεντο, „ἐν πέντε πίναξι χαλκοτύποις τὰ ἐπ' αὐτῆς Κερκύ„ρας χαραχθέντα Νομίσματα, τὸν ἀριθμὸν ὡς „ἑξήκοντα. Ἐφ' οἷς καὶ χάριν ἑαυτῷ περιεποιήσα-

„το παρὰ τοῖς ὁμοπατρίοις ὁ Μαρμαρᾶς ἀγαθήν,
„καὶ μὲν δὴ καὶ παρὰ τοῖς ἄλλοις τῶν ἐλογίμων,
„ἐδέν τι χείρονα: καί περ ἐν τῇ περιγραφῇ τῇ τό-
„των ἐνίοτε τὲ ἀληθὲς παρενήνεκται.

Μᾶλλον μὲν ἔν γε λίαν συνεχῶς: ἐ μόνον γὰρ ἐν τῷ τὰ παλαιὰ Νομίσματα ἀναπτύσσειν, ἀλλὰ καὶν ὅλῃ τῇ συγγραφῇ τῆς κατ' αὐτὸν ἱσορίας, λίαν ἀποπεπλάνηται Ἀνδρέας ὁ Μαρμαρᾶς. Οἵαν δὲ ἄρα ἐπὶ τῷδε αὐτὲ τῷ Φιλοπονήματι ἔυρατο χάριν, αἱ ἐκείνων αἰτιάσεις τε καὶ ἐπιμέμψεις δηλᾶσιν, ἐν μηδενὶ λόγῳ τιθεμένων, τὴν τῶν ὑπ' ἐκείνε τῇ ἱσορίᾳ παραδοθέντων ἀλήθειαν.

Ἀλλ' ἐπειδὴ γᾶν πολλαχᾶ, ἐν τῷ δε ἡμῶν τῷ Βιβλιαρίῳ τὸν Συγγραφέα αὐτὸν διετελέσαμεν ἀπελέγξαντες, ἐκ ἐυσεβὲς ἡγέμεθα, τὸν τελευταῖον ὅρον τῷ πονηματίῳ ἐπιθέσθαι, πρὶν ἢ τῷ ἀναγινώσκοντι προϋποθέσθαι, ὅτι τὰ τοσαῦτα πλάσματα, οἱ τοσοίδε λῆροι, αἱ ἔτως ἀηδεῖς, καὶ πέρας ἀηδείας ἐδὲν ἔχεσαι κομψότητές τε καὶ αἰμυλίαι, αἷς ἡ ἱσορία ἐκείνη καταῤῥυπαίνεται, ἐδόλως τῷ Ἀνδρέᾳ τὰ Μαρμαρᾷ εἰσὶν ὀφειλόμεναι, ἀλλ' Ἰταλιώτῃ τινὶ Γραμματεῖ, τῷ (ὡς ἔκ τινων παρειληφὼς ἔτυχον) ἐπὶ τῇ συγγραφῇ τῆς δε τῆς ἱσορίας, τᾷ Μαρμαρᾷ τὸν ἑαυτὲ προχρήσαντα κάλαμον. Ἐκ γὰρ τῆς τὲ Ἰταλιώτε τότε ὑπεργίας ξυνέβη, τὰ πρὸς κανόνα ἱσορίας ἐπαληθευόσης ὑπὸ τὲ Μαρμαρᾶ συλλεγέντα, μυθοπλαξίας μᾶλλον, ἢ ἱσοριπῆς ἐκθέσεως μόρφωσιν ἀμφιέσαθαι.

ΤΕΛΟΣ.

Παροράματα.

Σελίδ:	στίχ:	ἀντὶ	ἀνάγνωθ:
2	10	καὶ γῆν	καὶ γῆν,
3	1	λόγῳ	λόγῳ,
—	14	Ὅμηρος	Ὅμηρος,
—	18	περιγεάψαι·	περιγεάψαι:
4	5	Παλλὰς τ',	Παλλάς τ'
—	18	παλαιοτέρων	Παλαιοτέρων
—	23	ἔπεθαι	Ἔπεθαι
5	14	Ἐρεχθεὺς	Ἐρεχθεύς,
—	15	κλειζόμενοι,	κλειζόμενος,
7	4	πάροδος,	πάροδος
9	1	δε	δὲ
—	4	ὅτι	ἔτι,
—	17	Σερβίᾳ	Σερβίᾳ:
—	24	θνήσκοντας,	θνήσκοντας·
—	27	βαλ'	βάλ'
10	3	γυναιξὶν:	γυναιξὶν
—	10	λέκτρασι,	λέκτροισι,
—	18	τεμένη	τεμένη,
11	6	Ἱερᾶς	Ἱεράς
—	7	ἀγρὸς	ἀγρὸς,
—	16	οκύκλος	ὁ κύκλος,
—	17	Πολησεύκης	Πολυδεύκης
12	17	ἄξον.	ἄζον.
13	7	Ἑλλήνων	Ἑλλήνων
—	9	ἑλομένων,	Ἑλομένων
—	12	καὴν	καὴν

Σελίδ:	στίχ.	ἀντί.	ἀνάγνωθι.
—	13	Ποσιδῶνος·	Ποσειδῶνος.
—	21	καθαρευόσῃ	καθαρευόσῃ ,
14	2	ἐξειληφοσι	ἐξειληφόσι
—	8	διεξὼν	διεξιὼν
—	9	θύσοντας ,	θύσοντας :
—	17	κόρυμβος	κόρυμβος ,
—	19	αὐτῶν	αὐτόν
15	13	τοιῦτον	τοιοῦτον δὲ
—	18	Ποσιδῶνος	Ποσειδῶνος
16	19	ἡ τῆς δεισιδειμονίας	ἡ τῆς δὲ τῆς δεισιδαιμονίας
—	22	Ἕλλησι·	Ἕλλησι·
—	26	τὰ παλαιότερα ,	τὰ δὲ παλαιότερα ,
17	1	Φαρίοις ,	Φαρίοις ,
—	4	χέσεις	χέσεις ,
—	6	προπαρασκ.	Προπαρασκ.
—	12	τῆς	τὲς
—	23	συμβεβηκοσι	συμβεβηκόσιν
18	10	Μασεσίλίᾳ ,	Μασσισιλίᾳ ,
19	14	χρυσοῦ	χρυσοῦ ,
20	6	μερῶν	μερῶν ,
20	11	Ἱεροποιὸς	Ἱεροποιὲς ,
—	11	ναωφύλακας	ναωφύλακας ,
—	21	Ἐπείργεται.	ἀπείργεται.
21	21	το ὺς	τοὺς
23	14	ὑδρηναμένη ,	ὑδρηναμένη ,
—	23	νεοπληνεῖ	νεοπλυνεῖ
24	15	καλησι	καλῆσι
—	22	παρῆν	παρῆν ,
25	16	Ἀλικαρν :	Ἁλικαρν :
26	1	ἐξιλασθεῦσαι	ἐξιλασεῦσαι

Σελιδ.	στιχ.		ἀνάγνωθι.
—	1	τῆ Ἱερέως	τῷ Ἱερεῖ
—	6	λήμῃ	λύμῃ
—	7	ὀνομαθέντος:	ὀνομαθέντος,
—	21	διδόναι τε	διδάναι τε,
—	21	ζητεῖν	ζητεῖν,
—	22	πρῶτον	πρῶτον:
27	9	Ὀδυσσεὺς Καινῇ	Ὀδυσσεὺς· καινῇ
—	10	ἠγεῖντο	ἠγεῖντο,
—	20	Ἔρχεω	Ἔρχευ
—	23	Τῶτοι	Τῷ τοι,
—	26	αὐτὲς	αὐτὲς,
—	29	προσεπαγγέλλεται	προσεπαγγέλλεται,
28	22	ουξυχημάτων,	δυξυχημάτων,
29	3	(ἐν Εἰδυλ	(ἐν Εἰδυλ.
29	10	ἐρέψας	ἐρέψας,
—	26	Ὁμήρῳ τε	Ὁμήρῳ τε,
30	13	οἷς τισιν:	οἷς τισιν,
—	15	ὁ Παυσανίας	ὃ Παυσανίας
—	24	Τροϊάδες	Τρωϊάδες
31	2	ἆγεσαι	ἄγεσαι.
—	12	πέπλαν	πέπλων
—	13	ἔξομεν.	ἔξομεν;
—	18	ἅπτεθαι,	ἅπτεσθαι
—	22	ἀνθρωποι	ἄνθρωποι,
32	7	καὴν	καὶν
—	7	δῶρα, καὶ θυσίας	δῶρα καὶ θυσίας,
—	8	καλονήν	καλλονήν
34	7	περ σειρηνται	προσείρηνται,
—	7	Ἱερον	Ἱερόν
35	5	ἔσας	ἔσας,
—	11	ῥωμαῖα	ῥωμαῖοι

Σελίδ.	στίχ.	ἀντὶ	ἀνάγνωθι:
36	7	αἰ πάλαι	αἱ πάλαι
—	16	δὶ ἀλφίτου	δι ἀλφίτου,
37	2	Σφαγιασμῶν·	Σφαγίων·
38	5	ἐσιάσεσιν·	ἑσιάσεσιν·
—	16	γεωργος	γεωργός
39	1	ἡληκίαι	ἡλικίαι
—	4	ἑέξει	ἑέζει
—	7	Θαμὰ παμμέλωνες.	Θαμὰ παμμέλανας.
—	9	πάλαγος	πελάγος
—	19	ἦ	ἦ
—	26	κερα	κέρα
—	27	κέρησιν	κέρασιν
40	16	συνεχως	συνεχῶς
41	11	Aſtacio	altaria
—	—	Alſas	Altas
—	12	(ὑψυλὰς ἄλλως:)	(ὑψηλὰς ἀλωάς:)
—	13	ἰνδολμάτων	ἰνδαλμάτων
—	15	πελάγος	πελάγος,
—	15	παρὰ τοῖς	παρὰ ταῖς
—	17	βωμον	βωμίν
—	18	ὑπερ	ὑπέρ
—	21	κἂν ἄλσεσι, κἂν	κὰν ἄλσεσι κἂν
—	24	Σπερχειᾶ,	Σπερχειᾶ
—	25	ἔρεξαν	ἔρεξαν,
42	6	Πολιδεύκης	Πολυδεύκης
—	15	ὕπεθρον	ἴπαιθρον
—	18	βωμὸν	Βωμὸν,
—	24	δημοσία	δημοσίᾳ
—	24	θύειν,	θύειν
—	26	αἰὲι	ἀεί

Σελίδ:	σίχ.	ἀντὶ	ἀνάγνωθ:
43	15	Ἐχερονίψαντο,	Ἐχερνίψαντο,
—	20	κἄν	κἀν
44	6	μαινο)	μαινομ:)
—	11	ἀνθλοχυτεῖν.	ἀνθλοχυτεῖν.)
—	15	χερνιβὰ τ'	χέρνιβά τ',
—	16	Ἀ'θήνῃ	Ἀθήνῃ
—	23	ἐδεήσεις,	αἱ δεήσεις,
45	14	ἠδειρὴ	ἡ δειρή
—	15	πρῶτα	πρῶτα,
—	17	χθονοὶ	χθονὸς
—	23	Μεσηνιακ:	Μεσσηνιακ:
46	17	Ὅ'μηρος	Ὅμηρος
—	19	Μηρὸς	Μηρός τ'
—	22	Αἴψα	Αἶψα
—	22	διέχευον.	διέχευαν·
47	12	πρεσήγετο:	προσήγετο:
—	14	Εἰδιλ:	Εἰδυλ:
48	5	περιφρανδέως	περιφραδέως,
—	9	ἑπτά	ἑπτὰ
—	13	Αἰθιοπῆας	Αἰθιοπῆας,
48	18	Ἀ'θήναιος	Ἀθήναιος,
—	18	Ἀριστοτέλην	Ἀ'ριστοτέλην,
—	20	θόινη,	θοίνη·
—	20	ἐκθόινης	ἐκ θοίνης,
—	21	ἐγένετο,	ἐγένετο·
—	25	ὑπαιδεμένοις	ὑπαιδεμένοις,
—	27	τῶν θνητῶν	τὸν θνητῶν
49	3	Τὰ δ' ἄλλα	Τὰ δ' ἄλλα,
—	4	ἡμέραις	ἡμέραις,
—	14	ὁλοῆς,	ἀλωῆς,

Σελίδ.	στίχ.	ἀντὶ	ἀνάγνωθι:
—	18	ἐξόχως	ἐξόχως,
—	22	Ἱερῶν	Ἱερῶν,
—	23	ἀνήκοντα	ἀνήκοντα,
—	24	χερσὶ	χερσὶ
50	13	νεὼν	νεὼν,
—	14	ὄν τα	ὄντα,
51	6	Σείδα	Σείδα
—	7	ἑκκαίδεκα	ἕκκαίδεκα
52	26	πολυορκεμένης.	πολιορκεμένης·
53	1	καθωσιώσαντος·	καθοσιώσαντος·
—	7	διαδιεξάμενον,	διαδεξάμενον,
—	19	τελευτόντων	τελευτώντων
—	22	αἳ δὴ	αἳ δή,
55	2	Ἐνιαυτὸν	ἐνιαυτόν,
—	5	Δαίμονας.	Δαίμονας:
—	16	τελετῆς	τελετῆς,
—	21	ἀναρύξας	ἀνορύξας
56	15	ἀπεκτείνατο	ἀπεκτείνετο
57	5	Βωμῆς	Ῥωμὴς
—	13	ἐὰ	ἐὰν
—	18	ὡς ὁ	ὡς οἱ
—	20	Ἀπόλλων.)	Ἀπόλλαν.)
—	21	ἐναγίσματα	ἐναγίσματα,
—	23	Φιλοξράτω	Φιλοξράτῳ
58	19	νιᾶτο	ἠνιᾶτο
59	20	Λοετροχίον	Λοετροχόου
61	2	μείλισσάν τε	μείλισσόν τε
—	7	ζεῖν	ζῆν
62	15	τόν δ'	Τό δ'
64	19	ἀπὸ τὸν	ἀπὸ τᾶν

Σελ.	στιχ.	ἀντὶ	ἀνάγνωθι:
—	22	ἄλλοι	ἄλλοι:
66	2	Ἀχιλλεύς	Ἀχιλλεύς,
67	12	ἀνεβράχη.	ἀνεβρέχθη.
—	19	ϛονόεσσα	ϛονόεσσα,
—	21	κατεκαίετο	κατεκαίετο,
68	1	κήδει	κήδει,
68	10	λάρναξι ἐταμίευσε,	λάρναξι Ἀχιλεὺς ἐταμίευσε,
—	21	ὀνομάζει	ὀνομάζει,
69	6	προεχεδίαϛο	προεχεδίαϛο,
—	24	τρέχοις)	τρέχοις,)
71	6	Θεοκρίτος	Θεόκριτος
73	4	ψυχὰς	ψυχάς,
—	4	Ἄδε	Ἄδε,
74	21	Πλεταρχῳ	Πλεταρχῳ,
—	25	Ἱπποδρομῖαϛ	Ἱππόδρομίας
75	20	Ὁμήρω	Ὁμήρῳ
76	7	πτήσεως	πτήσεως,
—	11	volucram	volucrum
—	16	Τηλεμάχῳ	Τηλεμάχω
—	25	ἀπὸ	ὑπὸ
77	19	Ἐχομένως	Ἐχομένως
—	29	ὁμήρω	Ὁμήρῳ
79	1	ἐρχομένῳ το,	Ἐρχομένῳ τοι
80	7	ἀπεφήνατο	ἀπεφήνατο
—	11	ἡ τοῖς	ἡ τῆς
—	14	ψυχάς	ψυχάς,
—	18	Αἴσωνα δὲ	Αἴσωνα δὲ,
—	25	Ὀδυσσέως	Ὀδυσσεύς
82	13	ϛοιχείος	ϛοιχείοις
—	22	Πρωτέως	Πρωτέως,

Σελίδ.	στίχ.	ἀντὶ	ἀνάγνωθι:
—	26	δήμοις	δήμοις,
83	7	ἐπωδῶν	ἐπῳδῶν
84	20	Ἀκεσέρων	Ἀκεσόρων
86	24	Ἱστωριῶν	Ἱστοριῶν
90	19	ἀπιφαίνοιτο,	ἀποφαίνοιτο,
92	6	προσόδων	προσόδων,
—	15	ὄγκα	ὄγμα
93	4	ἔδωτίνησι,	ἔ δωτίνησι,
94	6	ἐπιστηρίζοντο:	ἐπεστηρίζοντο:
—	22	δεδῶναι	δεδωκέναι
—	23	θράυσανον κἐ	θράυσανον
—	25	ἐλαίας	ἐλαίας,
95	11	Perea	Per ea
—	13	habebant	habebant,
—	13	Graece	Graeci
96	16	ἐξεσία	ἐξεσία,
—	17	ἐξονόματος	ἐξ ὀνόματος
—	19	δικάζωντες,	δικάζοντες,
101	22	ὠ περ	ὥπερ
103	5	στράτα	στρατᾶ
—	18	ἶξε	ἶζε
104	9	δημαγορήσας,	δημηγορήσας
105	20	ὅτω.	οὕτω.
—	22	αἰξιῶν	αἰζηῶν
106	2	θέμης	θέμις
—	8	εἶπεν	εἶπεν·
—	21	ἐμφιλοχορεῖν	ἐμφιλοχωρεῖν
107	10	βασιλέυσιν	βασιλεῦσιν·
—	10	ἐπὶ	ἐπεὶ
108	21	Πηλῆ,	Πηλῆ',

Σελίδ.	Στίχ.	αντὶ.	ἀνάγνωθ:
110	4	ἐξαργάσαθαι	ἐξεργάσαθαι
112	9	ἐμφανέσματον,	ἐμφανέσατον,
—	25	Κλεωτοσύνη θ'	Κλειτοσύνη θ',
—	25	ὄρκῳ τε	ὅρκῳ τε·
113	22	Πελίας	Πυλίας
—	23	ἣν	ἣν
114	1	προλυμηνόμενος,	προλυμηνάμενος,
115	19	amplitaſſe	emptifaſſe
—	20	ἐντυχεξέρους,	ἐυτυχεξέρους,
116	22	ἑκατόμβοι	ἑκατόμβοὶ
118	8	διαξέλθσιν,	διαξέλλθσιν,
—	24	Δῖο	Διό
121	12	νίκει	νίκῃ
—	13	Πινδάρῳ	Πίνδαρῳ
125	19	ἄλοχον	ἄλοχον
—	24	Ἤβης	ἥβης
128	22	φράζει	φράζει,
130	12	ἀρτίῳ,	ἀρτίῳ:
—	12	Σχολιασὴν:	Σχολιασήν,
—	21	δαΐδω	δαίδων
131	1	ὡσαύτως	ὡσαύτως
—	2	Πῦρ	Πῦρ
133	5	εἰμαθ'	εἵμαθ'
—	11	ἀπελαύνεσαι	ἀπελαύνεσαι
—	22	καὶ τῷ ὕμνῳ	καὶν τῷ ὕμνω
134	3	ἐρύθαι.	ἐρύθαι.
—	15	λέκτρον	λέκτρον,
136	3	κανωνίαν	κοινωνίαν
—	10	Ἤβης·	ἥβης·

Σελὶδ.	στίχ.	ἀντὶ	ἀνάγνωθι
—	16	πράγμα	πρᾶγμα
137	1	palva	ſalva
—	2	frocis	proſis
—	7	Μαυτινεῦσι	Μαντινεῦσι
—	22	Φοίνιξ,	Φοίνιξ,
—	23	ἃς ἐπαρώμενος	ἃς ἐκεῖνος ἐπαρώμενος
—	24	καθ' ἑαυτῆ	κατ' αὐτῆ
138	7	ἔσσι	Ἔσσο
—	25	προίκας	προῖκας
140	9	ἐκ ἠθέλησε	ἐκ ἠθέλησε συγγενέσθαι
—	16	(ἐχ βίβλ:	(ἐν βίβλ:
141	4	ἀρχαιοτάτης	ἀρχαιοτάτοις
—	22	παυσανίας	Παυσανίας
142	2	ἀγωγῆς	ἀγωγῆς
—	11	ὁ σ'	ὅς
—	17	ἔσι	ἔση
143	1	αι μητέρες	αἱ μητέρες
—	13	συτίζει,	σιτίζει,
—	25	μνήμης	μνήμης
144	18	Φονῆ	Φωνῆ
145	19	Φιλαμμονίδης	Φιλαμμωνίδης
148	1	πράγμα	πρᾶγμα
—	26	metuerunt	meruerunt
149	12	τις	τὶς
—	15	λήίσατο	λήίσσατο
150	1	δεδελομένην	δεδελωμένην
—	3	Achilieae	Achilleae
—	10	Α'ττικὰς	Α'ττικάς,
—	23	ἐξανδραποδιζόμεναι	ἐξανδραποδιζόμεναι

Σελίδ: στίχ.	ἀντὶ	ἀνάγνωθι
— 25	(παρα	(παρὰ
153 8	ἐπειδὰν	ἐπειδὰν
— 12	ἑτάρῳ	ἑτάρω
— 15	βεκολιαδων	Βεκολιαδῶν
155 12	ἔντο	ἔντο
157 16	διαθεσπιθεις	διαθεσπιθείς
— 21	σπεδῆς	σπεδῆς·
— 25	Θοίνην	θοίνην
159 3	πεφυτυμένα	πεφυτευμένα
— 7	παρῆν	παρῆν
— 10	ἐν αἷς τραπέζαις	ἐν τραπέζαις αἷς
— 16	μεγάλη	πολλὴ
— 19	(συμποσ.	(Συμποσ.
160 1	Ὁμήρω	Ὁμήρῳ
161 7	γὰρ	δὲ
— 16	καὶ	καὶ
— 26	ἐγκομιάζων·	ὀνομάζων·
163 9	παρεσκευάσθαι	παρεσκευάσεσθαι
— 27	ἦν,	ἦν,
171 6	ὦρτο.	ὦρτο.
172 1	περιττοτέρος	περιττοτέρως
— 2	ἀπετέθη,	παρετέθη,
— 13	ἐν τοῖς	ἐν ταῖς
— 26	ἔδρην	ἔδρην·
173 3	συμποσιακ:	Συμποσιαν:
— 14	(αἰνειάδ:	(Αἰνειάδ:
— 21	sextic:	sextii
— 23	Επειτα	Ἔπειτα
— 24	σωνῆπται:	ὑποσυνῆπται:

Σελὶδ.	στίχ.	ἀντὶ	ἀνάγνωθι
176	7	Οἱσαύτως	ὡσαύτως
177	23	το	τὸ
178	3		
—	6	στρατπώτῃ	στρατιώτῃ
—	14	οἱ τοιάδε	ἡ τοιάδε
—	19	ϖάσιν	ϖᾶσιν
179	12	ἐσιασιν	ἑσίασιν
180	3	προσεγγυζέσης	προσεγγιζέσης
181	11	ἀπήργοντο	ἀπήγοντο
—	17	truculento.)	Truculento)
182	2	ἔντο —	ἔντο
184	3	οἱ οχίτων"	ἱοχίτων"
185	4	Λῦνεν.	Δῦνεν.
—	24	ἔσαϑ"	ἔσαϑ"
186	8	περεβαλομένη	περιβαλομένη
188	13	ὕοι	ὗοι·
189	13	ἑρμηνέυει.	ἑρμηνεύει,
—	22	δἰ ου	δἰ οὗ
190	16	ἔνεικαν	ἔνεικαν.
192	8	δὲ συνάμματος	δὲ διὰ συνάμματος
—	9	ἀντιπροσκαλεμενος,	ἀντιπροσκαλεμένος,
193	14	παρασκευαζόμενος	παρασκευαζόμενος:
194	3	κατελάμβανον	κατελάμβανον.
—	7	δο ε	δοκεῖ
—	7	ἄχρις	ἄχρις ἕ
195	1	συγχνάκις	συχνάκις
—	2	λεγων·	λέγων:
—	12	καϑυπερϑεν	καϑύπερϑεν
—	21	δασείας τριχώδεις	δασείας, τριχώδεις,

Σελίδ.	στ.	ἀντὶ.	ἀνάγνωθι.
196	3	οὕτω	οὕτω,
—	10	σήθει	σήθεϊ
197	14	γίνεται	γίνεται,
198	7	βιβλήαται	βεβλήαται
—	8	(ἐν τᾶ	(ἐν τῷ
—	14	σακρ.	Σακρ.
199	6	Δείσνω	Δείπνω
—	19	μηδαμῶς	μηδαμῶς,
—	20	χριθέντας	χριθέντας,
200	5	εξικμάσιαν	ἐξικμασίαν
—	10	προεληλυθέναι	προεληλυθέναι,
—	12	παλαιοῖ	παλαιοί
—	16	ποιεῖν	ποιεῖν,
—	22	σηνήθως	συνήθως
—	26	ὀτωσὶ	οὑτωσὶ
201	18	λετρᾶ	λετρᾶ;
—	23	perfugis	pertugio
202	8	οὕτως	ἕτως
—	18	ἐυοσμων	ἐυόσμων
—	27	τότε	τότε,
204	8	(ἐντῶ	(ἐν τῷ
206	27	ἄγνως	ἀγνὼς
208	1	Ἀλκινόοιο	Ἀλκινόοιο.
211	25	Γηναικωνίτις	Γυναικωνίτις
212	10	ταμεῖα	ταμεῖα,
—	14	Ὀδυσσέως	Ὀδυσσέως
—	14	(Ὀδ	(Ὀδ:
—	19	ἐπέρησε	ἐπέρυσε
—	23	τὰς τε	τὰς τε

Σελὶδ:	στίχ.	ἀντὶ.	ἀναγνωθ:
—	25	ἀπ:λλυσε	ἀπέλυσε
213	4	καὶν τικρύ	κατάντικρυ
—	11	ἐκδομήσωσιν	ἐκδομήσωσιν,
215	4	ἄναξ	ἄναξ,
216	22	ὠνόμαζον	ὠνόμαζον.
218	22	ἔφατ'	ἔφατ',
222	4	ἐναβρυνόμενος	ἐναβρυνόμενος.
—	11	Ο'δυσσέως	Ο'δυσσέως,
—	12	τῷ Πολυφύμω,	τῷ Πολυφήμῳ,
224	16	Φιλας	Φίλας
224	23	Λατινοις,	Λατίνοις,
226	24	Homines	Hominis
230	1	Α'χιλλεῖ τε	Α'χιλλεῖ τε,
232	1	Α'χιλλευς:	Α'χιλλεύς:
234	1	Αλλως	Α'λως
237	1	ἐπάρχρος	ἐπάρχρος,
—	8	διεκμετρίσεως	δι' ἐκμετρήσεως
—	15	ἐγκρινομεύοις	ἐγκρινομένοις·
238	17	χάριν κατεσκευάζοντο,	χάριν καὶ σαθμοὶ κατεσκευάζοντο,
240	22	ἔμφανές	ἐμφανές
—	22	Ι'ερας	Ι'ερᾶς·
243	1	Βένθεσι	Βένθεσιν
244	9	Κεβοιόνην,	Κεζριόνην,
250	20	το τῆς ᾠδῆς,	τὸ τῆς ᾠδῆς,
255	1	οἱ Δηλιάδες	αἱ Δηλιάδες
262	1	Ο'λιμπιάσι	Ο'λυμπιάσι
—	6	Ραψῳδίας	Ραψῳδίας,
264	12	πότερος	πότερος
—	18	Ε'πωῖ	Ε'πειῖ

Σελίδ.	στίχ.	ἀντὶ.	ἀνάγνωθι :
—	26	Terre	Ferre
266	1	ὁλα	ὅλα
268	13	μετα τὸν	μετὰ τῶν
277	8	αλλων	ἄλλων
—	8	την	τὴν
278	12	ἐλατος	ἔλατὸς
—	15	χαλκον.	χαλκόν.
279	14	ἀπηώρησο	ἀπηώρητο
288	23	πέριφήτης	Περιφήτης
289	10	Μεμονείθ	Μεμνωνείθ
—	13	μέρος, τὸ ἄκρον τὸ	μέρθς, ἢ τοῦ ἄκρθ τε
—	17	Εὐτέρπη	Εὐτέρπη
—	24	κνήμας	κνημίδας
290	3	ἔργοις	Ἔργοις
—	7	Δεκρήτιος	Λεκρήτιος
293	2	ἄργον	Ἄργον
—	9	Ἡλιακοῖς	Ἡλιακοῖς
297	12	παρήρον	παρόρον
301	7	μιλτοπάρηοι.	μιλτηλεφέες
308	25	ἔθλθς,	ἐθλὸς,
310	3	συνεχεθαι	συνέχεθαι
311	19	ἀλαηλτὸν	ἀλαλητὸν
315	5	Νίξ	Νίζ
—	13	γᾶν	γῆν
316	1	Φλεγμονᾶς	Φλεγμονᾶις
318	12	αὐτθς	αὐτὸς
319	22	τῃ μὲν	τῇ μὲν
321	1	Χ.	Ϛ.
326	3	παρεδωκεν	παρέδωκεν

Σελίδ.	στίχ.	ἀντὶ.	ἀνόγνωσε:
329	16	μετοχετέυθησαν.	μετωχετέυθησαν.
333	12	Ε῾ρμόλαος	Ε῾ρμόλαος,
334	13	ὑπέθεσο,	ὑπέθετο,
335	3	ὠνομαθῆναι	ὀνομαθῆναι
—	4	Α᾽λλοι	ἄλλοι
—	21	πόντω	πόντῳ
336	13	ϑκ χήματι	ἐκ ἐν χήματι
—	15	πος	πως
337	2	Σχολιαςῆς	ὁ Σχολιαςῆς
—	15	ἐκ τοῖς	ἐκ τῆς
—	19	ϑηγατερων	ϑυγατέρων
—	22	πολ·	Πόλ:
338	7	Εἰρηνικῶς	Εἰρηνικῶς,
—	8	καθάπερ	καθάπες,
—	23	γραφη	γραφῇ
339	14	Γέωργ:	Γεωγρ:
—	20	ὑψικόρυμβος	ὑψικόρυμβος,
340	1	ἄλλοι	ἄλλοι
349	1	αλοχον	ἄλοχον
—	11	ἐν τῆς περὶ τοῖς	ἐν τοῖς περὶ τῆς.
350	14	ἐξεφαάϑη	ἐξεφαάνϑη
352	18	ϑάλαμος	ϑάλαμος,
352	23	τελετῇ	τελετῇ,
354	14	ναυαγήσας	ναυαγήσας,
356	1	πλάνης	πλάνης,
—	16	πεντακηνὴν	Ποντακηνὴν
—	24	ὑποβολιμαία	ὑποβολιμαία,

Σελίδ:	Στίχ.	ἀντὶ.	ἀνάγνωθ:
357	2	περὶ δὲ τάτθ	περὶ δὲ τὰ τᾶ
364	6	δόμων	δομάτων
366	6	οὐδ' ἡμοὶ	Οὐδ' οἱ μοί
—	11	Οἳ ἔποτε	Οἱ ἔποτε
369	18	ἥμων	ἧ μᾶν
371	17	Οἳ	Οἱ
372	23	διὰ της	διὰ τᾶς
378	24	ἀχλὴν	ἀχλύν
380	8	πεφιλοπονημένοις	πεφιλοπωνημένοις
—	12	παρατηρήσεσι,	παρατηρήσεως,
—	25	ἄραρος	ἀραρὸς
383	5	ἀπωτέρω	ἀσσοτέρω
387	2	ὀρχηθμοῖο,	ὀρχήθμοῖο·
—	10	πόλυβος	Πόλυβος
—	16	ἀμειβομένῳ,	ἀμειβομένω,
393	27	πεποιμένων,	πεποιημένων,
394	18	ἀσελγενειν,	ἀσελγαίνειν,
395	20	οταν	ὅταν
398	14	ὀπορῶν	ὀπωρῶν
401	2	καταμηύσωσι	καταμηνύσωσι
—	19	παρεχηκόσν	παρεχήκασι
—	23	Ὅμηρας	Ὅμηρος
402	1	Γ'ηβενάλιος,	Γ'ηβενάλιος γᾶν,
—	12	Cyanes	cyanea
—	14	Porcis	porcis·
403	3	οἰνόλειπτος	οἰνόληπτος

Σελίδ:	Στίχ.	ἀντὶ.	ἀνάγνωθ:
—	18	ἐμεν	ἔμεν
404	12	Λεκιανὸς	Λεκιανὸς δὲ
409	17	παταμὸν	ποταμὸν
419	1	Εἶναι	Ἶναι,
423	1	ὄροι	ὅροι
—	2	πεποίηνται	πεπόιηνται,
—	12	ἀποκειμένας,	ἀποκειμένας προστέπλει,
424	19	πληγεῖσειν	πληγεῖσαν
427	25	ἀπόσασις	ἀπόσασις
—	26	προκοπίθ,	Προκοπίθ.
428	6	χερσικράτες	Χερσικράτες
—	7	περὶ δὲ δὴ τοϊς	περὶ δὲ δὴ τῆς
—	17	Φωτίῳ	Φωτίῳ
430	17	Τρεῖλον,	Τρώϊλον,
431	3	ἔτέ τῷ	ἔ τέ τῳ
—	12	Διόδορος,	Διόδωρος,
—	17	Τροϊκὰ	Τρωϊκά
—	20	διατείνονται	διατέινονται·
432	7	λαβεσαι	λαβεσι
—	10	προσρῆθαι	προχρῆθαι
—	17	Ἀρδείνε	Ἀρδείνε,
—	19	ἐνορᾶται	Ἐνορᾶται,
434	25	ἐπὶ μαρτυρεῖντας,	ἐπιμαρτυρεῖντος,
435	7	σεκψώμεθα	σκεψώμεθα
436	9	ἀποικησὰς.	ἀποικισὰς.
437	23	ἀπαραλλάκτως	ἀπαραλλάκτως.
439	17	τὸν τ' ροπον	τὸν τρόπον
—	18	τ, ῇ	τῇ
—	19	Ναυτ, ικῶ	Ναυτικῶ
440	22	ἐκκομίσα,	ἐκκομίσαι,

Σελίδ:	Στιχ.	ἀντὶ	ἀνάγνωθ:
—	23	ὁδὲ Θεὸς ὁ ἐν	Θεὸς ὁ ἐν
441	2	νομίζεσι·	ιομίζεσιν.
—	20	δεκάτη	δεκάτη,
442	1	Κριτ8	Κριτίε
—	13	ἀνενυχθέντα	ἀνενεχθέντα
443	21	τὶ χαλκεῖον	τὸ χαλκεῖον
—	7	πλεῖον ἢ	πλεῖον ἢ
—	9	περιηγήσει:	Περιηγήσει:
444	14	παροιμιογράφων	Παροιμιογράφων
—	28	παροιμιογράφων	Παροιμιογράφων
445	7	Ερ τριεῖς	Ε'ρετριεῖς
446	6	Βειθυνίδος	Βηθυνίδος





ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000005056